A Acorum folia habet iridis æmula, attamen angustiora, radicesq; nõ dissimiles, verũ implicitas, neque in rectum actas, sed obliquas & in summa terræ superficie sparsas, geniculis interceptas, subalbidas, gustu acres & odore non ingratas. Præstat verò densum, album, carie non exesum, plenum & odoratum. B Huiusmodi autem est quod in Colchide nascitur, quodq; ex Galatia aduectum Asplenium dicitur.

Vim habet radix calfactoriã: potúmque eius decoctum vrinas ciet, lateris, thoracis hepatisq; doloribus subuenit: itémque torminibus, ruptis, conuulsis. Lienes absũmit: iuuat & eos quibus substillum est lotium, & à beluis venenatis demorsos: C ac insessu tanquam iris ad muliebria conducit. Succus radicis ea quæ pupillæ officiunt caliginemq; offundunt discutit. Vtiliter etiam ipsa radix antidotis immiscetur.

Περὶ Μήου. Κεφ. γ'.

Deest καλούμενον in melioribus exemplaribus.

V. add. καὶ [illegible].

A [illegible] Et sic quoque cod. Pal.

Μῆον δὲ καλούμενον Ἀθαμαντικὸν φύεται πλεῖστον ἐν Μακεδονίᾳ καὶ Ἱσπανίᾳ, ὅμοιον καυλῷ καὶ τοῖς φύλλοις ἀνήθῳ, παχύτερον δὲ τοῦ ἀνήθου· δ. πηχύπου ἀναβαῖνον· ταῖς ῥίζαις ἐσπαρμέναις λεπταῖς, πλαγίαις, καὶ ὀρθίαις, μακραῖς, εὐώδεσι, θερμαινούσαις τὴν γλῶτταν· αἵτινες ἀποζεσθεῖσαι μεθ' ὕδατος, ἢ καὶ λεῖαι δίχα ἑψήσεως ποτίζονται, τὰ περὶ κύστιν καὶ νεφροὺς πάθη παρηγοροῦσι, καὶ δυσουρίαις ἁρμόζουσι, στομάχου τε ἐμπνευματώσεσι καὶ στρόφοις, ὑστερικοῖς τε διαθέσεσι καὶ ἄρθρων πόνοις. θώρακι ῥευματιζομένῳ σὺν μέλιτι λεῖαι ἀντὶ ἐκλεικτοῦ βοηθοῦσιν, αἷμά τε ἄγουσι δι' ἐμμηνίων ἀποζεσθεῖσαι εἰς ἐγκάθισμα. παιδίων δὲ καταπλασθεῖσαι ἐφηβαίοις οὖρα ἄγουσιν. ἔστι δὲ καὶ κεφαλαλγὲς πλεῖον ἢ δεῖ πινόμενον.

De Meo. Cap. III.

Meum, quod Athamanticum denominatur, plurimũ in Ma- D cedonia & Hispania nascitur, caule foliisque anetho simile, sed eo ipso crassius, ad duos aliquando cubitos assurgens: sparsis ima parte radicibus tenuibus, partim obliquis, partim etiam rectis: longis, odoratis & linguam excalfacientibus. Hæ in aqua decoctæ, aut etiã citra cocturam ad læuorem tritæ vitia ex vesicæ renúmque angustiis orta potu E leniunt, & vrinę difficultati conducunt: itémque stomachi inflationibus, torminibus, vterinis affectibus & articulorum doloribus. Thoraci quoque fluxione laboranti eclegmatis instar cũ melle tritæ auxiliantur. Earundem decoctum insessu sanguinem per menstrua pellit. Infantium autem imo ventri illitæ vrinas mouent. Quòd si Meum lar- F giùs quàm oporteat ebibatur, capitis dolorem conciliat.

Περὶ Κυπείρου. Κεφ. δ'.

Ald. κυπείρου, & ita deinceps.

V. [illegible]

V. add. [illegible]

Κύπειρος, οἱ δ' ἐρυσίσκηπτρον ὡς τὴν ἀσπάλαθον καλοῦσι. φύλλα δ' ἔχει ὅμοια πράσῳ, μακρότερα δὲ καὶ

De Cypero. Cap. IIII.

Cyperum nõnulli æquè atque aspalathum erysisceptrũ nominant. Folia (ima) fert porro similia,

sed longiora & exiliora: caulem vero cubitalem aut etiam maiorem, angulosum, iunco similem: cuius in cacumine minuta folia sese proferunt, inter quæ est semen. Radices subiacent, quarum etiam vsus est, oblongæ instar oliuarum, inter se cohærentes, aut etiam rotundæ, nigræ, odoratæ, amarulentæ. Nascitur in locis cultis iuxta atque palustribus. Optima radix quæ grauissima est, densa, plena, ægrè fragilis, aspera & odorata cum quadam acrimonia. Huiusmodi vero censetur Cilicia, itémque Syriaca, & quæ à Cycladibus insulis petitur. Vis ei excalfaciendi, vasorum oscula recludendi & vrinas mouendi. Calculosis & hydropicis pota auxilio est, vt & à scorpione ictis. Quin & vuluæ perfrigerationibus & obstructionibus fotu accommodatur, mensésq; euocat. Sicca & ad læuorem trita facit ad oris vlcera, etiam depascétia. Miscetur & malagmatis calfaciétibus, & ad vnguentorũ spissaméta aptatur. Memoratur & altera Cyperi species quæ in India nascitur, zingiberis effigie: quæ commáducata croci vim reddere & amarore prædita esse animaduertitur. Illita verò quamprimum depilat.

A ἰσχνότερα· καυλὸν δὲ πηχυαῖον, ἢ καὶ μείζονα, γωνιώδη, ὅμοιον σχοίνῳ, οὗ κατὰ κορυφὴν φυλλάριά ἐστιν ἐκφύσις μικρῶν καὶ σπέρματος. ῥίζαι δὲ ὕπεισιν, ὧν καὶ ἡ χρῆσις, ἐπιμήκεις ὥσπερ ἐλαίας συναφῆς ἑαυταῖς, ἢ καὶ στρογγύλαι, μέλαιναι, εὐώδεις, ἔμπικροι. φύεται δὲ ἐν τόποις ἐργασίμοις καὶ τελματείδεσιν. ἀρίστη δέ ἐστιν ἡ βαρυτάτη καὶ πυκνὴ καὶ ἁδρά, δύσθραυστος, τραχεῖα, εὐώδης μετά τινος δριμύτητος. τοιαύτη δέ ἐστιν ἡ Κιλίκις, καὶ ἡ Συριακὴ, καὶ ἡ ἀπὸ τῶν Κυκλάδων νήσων. Δύναμις δέ ἐστιν αὐτῇ θερμαντική, ἀναστομωτική, διουρητική· λιθιῶσι καὶ ὑδρωπικοῖς πινομένη βοηθεῖ, καὶ σκορπιοδήκτοις, C καὶ ταῖς περὶ μήτραν δὲ καταψύξεσι καὶ μύσεσι πυελωθεῖσα ἁρμόζει, ἄγουσα ἔμμηνα. ποιεῖ δὲ καὶ τοῖς ἐν στόματι ἕλκεσι καὶ νεμομένοις ξηρὰ λεία μίγνυται καὶ μαλάγμασι θερμαντικοῖς, καὶ εἰς τὰ στύμματα τῶν μύρων εὔθετος. ἱστορεῖται δὲ καὶ ἕτερον εἶδος κυπείρου ἐν Ἰνδίᾳ γεννώμενον, προσεοικὸς ζιγγιβέρει, ὃ διαμασηθὲν D κροκῶδες καὶ πικρὸν εὑρίσκεται. καταχριόμενον δὲ παραχρῆμα ψιλοῖ τὰς τρίχας.

V. add. καὶ [illegible]. Cat. καὶ [illegible]. Al. [illegible].

V. [illegible] συναφεῖς οὔσας αὐταῖς. In v. c. [illegible] legitur. ἢ καὶ στρογγ.

V. πυκνὴ ἁδρὰ καὶ δύσθ.

Deest in Ald. & vet.

V. [illegible] βοηθεῖ δὲ καὶ σκορ.

V. καὶ περὶ τὰς [illegible] καταψύξεσι καὶ μύσεσι. A[illegible] duo, C[illegible].

Al. [illegible].

Quidam addit [illegible].

Veteres aliqui carēt. Pal. κροκώδης magis.

De Cardamomo. Cap. V.

CARDAMOMVM præstantissimum cēsetur, quod ex Comagene Armenia & Bosphoro importatur. In India quoque & Arabia prouenit. Eligito quod est frangenti contumax, plenum, occlusum (quod enim tale non est, exoletum iudicatur) & caput odore tentans, gustu acre & subamarum. Vim habet calfactoriam. Ex aqua potum facit ad epilepticos, tussientes, ischiadicos, paralysim, rupta, conuulsa, tormina: & latum lumbricum expellit. Confert auté ex vino epotum renũ vitio laborantibus, difficulter meiétibus, à scorpione ictis, omnibúsque quos virulenta animantia venenis appetiuerunt. Cum lauri verò radicis cortice drachmæ pondere bibitum calculos comminuit: nec non fœtus suffitum enecat, & psoras ex aceto illitum aufert. Quin & ad vnguentorum spissamenta aliásque antidotos additur.

Al. [illegible]

Περὶ Καρδαμώμου. Κεφ. ε'.

ΚΑΡΔΑΜΩΜΟΝ ἄριστον τὸ ἐκ τῆς Κομαγηνῆς καὶ Ἀρμενίας καὶ Βοσπόρου κομιζόμενον. γίνεται δὲ καὶ ἐν Ἰνδίᾳ καὶ Ἀραβίᾳ. ἐκλέγου δὲ τὸ δύσθραυστον, E πλῆρες, μεμυκός· τὸ γὰρ μὴ τοιοῦτον, ἔξωρόν ἐστι, καὶ τὸ τῇ ὀσμῇ πληκτικόν, γεῦσιν δὲ δριμὺ καὶ ὑπόπικρον. Δύναμιν δὲ ἔχει θερμαντικήν. ποιεῖ δὲ μεθ' ὕδατος πινόμενον πρὸς ἐπιληπτικούς, βήττοντας, ἰσχιαδικούς, καὶ παράλυσιν, ῥήγματα, σπάσματα, στρόφους, καὶ ἕλμινθα πλατεῖαν ἐκβάλλει. μετ' οἴνου δὲ πινόμενον, F νεφριτικοῖς, δυσουροῦσι, σκορπιοπλήκτοις, καὶ πᾶσι τοῖς ἰοβόλοις ἁρμόζει. μετὰ δὲ δάφνης ῥίζης φλοιοῦ πιθὲν ὅσον < λίθους θρύπτει. φθείρει καὶ ἔμβρυα ὑποθυμιώμενον, καὶ ψώρας ἐξαίρει σὺν ὄξει καταχριόμενον. μίγνυται δὲ καὶ εἰς τὰς τῶν μύρων συνθέσεις καὶ ἑτέρας ἀντιδότους.

Desideratur hæc periodus in vet. cod.

Par. enter.

Περὶ Νάρδου. Κεφ. ϛʹ.

Νάρδου ἐστὶ δύο γένη· ἡ μὲν γάρ τις καλεῖται Ἰνδική, ἡ δὲ Συριακή. οὐχ ὅτι ἐν Συρίᾳ εὑρίσκεται, ἀλλ' ὅτι τοῦ ὄρους ἐν ᾧ γεννᾶται, τὸ μὲν πρὸς Συρίαν τέτραπται, τὸ δὲ πρὸς Ἰνδούς. καὶ τῆς λεγομένης Συριακῆς, ἐστὶ βελτίων ἡ πρόσφατος, καὶ κούφη, πολύκομος, ξανθὴ τὴν χρόαν, εὐώδης ἄγαν, καὶ μετὰ τοῦ κυπερίζειν ἐν τῇ ὀσμῇ· μικρὸν ἔχουσα τὸν στάχυν, πικρὰ τὴν γεῦσιν, καὶ γλώσσης ἀναξηραντική, ἐπιμένουσά τε τῇ εὐωδίᾳ ἐφ' ἱκανόν. τῆς δὲ Ἰνδικῆς ἡ μέν τις λέγεται Γαγγῖτις, ἀπό τινος ποταμοῦ παραῤῥέοντος τοῦ ὄρους Γάγγου καλουμένου, παρ' ᾧ φύεται. ἀσθενεστέρα κατὰ δύναμιν οὖσα διὰ τὸ ἐφ' ὑδατωδῶν τόπων εἶναι καὶ ἐπιμηκεστέρα, πλείονάς τε ἔχουσα τοὺς στάχυς ἀπὸ τῆς αὐτῆς ῥίζης, καὶ πολυκόμους καὶ περιπεπλεγμένους, βρομώδεις κατὰ τὴν ὀσμήν. ἡ δὲ ὀρεινοτέρα εὐωδεστέρα, κολοβόσταχυς, κυπερίζουσα κατὰ τὴν εὐωδίαν, ἔχουσά τε καὶ τὰ ἄλλα ἐν αὐτῇ, ὅσα περ καὶ ἡ Συριακὴ λεγομένη. καλεῖται δέ τις καὶ Σαμφαριτική, σφόδρα κολοβή, ἀπὸ χωρίου ὀνομασμένη, μεγαλόσταχυς, λευκότερον καυλὸν ἔσθ' ὅτε μέσον ἔχουσα, ὑπερβραγίζοντα τῇ ὀσμῇ, ἣν δεῖ ἀποκλέγεσθαι. πιπράσκεται δὲ καὶ ἀποβεβρεγμένη, ὅπερ γινώσκεται ἐκ τοῦ λευκὸν εἶναι τὸν στάχυν καὶ αὐχμηρόν, καὶ μὴ ἔχειν τὸν χνοῦν. δολίζουσι δὲ αὐτὴν ἐμφυσῶντες στίμμι μεθ' ὕδατος ἢ οἴνου φοινικίτου, πρὸς τὸ συμπιλοῦσθαι αὐτὴν, καὶ βαρυτέραν γίνεσθαι. ἐπὶ δὲ τῆς χρείας ἀφαιρεῖν δεῖ, εἰ προσείη ταῖς ῥίζαις πηλός, καὶ σήθειν χωρίζοντα τὸν κονιορτόν, εὐχρηστοῦντα εἰς χερνίπτρον.

Δύναμιν δὲ ἔχουσι θερμαντικήν, ξηραντικήν, οὐρητικήν, ὅθεν κοιλίας τε ἱστᾶσι πινόμεναι, καὶ τὰς ἐκ μήτρας ῥύσεις προστιθέμεναι, καὶ ἰχῶρας στέλλουσι. βοηθοῦσι δὲ καὶ ναυτίαις, σὺν ψυχρῷ ὕδατι πινόμεναι καὶ καρδιωγμοῖς, καὶ ἐμπνευματουμένοις, ἡπατικοῖς τε καὶ ἰκτερικοῖς καὶ νεφριτικοῖς. ἐναφεψηθεῖσαι δὲ ὕδατι, καὶ πυριαθεῖσαι, εἰς ἐγκάθισμα φλεγμονὰς μήτρας

V. cum Ruellio πλατύκομος

V. [illegible] malit.

Al. τῇ γεύσει

V. addit ἢ μελαντέρα, cui lectioni astipulantur Gal. 8. Simpl. & Paulus cap. de nardostachy.

V. caret & legit λευκοτέρα

Al. λευκὸν

V. φοινικίου.

V. ἐμπνευματώσεσι

V. πυριαθεῖσαι φλεγμονὰς ἰῶνται.

De Nardo. Cap. VI.

A Nardi duo sunt genera. vna siquidem Indica, altera Syriaca nuncupatur: non quòd in Syria inueniatur, sed quòd montis in quo nascitur pars vna Syriam, altera Indos spectet. Ac in eius quidem quæ Syriaca dicitur genere præstantior ea censetur, quę recens est, leuis, comosa, B colore flauo, per quàm odorata, quæq; præterquam quòd odore cyperum imitatur, breuem habet spicam, gustu est amaro linguamq; maximè siccante, ac in sua odoris gratia diutinè permanet. Ex Indicæ verò nardi genere est quæ Gangetica dicitur, à fluuio quodam Gange nominato, qui montem, ad cu- C ius radices ea nascitur, præterfluit. Hęc viribus est infirmiorib⁹ quòd in locis aquosis proueniat, estq; procerior, atque complures habet spicas ab eadem radice tum comosas, tum sibi inuicé circumuolutas, virúsque redolentes. At quæ in editiore montis parte legitur, odoratior est, pusillásque habet spicas, iu- D cundúmque cyperi odorem æmulatur, ac cæteras habet in se dotes, quas & Syriaca cognominata. Est & quędam cui Samphariticę nomé à loco inditum est, admodum pusilla, attamen magnas habens spicas, inter quas medius interdum prorũpit caulis, candidior & supramodũ E hircum olens. Hanc damnare in totum oportet. Venditur & madefacta: quod vitium ex eo deprehenditur, quòd candida sit spica, squalida, nulláque obsita lanugine. Adulteratur inspirato stibio cũ aqua aut vino palmeo, quò videlicet magis compacta ponderosiorq; appareat. Vsus tempore si quod lu- F tum radicibus hæserit, idipsum auferre oportet, vt & pulueré cribro incernere, qui quidem ad aquam eluendis manibus dicatam accommodatur. Vim habent excalfaciendi, exiccandi, vrinásque ciendi. Quamobrem & aluũ epotæ sistũt, & appositæ ex vtero fluxiones saniémque cõpescũt. Ex frigida verò G potę nauseę & stomachi rosionibus auxiliantur: itémque iis qui à flatibus exagitantur, hepaticis, ictericis atque nephriticis. Aquæ auté incoctę seu fotu seu insessu vuluę inflá-

mationibus medetur. Faciunt & ad superfluo humore redundantes oculorum palpebras, dum ipsa cilia astringunt & condensant. Quin & siccæ humétibus corporib⁹ ad summouendam graueolentiam vtiliter insperguntur. Miscentur etiam antidotis. Porrò ad ocularia quoque medicamenta vsque ad summũ leuorem tritæ & cum vino in pastillos conformatæ vase nouo non picato reconduntur.

De Nardo Celtica. Cap. VII.

Celtica nardus nascitur quidem in Liguriæ Alpibus, vernaculo sermone Gallica dicta, sed & in Istria prouenit. Est verò pusillus breuisq; frutex, qui cũ radicibus in manuales fasciculos colligitur: foliis oblógis, subflauis, flore luteo. Caulium & radicum dũtaxat vsus est & odoris suauitas. Quare pridie aspersos aqua fasciculos, amoto terreni si q̃d inhæserit in humidiore solo supposita prius charta insternere oportet, ac postridie repurgare: siquidem vtile cum aceroso & alieno minimè propter humoris vim excutitur. Adulteratur autem herba persimili quæ vnà cũ ea vellitur, quamq; propter virosum odorem hirculũ nominant. Facile verò est hanc ab illa internoscere: quandoquidem herba est sine cauliculo & candidior, minusque oblóga habet folia: quin neque radicem amarã aut aromaticã, quẽadmodum legitima nardus. Itaque abiectis foliis cauliculos radicésque seponito: ac siquidem ad vsum reponere volueris, tritos vino excipito, tandémque ex ijs concinnatos pastillos fictili vase nouo ac diligẽter operculato reserua. Optima verò cẽsetur, quæ recẽs est & odorata, radicosa, plena miniméque fragilis. Iisdem quibus & Syriaca viribus pollet: sed & valentius vrinas ciet, & stomacho est accõmodatior. Iecoris inflãmationibus suffusisq; felle auxiliatur: itemq; ventriculi inflationibus cum absinthij decocto pota. Eodem planè modo valet & ad lienis, vesicæ renúmque vitia: itemq; ex vino ad venenatorum morsus. Cæterum additur etiam in malagmata, potiones & vnguenta calfacientia.

(margin: non aspera)

A ἰῶνται. ποιοῦσι καὶ πρὸς τὰς ἐν ὀφθαλμοῖς μυδήσεις τῶν βλεφάρων, σύφουσαι καὶ δασύνουσαι τὰς βλεφαρίδας, καθύγροις τε σώμασι διάπασμα. μίγνυνται δὲ καὶ ἀντιδότοις. ἀποτίθενται δὲ εἰς τὰ ὀφθαλμικὰ ἐν ἀγγείῳ καινῷ ἀπισσώτῳ, λειοτριβηθεῖσαι σὺν οἴνῳ καὶ ἀναπλασθεῖσαι.

B Περὶ Κελτικῆς Νάρδου. Κεφ. ζ΄.

Ἡ δὲ Κελτικὴ Νάρδος, γεννᾶται μὲν ἐν ταῖς κατὰ Λιγυρίαν Ἄλπεσιν, ἐπιχωρίως ὀνομασμένη Ἀλιούγγια. γεννᾶται δὲ ἐν τῇ Ἰστρίᾳ. ἔστι δὲ θαμνίσκος μικρὸς σὺν ταῖς ῥίζαις εἰς δέσμας ἀναλαμβανόμενος χειροπληθεῖς. ἔχει δὲ φύλλα ὑπομήκη, ὑπόξανθα, ἄνθος μήλινον. μόνων δὲ τῶν καυλῶν ἐστι καὶ τῶν ῥιζῶν ἡ χρῆσις καὶ ἡ εὐωδία. ὅθεν δεῖ πρὸ μιᾶς ἡμέρας καταῤῥάναντας ὕδατι τὰς δέσμας, καὶ χωρίζοντας τὸ γεῶδες, ὑποτιθέναι ἐπ' ἐδάφους νοτεροῦ, προϋποκειμένου χάρτου, τῇ δὲ ὑστεραίᾳ καθαίρειν. οὐ γὰρ συναποκαθαίρεται τὸ ἀχυρῶδες καὶ ἀλλότριον τὸ εὔχρηστον, διὰ τὴν ἐκ τῆς ἰκμάδος εὐτονίαν. δολίζεται δὲ συναποτιλλομένης αὐτῇ πόας ἐμφεροῦς, ἣν διὰ τὸ περὶ τὴν ὀσμὴν βρομῶδες, τράγον καλοῦσιν. εὐχερὴς δὲ ἡ ἐπίγνωσις· ἄκαυλος γάρ ἐστιν ἡ πόα καὶ λευκοτέρα, καὶ ἧττον ἐπιμήκη τὰ φύλλα ἔχει, οὐδὲ τὴν ῥίζαν πικρὰν ἢ ἀρωματίζουσαν ὥσπερ ἐπὶ τῆς ἀληθινῆς ἔχει. ἀποκρίνας οὖν τὰ καυλία καὶ τὰς ῥίζας, τὰ δὲ φύλλα ῥίψας, εἰ βούλει δὴ ἀποτίθεσθαι, ἀναλαμβάνων λεῖα οἴνῳ, καὶ τροχίσκους ἀναπλάσας, φύλαττε ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ, πωμάζων ἐπιμελῶς. ἀρίστη δέ ἐστιν ἡ πρόσφατος καὶ εὐώδης, πολύῤῥιζος, οὐκ εὔθρυπτος, πλήρης. δύναται δὲ ὅσα καὶ ἡ Συριακή· διουρητικωτέρα τε καὶ εὐστομαχωτέρα. ὠφελεῖ δὲ καὶ τὰς περὶ τὸ ἧπαρ φλεγμονάς, καὶ ἰκτερικούς, καὶ πνευματώσεις στομάχου, μετ' ἀφεψήματος ἀψινθίου πινομένη. ὁμοίως καὶ σπλῆνα, καὶ τὰ περὶ τὴν κύστιν καὶ νεφρούς· καὶ πρὸς τὰ ἰοβόλων δήγματα σὺν οἴνῳ· καὶ εἰς τὰ μαλάγματα μίγνυται καὶ ποτίσματα, καὶ χρίσματα θερμαντικά.

(margin: Qui d... V. ... V. ... V. ... V. addit ... V. καὶ χρίσματα καὶ ποτίσματα θερ.)

Περὶ Ὀρεινῆς Νάρδου. Κεφ. η'.

Ἡ δὲ Ὀρεινὴ νάρδος, καλουμένη δὲ ὑπό τινων καὶ θυλακῖτις καὶ *νῆεις, γίνεται ἐν Κιλικίᾳ καὶ Συρίᾳ. φύλλα καὶ καυλοὺς ὅμοια ἠρυγγίῳ ἔχουσα, *μικρότερα μὲν, *οὐ μὴν τραχέα καὶ ἀκανθώδη. ῥίζαι δὲ ὑπεισι μέλαιναι, εὐώδεις, δύο ἢ καὶ πλείους, ὥσπερ ἀσφοδέλου, ἰσχνότεραι *καὶ μικρότεραι πολλῷ. οὔτε δὲ καυλὸν, οὔτε καρπὸν, οὔτε ἄνθος φέρει. ποιεῖ δὲ ἡ ῥίζα πρὸς ὅσα καὶ ἡ Κελτικὴ νάρδος.

Gal. 8. simpl. legit νάρειν.

V. μικρόπερα.

V. hæc non agnoscit. Sūt qui pro τραχέα τραχεῖα legant.

Add. Orib. λεπτότεραι.

A De Nardo Montana. Cap. VIII.

Nardus montana, quæ à quibusdam thylacitis & neris appellatur, in Cilicia & Syria naſcitur, folijs & caulibus eryngio ſimilibus: ſed minoribus, non tamen aſperis & aculeatis. Radices ſubiacent nigræ, odoratæ, binæ plurés ve ceu haſtulæ regiæ, ſed graciliores longéque mi- B nores. Neque verò caulem neque fructum neque florem diu ſuſtinet. Valet ad eadem omnia radix, ad quæ & Celtica Nardus.

Περὶ Ἀσάρου. Κεφ. θ'.

ΑΣΑΡΟΝ, οἱ δὲ, νάρδον *ἀγρίαν καλοῦσι· *φύλλα ἔχει κισσῷ ὅμοια, *πυκνότερα δὲ πολλῷ καὶ στρογγυλότερα. *ἄνθος μεταξὺ τῶν φύλλων πρὸς τῇ ῥίζῃ, *κυανοῦν, ὑοσκυάμου κυτίνῳ ἐμφερὲς, ἐφ' ᾧ τὸ σπέρμα ἐοικὸς γιγάρτῳ. ῥίζαι δὲ ὑπεισι πολλαὶ, γονατώδεις, λεπταὶ, πλάγιαι, ὅμοιαι ἀγρώστει. ἰσχνότεραι μέν τοι *πολλῷ καὶ εὐώδεις, θερμαίνουσαι καὶ δάκνουσαι λίαν τὴν γλῶτταν. δύναμις δὲ αὐτῶν *διουρητικὴ, θερμαντικὴ καὶ *ἐμετικὴ, ἁρμόζουσα ὑδρωπικοῖς, ἰσχιαδικοῖς χρονίοις *. ἄγουσι δὲ καὶ ἔμμηνα. μετὰ μελικράτου ποθεῖσαι αἱ ῥίζαι πλῆθος < ς'. καθαίρουσιν ὡς ἐλλέβορος λευκός. μίγνυνται δὲ καὶ μύροις. φύεται ἐν *συσκίοις ὄρεσι, πλεῖστα δὲ ἐν Πόντῳ καὶ Φρυγίᾳ καὶ Ἰλλυρίδι, καὶ * *Γουεστίνῃ τῆς Ἰταλίας.

V. add. καὶ λιβανωτ.
Par. addit τὰ ἄνθη σπαρογμένα. Cat. pro τοῖα, habet, ὅμοια.
Quidam addit, ὁ ἀγριοσαχύς.
Par. μικρότερα.
Par. αὐτὸ.
Paris. πορφυροῦν, ἄνθος Cat. πορφυροῦν, λευκὰ ἄνθη.
Par. ἐμφερὲς, ἐφ' οἷς.
Addit alter codex, ἰσχνὰ καὶ λεπτότερα σχοῖνα, ἀραιά: sed neque Orib. neque Serapio ita legerunt.
Quidam, πολλαὶ.
A' οὐρητικαί.
Quidam addūt, καὶ φαρμακτικαί.
Quidā add. ἀπὸ ἀλγήματι χρονίοις.
Quid. v. cod. ἐν. ἑξ.

V. ad marginē, ἐν παρὰ τῷ Ἰουεστίνῳ τῆς Ἰταλίας.
Goupylus ex v. quodam exemplari legit Οὐεστίνῃ τῆς Ἰταλίας.

C De Aſaro. Cap. IX.

ASARVM aliqui ſylueſtre Nardū appellant. Folia habet hederæ, ſed dēſiora multò & rotūdiora: florem inter folia iuxta radicem, cęruleum, hyoſcyami cytinum referentē, in quo ſemen *acini nucleo ſimile. Radices ſubiacēt numeroſæ, geniculatæ, tenues, obliquæ, gramini ſimiles, longè tamen graciliores & odoratæ: quæ quidem linguam excalfaciunt valdéque mordent. Pl. acinoſum.

D Calfaciendi vrinas vomitúmque ciendi vi præditæ ſunt: ideóque hydropicis & inueteratę Iſchiadi proſunt, ac menſes quoque proliciunt. Senis drachmis ex mulſa bibitæ radices veratri albi modo purgant. Miſcentur & vnguentis. Prouenit autē aſarum in *opacis montibus: plurimum verò in Ponto, E Phrygia, Illyrico & Veſtino Italiæ agro. vmbroſis.

Περὶ Φοῦ. Κεφ. ι'.

ΦΟΥ, οἱ δὲ, καὶ τοῦτο ἀγρίαν νάρδον καλοῦσι, γίνεται μὲν ἐν Πόντῳ, φύλλα δὲ ἐλαφοβοσκῷ ἢ ἱπποσελίνῳ παραπλήσια ἔχει, καυλὸν πηχυαῖον ἢ μείζω, λεῖον, τρυφερὸν, ἐμπόρφυρον, μεσόκοιλον, διειλημμένον γόνασιν, ἄνθη πρὸς τὰ τοῦ ναρκίσσου, *μείζω δὲ καὶ τρυφερώτερα, καὶ ἐν τῷ *ὑπολεύκῳ διαπόρφυρα· ῥίζα δὲ ἡ μὲν *ἄνωτέρω, περὶ δακτύλου μικροῦ τὸ πάχος, πλάγια δὲ *ἐπιρρίζια ἔχει, καθάπερ σχοῖνος ἢ μέλας ἐλλέβορος, ἀλλήλοις ἐπιπεπλεγμένα, *ὑπόξανθα, εὐώδη, ναρδίζοντα τῇ ὀσμῇ, μετά τινος βάρους βρωμώδους. δύναται δὲ θερμαίνειν, οὖρα κινεῖν, ξηρὰ ποτιζόμενον.

Quidam ἐν τῷ ἄνθει, vel ἄνθη V. μείζω δὲ καὶ ὑπολεύκῳ διαπορφυρᾷ μεταπίπτει.
Pal. ἀνωτέρω.
V. ἐπιρρίζια.

De Phu. Cap. X.

PHV, quod & ipſum aliqui ſylueſtre nardum appellant, in Ponto naſcitur, foliáque profert Elaphobosco aut Oleri atro ſimilia: caulem cubitalem, aut etiam maiorem, læ- Col. paſtum vocat. F uem, mollem, purpuraſcentem, in medio cauum, geniculis interceptū. Flores ad narciſſinos proximè accedunt, ſed & minores ſunt & teneriores, & in albicante colore purpurei. Radix ſuperiore quidem ſui parte digiti parui craſſitudinē fermè æquat, ſed habet ex obliquo capillamenta iunci aut Veratri nigri G inſtar inuicem implicita, flaueſcentia, odorata, atque adeo odore nardum æmulātia, cum *viroſa quadam grauitate. Trita potui data calfaciendi, vrináſq; mouēdi vim habet.

Eius verò decoctū & idipsum præstare potest, & ad lateris doloré est efficax, mensésq; cit, & antidotis inseritur. Adulteratur rusci radicibus admista: sed facile est illas dignoscere: sunt enim duræ & frangi contumaces, citra gratiam odoris vllam.

De Malabathro. Cap. XI.

MALABATHRVM nonnulli Nardi Indicæ folium esse arbitrantur, odoris quadam cognatione decepti. (Sunt enim multa odore nardo similia, veluti Phu, Asarum, Neris) Secus autem se res habet. Etenim peculiare genus est, quod in paludibus Indicis gignitur. Folium id est, quod lentis palustris modo aquæ innatat, nulla fultum radice. Idipsum collectum statim lino traijcitur, siccatúmque reconditur. Aiunt & aqua per æstiuos ardores exiccata cremiis fomitibúsve aridis terram peruri: atque id nisi fiat, non amplius renasci. Laudatur recens & in nigrore quodam albicans, minimè fragile, integrum, nares odore feriens, illiúsque suauitate diutius implens, nardo sapore simile, nullo salis gustu. Infirmum verò ac minutatim concisum quódque recepta vetustatis carie situm quasi redolet, vitiosum est. Easdem cum Nardo vires sortitur, sed illud efficaciùs omnia præstat: attamen malabathrum & vrinas ciendi maiore vi pollet, & stomacho conuenientius est. Oculorum inflammationibus in vino feruefactum tritúmque ac illitum apprimè confert. Subditur & linguæ ad commendandum oris halitum. Quin vestibus etiam vtiliter interponitur: eas siquidem & à tineis defendit, & odore non ineleganti tuetur.

[illegible]

De Cassia. Cap. XII.

CASSIÆ complura sunt genera, quæ circa feracem aromatum Arabiam gignuntur. Habet autem crassi corticis sarmētū, foliaq; piperis. Delige fuluescentē, probè coloratā, corallij æmulā, pquam angustā,

A καὶ τὸ ἀπόζεμα δὲ αὐτῆς τὸ αὐτὸ δύναται ποιεῖν, καὶ πρὸς πλευρᾶς πόνον· ἔμμηνά τε ἄγει, καὶ ἀντιδότοις μίγνυται. δολοῦται δὲ ὀξυμυρσίνης ῥίζαις συμμιγνυμένη· εὐχερὴς δὲ ἡ ἐπίγνωσις αὐτῆς ἐστι· σκληραὶ γάρ εἰσιν αὗται καὶ δύσθραυστοι, δίχα εὐωδίας. Al. ῥίζαις παραμεμιγμένοις.

B

Περὶ Μαλαβάθρου. Κεφ. ια΄.

ΜΑΛΑΒΑΘΡΟΝ ἔνιοι ὑπολαμβάνουσιν εἶναι τῆς Ἰνδικῆς νάρδου ʹφύλλον, πλανώμενοι ʺὑπὸ τῆς κατὰ τὴν ὀσμὴν ἐμφερείας. ʺπολλὰ γάρ ἐστιν ὅμοια τῇ ὀσμῇ νάρδῳ, ὡς τὸ φοῦ, ʺἄσαρον, C νῆρις*. οὐκ ἔχει δὲ οὕτως. ἴδιον γάρ ἐστι γένος φυόμενον ἐν τοῖς Ἰνδικοῖς τέλμασι, φύλλον ὂν ἐπινηχόμενον τῷ ὕδατι, καθάπερ ἡ ἐπὶ τῶν τελμάτων φακῆ, ῥίζαν οὐκ ἔχον. ὅπερ συλλέγοντες, εὐθέως διαπείρουσι λίνῳ, καὶ ξηράναντες ἀποτίθενται. φασὶ δὲ καὶ τῆς θερείας ἀναξηρανθέντος D τοῦ ὕδατος, καίεσθαι φρυγανοῖς τὴν γῆν· μὴ γινομένου γὰρ τούτου μηκέτι φύεσθαι. ἔστι δὲ καλὸν τὸ πρόσφατον καὶ ὑπόλευκον ἐν τῷ ʺμελανίζειν, ἄθραυστόν τε καὶ ὁλόκληρον, πλῆττον τῇ ὀσμῇ, καὶ ἐπιδιαμένον τῇ εὐωδίᾳ, ʺναρδίζον δὲ τῇ γεύσει, μὴ ἁλμυρίζον. τὸ δὲ ἀδρανὲς καὶ E τὸ λεπτοκοπούμενον, εὐρωτιῶσαν ἔχον τὴν ἀποφορὰν, φαῦλον. δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ νάρδῳ. ἐνεργέστερον δὲ ἐκείνη* πάντα ποιεῖ. διουρητικωτέρα μέντοι καὶ εὐστομαχωτέρα ἐστὶν ἡ τοῦ μαλαβάθρου δύναμις, καὶ πρὸς τὰς ʹὀφθαλμικὰς φλεγμονὰς ἐπιμόζει ἀναζεσθὲν F ἐν οἴνῳ καὶ λεῖον ἐπιχριόμενον. ὑποτίθεται δὲ καὶ γλώσσῃ πρὸς εὐωδίαν στόματος, καὶ σὺν ἱματίοις τίθεται. ἄβρωτα γὰρ καὶ εὐώδη ταῦτα τηρεῖ.

V. φύλλα
Al. πολλοὶ γάρ εἰσιν ὅμοια νάρδου, ὡς τὸ φοῦ.
Lo. codex [illegible]
Quidam μελανίζειν τι ἄθραυστον ὑπάρχει.
Al. ναρδίζον, [illegible] Lacunæ credimus. ναρδίζον δὲ ἐν τῇ γεύσει μὴ
Al. ὀφθαλμίας & φλεγμονάς

Περὶ Κασσίας. Κεφ. ιβ΄.

ΚΑΣΣΙΑΣ δέ ἐστι πλείονα εἴδη, G περὶ τὴν ἀρωματοφόρον Ἀραβίαν ʹγεννώμενα. ἔχει δὲ ῥάβδον παχύφλοιον, φύλλα δὲ * ὡς πεπέρεως. ἐκλέγου δὲ τὴν ἔγκιρρον, εὔχρουν, κοραλλίζουσαν, στενὴν ʺλίαν,

V. & Ald. carent
Al. λείαν. & sic Aetius

μακρὰς καὶ παχείας, τοῖς συριγγίοις πλήρη, δηκτικὴν ἐν τῇ γεύσει, καὶ στύφουσαν μετὰ πολλῆς πυρώσεως, ἀρωματίζουσαν, οἰνίζουσαν τῇ ὀσμῇ. ἡ δὲ τοιαύτη ὑπὸ τῶν ἐπιχωρίων ἄχυ καλεῖται. δαφνῖτις δὲ προσαγορεύεται ὑπὸ τῶν ἐν Ἀλεξανδρείᾳ ἐμπόρων. πρὸ δὲ ταύτης ἐστὶν ἡ μέλαινα καὶ ἐμπόρφυρος παχεῖα, γίζιρ καλουμένη, ῥοδίζουσα τῇ ὀσμῇ, μάλιστα πρὸς τὴν ἰατρικὴν χρῆσιν εὔθετος. δευτερεύει δὲ ἡ προειρημένη. τρίτη δέ ἐστιν ἡ καλουμένη βλαστὸς μοσυλῆτις. αἱ δὲ λοιπαὶ εὐτελεῖς, ὡς ἡ καλουμένη ἀσύφημον, μέλαινα καὶ ἀηδὴς καὶ λεπτόφλοιος, ἢ καὶ φλοιορραγής· ὡς καὶ ἡ κιττὼ καὶ δάκαρ καλουμένη. Ἔστι δέ τις καὶ ψευδοκασσία ἀφάτως ἐμφερής, ἥτις ἐλέγχεται τῇ γεύσει, οὐκ οὖσα δριμεῖα, οὐδὲ ἀρωματώδης, προσεχόμενόν τε τὸν φλοιὸν ἔχει τῇ ἐντεριώνῃ. εὑρίσκεται δὲ καὶ πλατεῖα σύριγξ, ἁπαλή, κούφη, εὐερνής, διαφέρουσα δὲ τῆς ἄλλης. ἀποδοκίμαζε δὲ τὴν ὑπόλευκον καὶ ψωρώδη, τραγίζουσαν ἐν τῇ ὀσμῇ, καὶ τὴν μὴ ἔχουσαν δὲ τὴν σύριγγα παχεῖαν, ψωρώδη δὲ καὶ λεπτήν. δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ οὐρητικήν, ξηραντικήν, στύφουσαν πράως. ἁρμόζει δὲ εἰς τὰ πρὸς ὀξυδορκίαν ὀφθαλμικὰ καὶ μαλάγματα. φακούς τε αἴρει μετὰ μέλιτος καταχριομένη, καὶ ἔμμηνα ἄγει, καὶ ἐχιοδήκτοις βοηθεῖ πινομένη, καὶ πρὸς τὰς ἐντὸς φλεγμονὰς πάσας ποθεῖσα καὶ πρὸς νεφρούς· εἰς ἐγκαθίσματά τε καὶ ὑποθυμιάματα γυναιξί, πρὸς εὐρυσμὸν μήτρας. διπλασίων δὲ αὐτῆς μιγνύμενον τοῖς φαρμάκοις, εἰ μὴ παρείη κιννάμωμον, τὸ αὐτὸ δρᾷ· ἄγαν δέ ἐστι πολύχρηστος.

Περὶ Κινναμώμου. Κεφ. ιγ'.

ΚΙΝΝΑΜΩΜΟΥ ἐστὶ πλείονα εἴδη, ὀνομαζόμενα ἐπιχωρίως. διαφέρει δὲ τὸ μόσυλον, διὰ τὸ σώζειν πως ἐμφέρειαν πρὸς τὴν Μοσυλῖτιν καλουμένην κασσίαν. καὶ τούτου τὸ πρόσφατον, τῇ χρόᾳ μέλαν, τεφρίζον,

Forte, τῶν συρίγγων
V. πυρώς. & sic Aet.
Quid. cod. οἰνίζουσαν
Al. ἀσί
Paris. ζίγιρ
V. τέχνην
Par. βλάστος al. βάστος Pl. habet latam. M. Virgilius βάτος legēdū putat. V. μοσυλιτικός: vel μοσυλιτικός. Scholia in margine μόσυλον, ἤτοι τὸ ὑπὸ τῆς πόλεως μοσύλου
Marc. ἀσύφημον Ruell. ἀσήμον legit, hoc est, incelebris, ignobilis,
V. vnus ἀηδής
Forte κιττώ, vt apud al. & Arrianum.
Antiq. δάρκα al. δάρκα
V. τῆς ἄλλης
Al. τραγίζουσαν quam lectionem secutus est Serapio.
Al. πράως
V. omittit vsque ad καὶ πρὸς
Ald. μόσυλον
V. σώζειν
Al. πόσιν
Ald. μοσυλῖτιν

A longam, crassam, fistularum plenam, gustu mordacem & cum multo feruore astringentem, aromaticam, odore vinoso. Talis ab indigenis achy nuncupatur: à mercatoribus verò Alexandrinis daphnitis cognominatur. Huic præfertur nigra, purpurascens simul & crassa, quæ Gizir appellatur, tanquam ro- B sarum odorem spirans, & ad vsum medicum maximè accommodata. Secundum locum tenet antedicta. Tertia verò censetur quæ mosyleticus blastus, hoc est, germen, nominatur. Reliquæ viles habentur, velut ea quæ Aphysemon dicitur, nigra, iniucunda & cortice tenui aut etiam rimoso, necnon & ea quę C Moto & Darca vocitatur. Est & quædam adulterina cassia, similitudine ineffabili: attamen gustu deprehenditur: quippe quæ neque sit acris, neque aromatica, adhærentémque medullæ corticem habeat. Reperitur & lata fistula, tenera, leuis, surculosa: quæ quidem illi alteri præstat. Reijce albican- D tem, scabram, quæq; hircinum virus oboleat, neque fistulam habeat crassam, sed tum scabram tum tenuem. Vim habet calfaciendi, vrinas mouendi, exiccandi & leniter astringendi. Conuenit ad ea medicamenta, quæ exacuendæ oculorum aciei gratia concinnantur, & ad malagmata. Lentigines tollit ex E melle illita, menstruáque ciet. Quin & à vipera demorsis pota auxiliatur. Confert & epota internis inflammationibus omnibus, renibúsque affectis. Prodest quoque fœminis tum insessu tum suffitu, ad vteri dilatationem. Si desit cinnamomum, huius duplum medicamentis admistum eadem quæ illud F præstat. Est denique ad multa per quàm vtilis.

fistulosam
vel aliquanto

De Cinnamomo. Cap. XIII.

CINNAMOMI plura sunt genera: gentilitijs regionum in quibus nascuntur designata nominibus. Excellit verò quod Mo- G sylum ex eo dicunt, quòd aliquantulam retineat similitudinem eius cassiæ quæ Mosylitis nuncupatur: prætereáque in eo ipso genere quod recens est, colore nigrum, ex vinoso

ex vinoso in cinereum vergens, tenuibus virgultis, lęue, nodis frequẽtibus præditum, perquàm odoratum. Ferè siquidem præstantissimũ ex odoris iucundi proprietate diiudicatur. Etenim in optimo & singulari reperitur odor rutæ aut cardamomo proximus. Præfertur & gustu acre ac mordacitatis particeps, necnon etiam cũ calfactione quadátenus salsum, quodq; inter atterendũ nõ citò friatur, ac inter frãgendum etiã ex se puluisculũ emittit, læuiaq; interim habet internodia. Facturus periculũ sumito ab vna radice surculũ. siquidẽ facilis est huiuscemodi probatio. Enimuerò fragmenta miscellanea quædã sunt: atque adeò cum primum fit experimentum, quæ præstantiora fuerint, dum halitu afflatúve suo odoratum implent, deterioris iudicium impediunt. Est & montanum crassum, pumilum, colore admodũ fuluescens. Itémque tertium à Mosylo, quod est nigrum & valdè odoratum, attamen fruticosum, nec ita multis interstinctum geniculis. Quartum vero album est, fungosum, aspectu tuberosum ac vile, fragile, grandique radice cassiam redolente. Quintũ odore nares ferit, fuluescit, corticéq; habet cassiæ russæ simillimũ: tangẽti verò solidũ animaduertitur, non valde neruosũ est, radiceq; crassa firmatur. In hoc genere quod thus, myrrhã, cassiã aut amomũ odoris suauitate imitatur, deterius est. Deligito candidũ, scabrũ rugosoq; cortice: at lęue & quod circa radicẽ lignosũ est, tanquã inutile repudiato. Est & aliud quiddam simile, quod adulterinũ cinnamomũ cognominatur, vile, odoris inualidi, viribúsque defectũ. Appellatur & quiddã zingiber, quod habet aliquã cũ cinnamomo cognationẽ, cũ tamẽ sit xylocinnamomũ. Est verò lignosũ cinnamomũ virgultis lõgis robustísque præditum, sed odore longè cinnamomo inferioribus. Sunt & qui xylocinnamomum genere ipso à cinnamomo differre dicant, quasi alterius sit naturę. Porrò cinnamomũ omne vim habet calfaciendi, vrinas ciẽdi, emolliẽdi atque cõcoquendi. Menstrua quoque ac fœtus pellit cũ myrrha, tum epotum, tũ & appositum. Contra bestias quæ virus eiaculãtur, venenáque conuenit.

[illegible] in via [illegible] quod [illegible] nigrum & valde odoratum sed fru[illegible]

[illegible]

A ἐν τῷ οἰνώδει, λεπτὸν δὲ τοῖς ῥαβδίοις καὶ λεῖον, ὄζοις συνεχέσι κεχρημένον, σφόδρα εὐῶδες. σχεδὸν γὰρ ἡ τοῦ ἀρίστου κρίσις ἐστὶ περὶ τὴν ἐν τῇ εὐωδίᾳ ἰδιότητα. εὑρίσκεται γὰρ μετὰ τοῦ ἀρίστου καὶ ἰδιάζοντος ἡ ὀσμὴ πηγανίζουσα, ἢ καρδαμώμῳ ἐμφερής. ἔτι καὶ δριμὺ καὶ δηκτικὸν τῇ γεύσει, καὶ ὑφαλμυρίζον μετὰ θερμασίας, ἔν τε τῇ τρίψει μὴ ταχέως δαπανώμενον, καὶ ἐν τῷ θραύεσθαι χνοῶδες, καὶ λεῖον ἔχον τὸ μεταξὺ τῶν ὄζων. δοκίμαζε δὲ ἀπὸ μιᾶς ῥίζης λαμβάνων τὸν θαλλόν. εὐχερὴς γὰρ ἡ τοιαύτη δοκιμασία. τὰ γὰρ θραύσματα, μίγματα τυγχάνει, καὶ κατὰ τὴν πρώτην δοκιμασίαν τὰ κρείττονα προσπνέοντα καὶ πληροῦντα τὴν ὄσφρησιν, ἐμποδίζει τὴν τοῦ ἥττονος ἐπίκρισιν. ἔστι δὲ καὶ ὀρεινόν, παχύ, κολοβόν, σφόδρα ὑπόκιρρον τὴν χρόαν. καὶ τρίτον παρὰ τὸ Μόσυλον, μέλαν καὶ λίαν εὐῶδες· ἀκρεμονῶδες δὲ καὶ οὐ πολυγόνατον. τέταρτον, λευκόν, χαῦνον, ὀγκῶδες ἰδέσθαι καὶ εὐτελές, εὔθραυστόν τε καὶ μεγάλην ἔχον ῥίζαν κασσίζουσαν. πέμπτον, τῇ ὀσμῇ πληκτικόν, ὑπόκιρρον δὲ καὶ προσεμφερὲς κασσίᾳ πυρρᾷ. πρὸς τὴν ἁφὴν δὲ στερεόν, οὐ πάνυ ἰνῶδες, παχύρριζον. τούτων δὲ τὸ πνέον λιβανωτοῦ ἢ μυρσίνης ἢ κασσίας ἢ ἀμώμου εὐωδίας, ἧττόν ἐστιν. ἀποδέχου δὲ τὸ λευκὸν καὶ τὸ ψωρῶδες, καὶ τὸ ῥυσσόκαρφον καὶ λεῖον, καὶ τὸ ξυλῶδες δὲ κατὰ τὴν ῥίζαν ὡς ἄχρηστον παραιτοῦ. Ἔστι δέ τι καὶ ἀλλοιόμοιον τὸ καλούμενον ψευδοκιννάμωμον, εὐτελές, οὐκ εὔτονον τῇ ὀσμῇ, ἐκλελυμένον δὲ καὶ τῇ δυνάμει. καλεῖται δὲ καὶ ζιγγίβερ ξυλοκιννάμωμον ὄν, ἔχον δέ τινα ἐμφέρειαν κινναμώμῳ. ἔστι δὲ ξυλῶδες κιννάμωμον, ἔχον ῥάβδους μακρὰς καὶ ῥωμαλέας, καὶ τὴν εὐωδίαν πολὺ καταδεεστέρας. λέγεται δὲ ὑπ' ἐνίων καὶ κατὰ γένος διαφέρειν τοῦ κινναμώμου τὸ ξυλοκιννάμωμον, ἑτέρας ὂν φύσεως. Δύναμιν δὲ ἔχει πᾶν κιννάμωμον θερμαντικήν, οὐρητικήν, μαλακτικήν, πεπτικήν. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα πινόμενον

Al. ἐν τῷ οἰνώ-

Par. κρᾶσις

V. ἰδίαν

Ex veteri Interprete καρδάμῳ legendum putat Marc. Virgilius.

Ald. μούσυλον.

Ald. οὐ ἄχρηστον παρακάτ κασσίζον. Alter codex manusc. πέμπτον τῇ ὀσμῇ ὑπόκιρρον καὶ προσεμφερὲς τῇ [illegible] κασσίᾳ πυρρᾷ.

Al. στερεὸν οὐ πάνυ ἰνῶδες Ant. εἰνῶδες Marc. ἰνῶδες

Quidam σμύρνης & tolerabilius, vt inferius.

Lacuna addit τὸ μὴ λ.

Ald. & V. μακρὰς

καὶ περιεσπηκόμενον μετὰ σμύρνης, καὶ ἰοβόλοις θηρίοις καὶ θανασίμοις ἁρμόζει· καὶ τὰ ταῖς κόραις ἐπισκοτοῦντα ἀποκαθαίρει, θερμαίνει τε καὶ λεπτύνει, καὶ ἔστι διαφορητικόν, φακούς τε καὶ ἐφήλεις ἀποκαθαίρει μετὰ μέλιτος ἐπιχριόμενον· ποιεῖ δὲ καὶ πρὸς βῆχας, καὶ καταῤῥοὺς, ὕδρωπας, νεφρίτιδας, δυσουρίας. μίγνυται δὲ καὶ τοῖς πολυτελέσι μύροις· καὶ καθόλου ἐστὶ πολύχρηστον. ἀποτίθεται δὲ εἰς διαμονὴν λείον οἴνῳ ἀναλαμβανόμενον, καὶ ξηραινόμενον ἐν σκιᾷ.

Non habetur καὶ in Ald.

Deest καὶ in Ald.

Addit Ald. quæ Crateuæ tribuuntur. ἔστι δέ τι καγχρύφιον ... est. Est & cinnamomũ quoddã, quod nonnulli pseudocinnamomum appellant, fruticosum valdè virgultisque crassioribus, at tum odore tũ etiã sapore cinnamomo longe inferius. Vulg. ... Quidam ... alius ... Florent. ... V. ... S. add. ... Marc. ... Sãbucus add. ...

A Quæ pupillis caliginem offundunt discutit, calfacit simul & attenuat. Illitum ex melle, lentigines & maculas à Solis ardore contractas exterit. Facit & ad tusses, defluxiones, hydropem, renũ vitia, vrinæq; difficultatem. Quin & vnguentis pretiosis admiscetur: ac in vniuersum ad multa est vtile. Quò diu- B tiùs duret, tritum vino excipitur, in vmbra siccatur, atque ita reconditur.

Περὶ Ἀμώμου. Κεφ. ιδ'.

Ἄμωμον ἐστὶ θαμνίσκος οἱονεὶ βότρυς, ἐκ ξύλου αὐτεμπεπλεγμένος ἑαυτῷ. ἔχει δέ τι καὶ ἄνθος μικρὸν, ὡς λευκοΐου, φύλλα δὲ βρυωνίᾳ ὅμοια. κάλλιστον δέ ἐστι τὸ Ἀρμένιον, χρυσίζον τῇ χρόᾳ, ἔχον τε τὸ ξύλον ὑπόκιῤῥον, εὐῶδες ἱκανῶς. τὸ δὲ Μηδικὸν διὰ τὸ ἐν πεδίοις καὶ ἐν ἐφύδροις τόποις φύεσθαι, ἀδυνατώτερον. ἔστι δὲ μέγα καὶ ὑπόχλωρον, καὶ πρὸς τὴν ἀφὴν ἁπαλὸν, καὶ ἰνῶδες τοῖς ξύλοις, ὀριγανίζον τῇ ὀσμῇ. τὸ δὲ Ποντικὸν ὑπόκιῤῥον, οὐ μακρὸν, οὐδὲ δύσθραυστον, βοτρυῶδες, πλῆρες καρποῦ, καὶ τῇ ὀσμῇ πληκτικόν. ἐκλέγου δὲ τὸ πρόσφατον καὶ λευκὸν ἢ ὑπέρυθρον, οὐ πεπιλημένον ἢ συμπεπλεγμένον, λελυμένον δὲ καὶ διακεχυμένον, σπέρματος πλῆρες, ὅμοιον βοτρυδίοις, βαρὺ, σφόδρα εὐῶδες, δίχα εὐρῶτος, καὶ δριμὺ, δάκνον τὴν γλῶσσαν, ἁπλοῦν τὴν χρόαν καὶ οὐ ποικίλον. Δύναμιν δὲ ἔχει θερμαντικὴν, στυπτικὴν, ξηραντικὴν, ὑπνοποιὸν, ἀνώδυνον τοῦ μετώπου καταπλασσόμενον. φλεγμονάς τε καὶ μελικηρίδας πεπαίνει καὶ διαφορεῖ· σκορπιοπλήκτοις τε μετ' ὠκίμου καταπλασθὲν ὠφελεῖ· ποδαγρικοῖς συμβάλλεται, καὶ ὠφελεῖ καὶ παρηγορεῖ καὶ ὀφθαλμῶν φλεγμονὰς, καὶ τὰς ἐν σπλάγχνοις σὺν σταφίδι. πρὸς δὲ τὰ γυναικεῖα καὶ ἐν προσθέτοις, ἐν ἐγκαθίσμασι χρήσιμον, ποθὲν δὲ τὸ ἀφέψημα αὐτοῦ ἁρμόζει ἡπατικοῖς, νεφριτικοῖς, ποδαγρικοῖς. μίγνυται δὲ καὶ ἀντιδότοις,

Aetius ἀμώμου τὴν χρόαν ... Pal. ...

Desunt hæc in Ald.

Desiderãtur hæc in Ald.

De Amomo. Cap. XIIII.

Amomvm pusillus est frutex, in vuæ modum suopte C ligno in seipsum conuolutus. Florem habet paruum ceu violæ albæ, folia verò vitis albæ similia. Præstantissimum censetur Armeniacum, colore aureolum, ligno fuluescente, valde odoratum. Medicum quoniam in planis aquosisque locis prouenit, infirmius existit. Est autem magnum & D subuiride, tactu molle, virgultis ligneis venosis, odore origani. Ponticum fuluescit, nec longum nec ægrè fragile: racemosum verò est, fructu plenum & odore nares feriens. Deligito recens & candidum aut subrubrum: non compactum aut cohærens, sed laxum atque diffusum, semine refertum E acinis simili, ponderosum, valde odoratum, minimè mucidum situve obsitum, acre linguámque mordicans, simplici minimeque vario colore. Vim habet excalfaciendi, astringendi & exiccandi. Somnificum est doloremque sedat, fronti illitum. Inflammationes ac meliceridas maturat & discutit. A F scorpione ictos ex ocimo illitum iuuat. Podagricis confert. Et iuuat & lenit etiam oculorum inflammationes, itémque viscerum ex vua passa. Ad muliebria vitia tum pessorum appositu, tum & insessionibus vtile. Eiusdem decoctũ epotum ex hepate, renúmque vitio laborantibus & podagricis appri- G mè conuenit. Inseritur & antidotis,

vin cariosum

vnguentísque pretiosissimis. Sunt qui Amomum herba simili, quæ Amomis dicitur, adulterent: sed quæ & inodora sit & fructu careat. Nascitur ea in Armenia, floremq́; profert origani. Porrò in huiuscemodi simplicium medicamentorum probationibus fragméta fugiéda sunt: eligenda verò quæ ab vna radice suos habeant integros surculos.

De Costo. Cap. XV.

COSTVS præcellit Arabicus, candidus & leuis, eximio suauique odore præditus. Secundum locum obtinet Indus, crassus, leuis ac niger ceu ferula. Tertius est Syriacus, grauis, colore buxeus, odore feriens. Præstantissimus censetur recens, candicans, omnino plenus, densus, aridus, à teredinibus non erosus, minimè virosus, sapore mordaci ac feruido. Vim habet excalfaciendi, vrinas ciendi, menstruáque ducendi. Vteri vitiis & apposit u & tum humido tum etiam sicco fotu opitulatur. A vipera demorsis succurrit semunciæ pondere potus: itémque pectoris affectibus, conuulsis, inflationibúsque ex vino & absinthio. Venerem ex mulso stimulat. Quin & latum lumbricum ex aqua pellit. Contra febriles rigores ante accessionum initia, necnō etiam paralysim ex oleo perunctione prodest. Ex aqua aut melle itidem illitus discolorem à Sole cutem emendat. Additur quoque in malagmata & antidota. Cæterùm nōnulli admistis helenij Commageni validissimis radicibus ipsum adulterant. Sed facilè deprehenditur dolus: siquidem neque gustu feruet helenium, neque iucundum odorem, potentem sensúmque ferientem expirat.

De Iunco odorato. Cap. XVI.

IVNCVS odoratus alius in Africa, alius in Arabia nascitur: rursúmque alius in ea parte Arabiæ quæ Nabatæa dicitur. Et hic quidem omnium est laudatissimus. Secundum locum sibi vendicat Arabicus, quem nonnulli Babylonium, alij Teuchitin cognominant. Afer verò inutilis censetur.

A καὶ τοῖς πολυτελεστάτοις τῶν μύρων.

δολίζουσι δέ τινες τὸ ἄμωμον τῇ λεγομένῃ ἀμωμίδι, ἐμφερεῖ οὔσῃ τῷ ἀμώμῳ, ἀνόσμῳ μέντοι καὶ ἀκάρπῳ. γίνεται δὲ ἐν Ἀρμενίᾳ, ἄνθος ἐχούσῃ ἐμφερὲς ὀριγάνῳ. δεῖ δὲ ἐν τῇ τῶν τοιούτων δοκιμασίαις τὰ θραύσματα ἐκφεύγειν. ἐκλέ-

Hæc ad marginē habent codices nonnulli, vt alius esse videantur.

B γου δὲ τὰ ἀπὸ μιᾶς ῥίζης ἔχοντα κλάδους πλείους.

Gal. ἔχοντα τοὺς ἰδίους κλάδους. al. ἔχοντα τοὺς ἰδίους κλάδους.

Περὶ Κόστου. Κεφ. ιε'.

ΚΟΣΤΟΥ διαφέρει ὁ Ἀραβικός, λευκὸς ὢν καὶ κοῦφος, πλείστην ἔχων καὶ ἡδεῖαν τὴν ὀσμήν. δευτερεύει δὲ ὁ Ἰνδικός, ἁδρὸς ὢν καὶ κοῦφος καὶ μέ-

V. caret hac voce. al. καὶ μέλας καὶ κοῦφος ὡς νάρθηξ.

C λας ὡς νάρθηξ. τρίτος δέ ἐστιν ὁ Συριακός, βαρύς, τὴν χρόαν πυξώδης, πληκτικὸς τῇ ὀσμῇ. ἄριστος δέ ἐστιν ὁ πρόσφατος, λευκός, πλήρης δι᾽ ὅλου, πυκνός, ξηρός, ἀτερηδόνιστος, ἄβρωμος, γεύσει δηκτικός, καὶ πυρώδης. Δύναμιν δ᾽ ἔχει θερμαντικήν, διουρητικήν, ἐμμήνων ἀγωγόν, καὶ

Epitome Diosc. ad verbū addit: ὅπως ζῶντας κεκοῦσι: sed scholium esse suspicor.
V. πικρός

D τοῖς περὶ ὑστέραν πάθεσιν ἀρωγόν, ἐν προσθέμασι καὶ καταντλήμασι καὶ πυριάσεσι. πινόμενος δ᾽ ἐχιοδήκτοις βοηθεῖ οὐγγιῶν β'. πλῆθος, καὶ πρὸς θώρακος πόνους καὶ σπάσματα, καὶ πνευματώσεις μετ᾽ οἴνου καὶ ἀψινθίου. καὶ ἀφροδίσια δὲ παρορμᾷ μετ᾽ οἰνομέλιτος. ἄγει δὲ καὶ ἕλ-

Videtur legisse Ruellius θυμιάμασι
Desiderantur in Ald. At Cornarius ὑγρὰς ἐμέσεις legit.
Al. ἐμπνευματώσεις

E μινθα πλατεῖαν μεθ᾽ ὕδατος, συγχρίσματί τε ῥιγοῦσι μετ᾽ ἐλαίου πρὸ τῆς ἐπισημασίας, καὶ παραλυτικοῖς. καθαίρει δὲ καὶ ἔφηλιν καταχρισθεὶς μεθ᾽ ὕδατος ἢ μέλιτος. μίγνυται δὲ καὶ μαλάγμασι καὶ ἀντιδότοις. μιγνύουσι δ᾽ ἔνιοι τὰς ῥωμαλεωτάτας τοῦ κομμαγηνοῦ

Marc. legit καὶ Serapionis fortè autoritate duct⁹.

F ἑλενίου ῥίζας, δολοῦντες αὐτόν. εὐχερὴς δὲ ἡ διάγνωσις. οὔτε γὰρ πυροῖ τὴν γεῦσιν τὸ ἑλένιον, οὔτε τὴν εὐωδίαν εὔτονον καὶ πληκτικὴν παρέχει.

V. quidam addit ἔχει καὶ τι φυσῶδες.

Περὶ Σχοίνου. Κεφ. ις'.

ΣΧΟΙΝΟΣ, ἡ μέν τις γίνεται ἐν Λιβύῃ, ἡ δέ, ἐν Ἀραβίᾳ, ἑτέρα δὲ ἐν

G τῇ Ἀβαταίᾳ λεγομένῃ, ἥτις ἐστὶ κρατίστη. δευτερεύει δὲ ἡ Ἀραβική, ἣν ἔνιοι Βαβυλώνιον καλοῦσιν, οἱ δέ, Τευχῖτιν. ἡ δὲ Λιβυκὴ ἄχρηστος.

V.C. ἀβατίᾳ fortè ναβαταίᾳ

ἐκλέγου δὲ τὸ πρόσφατον, ἔμπυῤῥον, πολυανθῆ, σχιζόμενον δὲ ἐμπόρφυρον καὶ λεπτὸν, καὶ ῥοδίζουσαν τῇ εὐωδίᾳ, ἐπειδὰν διατρίβηται ταῖς χερσὶ, καὶ δάκνουσαν τὴν γλῶσσαν μετὰ πολλῆς πυρώσεως. χρῆσις δὲ τοῦ ἄνθους καὶ τῆς καλάμης καὶ τῆς ῥίζης. Δύναμιν δὲ ἔχει διουρητικὴν, ἐμμηνίων ἀγωγὸν, πνευμάτων διαλυτικὴν, κεφαλῆς καρηβαρικὴν, ὑποστύφουσαν μετρίως, ἔτι δὲ θρυπτικὴν, πεπτικὴν, καὶ ἀναστομωτικήν. τὸ μὲν οὖν ἄνθος αὐτῆς ποτίσμασι χρήσιμον πρὸς αἵματος ἀναγωγὰς καὶ πόνους στομάχου, πνεύμονος, ἥπατος, νεφρῶν. μίγνυται δὲ καὶ ἀντιδότοις. ἡ δὲ ῥίζα στυπτικωτέρα. διὸ καὶ τοῖς ἀσώδεσι στομάχοις δίδοται, ὑδρωπικοῖς τε καὶ σπάσμασι < α ὁλκῇ μετὰ ἴσου πεπέρεως πρὸς ἡμέρας τινάς. τὸ δὲ ἀπόζεμα αὐτῆς, ταῖς περὶ μήτραν φλεγμοναῖς εἰς ἐγκάθισμα ἁρμόδιον.

Par. σχιζομένην καὶ ἐμπ. Ald. & V. λευκὴν. V. τρίβηται. Flor. καρηβαρικήν. Leonic. μὴ καρη- βαρικὴν καὶ ὑποσταλ- τικήν. Quidā θρυπτικὸν. OT' delet Sab. V.C legit τὸ δὲ καλούμενον ἄνθος αἱμοπτοϊκοῖς πόμασι. Ald. & V. εἰς ἀντιδότους. Quidā [illegible]. In Par. pondus deest. Al. ἀπόβρεγμα, dilutum.

A Deligito recentem, summè ruffum, flore copioso: quiq; dū scinditur finditúrve purpurascat, tenuem, quíque dum manibus confricatur, suauem rosæ odorem emittat, multóque cū feruore linguā mordeat. Vsus est floris culmorum & radicis. Vim habet vrinas mensésque ciendi. Inflationes discutit, caput aggra- B uat, leuiter ac modicè astringit: itémque calculum comminuit, concoquit, vasorúmque oscula aperit. Flos eius in potiones adhibitus vtilis ad sanguinis reiectiones & oris ventriculi, pulmonis, iecoris & renum affectus. Additur & in antidota. Radix est magis astrictoria: ideóque ad stomachi fastidia exhibetur: C itémque hydropicis & conuulsis ad drachmam vnam cum pari piperis pondere per dies aliquot. Eius verò decoctum vuluę inflammationibus insessione conuenientissimum.

Pl. rubentibus fragmentis

Περὶ Καλάμου. Κεφ. ιζ'.

ΚΑΛΑΜΟΣ ἀρωματικὸς φύεται μὲν ἐν Ἰνδίᾳ. ἔστι δὲ αὐτοῦ κάλλιστος ὁ κιῤῥὸς, πυκνογόνατος, καὶ εἰς πολλοὺς σκινδαλμοὺς θραυόμενος, γέμων ἀραχνίων τὴν σύριγγα, ὑπόλευκος, ἐν δὲ τῇ διαμασήσει γλίσχρος, στυπτικὸς, ὑπόδριμυς. δύναται δὲ οὖρα κινεῖν ποθείς. ὅθεν ἁρμόζει μετὰ ἀγρώστεως ἢ σελίνου σπέρματος ἀφεψηθεὶς καὶ ποθεὶς, ὑδρωπικοῖς, νεφριτικοῖς, στραγγουριῶσι, ῥηγμασιν. ἄγει δὲ καὶ ἔμμηνα πινόμενος καὶ προστιθέμενος, βῆχάς τε ἰᾶται ὑποθυμιώμενος καθ' ἑαυτὸν, καὶ σὺν ῥητίνῃ τερεβινθίνῃ, τοῦ καπνοῦ διὰ σύριγγος ἑλκομένου τῷ στόματι. ἀφέψεται δὲ καὶ εἰς ἐγκαθίσματα γυναικεῖα, καὶ ἐγκλύσματα. μίγνυται δὲ καὶ μαλάγμασι, καὶ θυμιάμασι πρὸς εὐωδίαν.

Πυῤῥὸς addit Oribas. Pal. ἀφεψεῖται. V. carent.

De Calamo odorato. Cap. XVII.

D CALAMVS aromaticus in India nascitur. Est verò probatissimus in eo genere fuluus, crebris distinctus geniculis seu internodijs, quique confractus in assulas multas dissilit, plenam habens araneorum fistulam, subalbidus, in commanducando lentus viscidúsve, astringens & subacris. Potus ad v- E rinam ciendam valet. Quare cum gramine aut apij semine decoctus & potus conuenit hydropicis, renum vitio laborantibus, iisque quibus substillum est lotium, & ruptis. Menses quoque & potu & appositu trahit. Tussi suffitu medetur tum per se, tum etiam cum resina terebinthina, ore nimirum hausto per F fistulam fumo. Decoquitur & ad muliebres insessus, nec non & infusiones. Miscetur denique malagmatis atque suffitibus ad conciliandam odoris gratiam.

Pl. assulosè frangitur

Περὶ Βαλσάμου. Κεφ. ιη'.

ΒΑΛΣΑΜΟΝ τὸ μὲν δένδρον κατὰ μέγεθος λυκίου ἢ πυρακάνθης βλέπεται, φύλλα ἔχον ὅμοια πηγάνῳ, λευκότερα δὲ πολλῷ καὶ ἀειθαλέστερα, γεννώμενον ἐν μόνῃ Ἰουδαίᾳ, κατά

[illegible] D. Al. addunt ἢ λυκίου, alius ἀκανθίας legit.

De Balsamo. Cap. XVIII.

G BALSAMVM arbor lycij seu pyxacanthæ magnitudine conspicitur, foliáque habet rutæ proxima, sed candidiora multò & perpetuò magis virētia. In vnius Iudææ certa

quadam cōualle, & Ægypto, nascitur, differens ipsum à seipso, scabritia, proceritate & gracilitate. Quod igitur in frutice tenue & capillaceū est, theristō quasi demessile dicitur: quoniā fortassis ob gracilitatē facilè demetatur. Quod verò opobalsamum dicitur, æstiuis sub ortu Canis ardoribus excipitur incisa ferreis vnguibus arbore. Sed tā paucū extillat, vt quotannis vix plures quàm seni septenive cōgij colligātur, inibiq; pondus argento duplo repēditur. Est autē bonus succus qui recēs est, validi odoris, sincerus, nō subacidus, dilui facilis, læuis, astringens, & linguā modicè mordens. Sed variè vitiatur. Sunt enim qui ipsi olea vnguentáve admisceāt, quale terebinthinum est, cyprinum, lentiscinum, susinum seu liliaceum, balaninum ac metopium: itémque mel & ceratum myrtinum aut cyprinum valdè liquidum. Huiusmodi vero maleficium facilè deprehenditur. Siquidem sincerus laneæ vesti instillatus, si deinde eluatur, neque maculam facit, neque notam vllam relinquit: at vitiatus inhærescit. Rursúmque purus lacti instillatus idipsum coagulat, id quod adulteratus non efficit. Quin & sincerus lacti aut aquæ infusus celeriter diffunditur, atque lactescit: at adulteratus olei modo innatat, in orbem circumagens aut diffundens sese stellæ in modum. Attamen sincerus etiam vetustate crassescens, seipso deterior euadit. Porrò hallucinantur qui sincerum hunc existimant aquę instillatum priùs ad ima sidere fundúmque petere, ac postea tanquam qui facilè diffundatur & diffluat sursū remeare. Lignū verò quod xylobalsamū vocant, probatur recens, sarmento tenui, ruffum, odoratum, quadantenus opobalsamum spirans. E fructus genere (nā & huius necessarius est vsus) eligito flauum, plenum, grandem, ponderosum, gustu mordentē & feruentē in ore, modicè opobalsamū redolētem. Asportatur à Petra oppido semen hyperico simile, quo fructus hic adulteratur: sed ex eo dignosces quòd maius illud sit, inane, ignauū, sapore piperis. Efficacissima liquori vis inest, vt qui q̃ maximè calfaciat.

A ἵνα αὐλῶνα, καὶ ἐν Αἰγύπτῳ, διαφέρειν αὐτὸ ἑαυτοῦ παχύτητι καὶ μήκει καὶ ἰσχνότητι. λέγεται γοῦν τὸ λεπτὸν καὶ τριχῶδες τοῦ θάμνου θεριστὸν ἴσως διὰ τὸ εὐχερῶς θερίζεσθαι ἰσχνὸν ὄν. τὸ δὲ ὀποβάλσαμον λεγόμενον ὀπίζεται ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἐντεμνομένου σιδηροῖς ὄνυξι τοῦ

B δένδρου. ῥεῖ δὲ ὀλίγον, ὡς καθ' ἕκαστον ἔτος μὴ πλεῖον ἢ ἓξ ἢ ἑπτὰ χόας συναθροίζεσθαι. πωλεῖται δὲ ἐν τῷ τόπῳ σταθμὸς αὐτοῦ πρὸς διπλοῦν ἀργύριον. ἔστι δὲ ὀπὸς καλὸς ὁ πρόσφατος, τῇ ὀσμῇ εὔτονος καὶ εἰλικρινὴς, καὶ μὴ προσοξίζων, εὐδιάχυτος, λεῖος, στύφων καὶ δάκνων μετρίως τὴν

C γλῶσσαν. δολοῦται δὲ ποικίλως· οἱ μὲν γὰρ χρίσμασι μίσγουσιν αὐτὸν, ὡς τὸ τερεβίνθινον, κύπρινον, σχίνινον, σούσινον, βαλάνινον, μετώπιον, μέλι, κηρωτὴν, μυρσίνην ἢ κυπρίνην ὑγρὰν λίαν. ἐλέγχεται δὲ εὐχερῶς ὁ τοιοῦτος· ἐπισταγεὶς γὰρ ὁ ἀκέραιος εἰς ἐρεοῦν ὕφος, καὶ ἐκπλυθεὶς, κηλῖ-

D δα οὐ ποιεῖ ὥστε ἄπιλον. ὁ δὲ δεδολωμένος προσμένει. καὶ γάλακτι δὲ ἐπισταγεὶς πήγνυσι τοῦτο ὅπερ δεδολωμένος οὐ δρᾷ. ἔτι ὁ ἀκέραιος ἐπιχυθεὶς γάλακτι ἢ ὕδατι χεῖται ταχέως καὶ γαλακτοῦται. ὁ δὲ δεδολωμένος ἐπιπλεῖ καθάπερ ἔλαιον, συστρεφόμενος ἢ διαχεόμενος ἀστεροειδῶς,

E τῷ μὲν τοι χρόνῳ καὶ ὁ ἀκέραιος παχυνόμενος, ἑαυτοῦ χείρων γίνεται. πλανῶνται δὲ οἱ νομίζοντες τοῦτον ἀκέραιον ἐπισταγέντα ὕδατι χωρεῖν εἰς βάθος πρῶτον. εἶτα ἀναπλεῖν εὐδιάχυτον. Τὸ δὲ ξύλον ὃ καλεῖται ξυλοβάλσαμον, δόκιμον ἐστι τὸ πρόσφατον καὶ λεπτόκαρφον, καὶ πυρ-

F ρὸν εὐῶδες, βραχὺ πνέον ὀποβαλσάμου. τοῦ δὲ καρποῦ, (καὶ γὰρ τούτου ἡ χρῆσις ἀναγκαία) ἐκλέγου τὸν ξανθὸν, πλήρη, μέγαν, βαρὺν, δάκνοντα τὴν γεῦσιν καὶ πυρώδη, μετρίως προσαποπνέοντα τοῦ ὀποβαλσάμου. φέρεται δέ τι ἀπὸ τῆς Πέτρας, ᾧ δολίζουσι τὸν καρπὸν, σπέρμα ὑπερι-

G κῷ ὅμοιον. ὅπερ γνώσῃ ἐκ τοῦ μεῖζόν τι εἶναι καὶ κενὸν καὶ ἀδύναμον, πιπερίζον τῇ γεύσει. Δύναμιν δὲ ἔχει ἐνεργεστάτην ὁ ὀπὸς, θερμαντικώτατος ὤν,

Pl. eutheristum
V. χέει
Non habetur in vet. exempl.
V. καὶ προσοξίζων
Par. χρίσμασι μίσγουσιν αὐτὸ
Ald. ἐμπλυθεὶς V. ἐκπλυθεὶς
Al. χεῖται καὶ ταχέως γαλ.
V. καὶ
V. τὸν ἀκέραιον
Lacuna addit ἀθρόως confertim
V. ἀδιάχυτον al. διάχυτον
In alt. veteri codice obseruauit Goupylus hoc esse capitis alterius initium, cuius esset inscriptio περὶ ξυλοβαλσάμου.
V. καλούμενον.
Ald. βραχὺ, post quam vocem aliquid desiderari videtur. Vt enim in vetustiss. codicibus ita & in Ald. vacat hoc loco trium literarum spacium.
Al. τὸ μέσον
Par. μεῖζόν τι

V. σμήχει — σμήχων τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰς περὶ μήτραν ψύξεις ἰώμενος, προστιθέμενος μετὰ ῥοδίνης κηρωτῆς. ἄγει δὲ καὶ ἔμμηνα, καὶ δεύτερα, καὶ ἔμβρυα, καὶ ῥίγη συγχρισθεὶς λύει. καθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν. ἔστι δὲ καὶ πεπτικὸς καὶ οὐρητικὸς πινόμενος, δυσπνοοῦσιν ἁρμόζων, καὶ τοῖς ἀκόνιτον πεπωκόσι μετὰ γάλακτος, καὶ θηριοδήκτοις. μίγνυται δὲ καὶ ἀκόποις, καὶ μαλάγμασι καὶ ἀντιδότοις. καὶ καθόλου δραστικωτάτην ἔχει τὴν δύναμιν ὁ ὀπὸς τοῦ βαλσάμου. δευτέραν δὲ ὁ καρπός, ἐλαχίστην δὲ τὸ ξύλον. ὁ δὲ καρπὸς πινόμενος ἁρμόζει πλευριτικοῖς, περιπνευμονικοῖς, βήσσουσιν, ἰσχιαδικοῖς, ἐπιληπτικοῖς, σκοτωματικοῖς, ὀρθοπνοικοῖς, στροφουμένοις, δυσουροῦσι, θηριοδήκτοις, καὶ εἰς τὰ γυναικεῖα δὲ ὑποθυμιάματα εὐθετεῖ, καὶ εἰς ἐγκαθίσματα ἀφεψόμενος ἀναστομοῖ τὴν μήτραν, καὶ ἐπισπᾶται ὑγρασίαν. Τὸ δὲ ξύλον τὴν αὐτὴν ἔχει δύναμιν τῷ καρπῷ, ἥσσονα μέντοι. βοηθεῖ δὲ ἀφεψηθὲν ὕδατι καὶ πινόμενον, ἀπεψίαις, στρόφοις, θηριοδήκτοις, σπωμένοις, οὐρά τε ἄγει, καὶ πρὸς τὰ ἐν κεφαλῇ τραύματα μετὰ ἴριδος ἁρμόζει ξηρᾶς· ἀνάγει δὲ καὶ λεπίδας. μίγνυται δὲ καὶ εἰς τὰ τῶν μύρων στύμματα.

Deest in Ald. & Palat.
Vet. λιπαρά
Al. δευτέρα
Deest in Ald.
V. ἀναστομοῖ
V. ἐπισπώμενος
Par. μίγνυται

Περὶ Ἀσπαλάθου. Κεφ. ιθʹ.

ΑΣΠΑΛΑΘΟΣ, οἱ δὲ ἐρυσίσκηπτρον, θάμνος ἐστὶ ξυλώδης, ἀκάνθας πολλὰς κεκτημένος, γεννώμενος ἐν Ἴστρῳ καὶ Νισύρῳ καὶ Συρίᾳ καὶ Ῥόδῳ· ᾧ χρῶνται οἱ μυρεψοὶ εἰς τὰς τῶν μύρων στύψεις. ἔστι δὲ καλὸς ὁ βαρύς, καὶ μετὰ τὸ περιφλοιωθῆναι ὑπέρυθρος ἢ πορφυρίζων, πυκνός, εὐώδης, πικρίζων ἐν τῇ γεύσει. ἔστι δέ τι καὶ ἕτερον εἶδος αὐτοῦ, λευκόν, ξυλῶδες, ἄοσμον· ὃ δὴ καὶ χεῖρον καθέστηκε. Δύναμιν δὲ ἔχει θερμαντικὴν μετὰ στύψεως. ὅθεν πρός τε τὰς ἄφθας ἑψηθεὶς μετ' οἴνου καὶ διακλυζόμενος ἁρμόζει, καὶ πρὸς τὰς ἐν αἰδοίοις νομὰς καὶ ἀκαθαρσίας ἐγκλυζόμενος, καὶ πρὸς τὰς ὀζαίνας, ἔμβρυά τε κατασπᾷ μιγνύμενος πεσσῷ. τὸ δὲ ἀφέψημα αὐτοῦ κοιλίαν ἵστησι καὶ

Quidam ἐρυσίσκηπτρον ex Plinio legendum suspicantur.
Ald. ἀκάνθαις πολλαῖς κεχρημένος Vetus quidam, κεκρυμμένος.
Al. ἰσσύρῳ & νισύρῳ
Aetius, φλοιωθῆναι
Inv. nō legitur καὶ
V. carent.

A Quæ pupillis tenebras offundunt exterget: itémque vuluę perfrictionibus medetur, cum cerato rosaceo appositus. Menses quoque, secundas & fœtus extrahit: rigores illitu soluit, sordidáque vlcera expurgat. Quin & potus concoctionem iuuat, vrinásque ciet: ægrè spirantibus conuenit; necnon & iis qui aconi-
B tum hauserunt, si cum lacte exhibeatur, itémque à vipera demorsis. Miscetur & acopis, malagmatis & antidotis. Ac in vniuersum efficacissimá vim habet balsami liquor, proximam huic fructus, minimam verò lignum. Fructus potui datus conuenit pleuriticis, peripneumonicis, tussientibus, ischiadicis, comi-
C tialibus, vertiginosis, orthopnoicis, torminosis, difficulter meientibus, & à vipera venenatísque alijs animalibus demorsis. Porrò & ad muliebres suffitus accommodatur: ítémque decoctus insessu vuluam aperit, humiditatémque exhaurit. Lignum easdem cum fructu vires habet, attamen minores: ex aqua
D decoctum & potum cruditatibus, torminibus, virulentorum morsibus, conuulsísque opitulatur. Vrinas quoque cit, & capitis vulneribus cum iride sicca conuenit: squamas etiam ossium extrahit. Denique ad vnguentorum etiam spissamenta additur.

E *De Aspalatho.* *Cap. XIX.*

POPVLI albæ cortex vnciæ vnius pondere potus ischiadicis & stranguriæ prodest. Traditur & conceptum prohibere, si cum mulino rene bibatur. Sed & folia post purgationes cum vino pota idem præstare dicuntur. Tepidus quoque foliorum succus aurium doloribus vtiliter instillatur. Pilulæ verò quæ primo foliorum germinatu erumpunt, tritæ & cum melle illitæ oculorum hebetudini medentur. Nec desunt qui memoriæ prodiderint, tum albæ tum etiam nigræ populi corticem in tenuia frusta concisum ac stercoratis areolis sparsum & quasi satum quauis anni tempestate fungos edules proferre.

alienum

De Macere. Cap. CX.

MACER cortex est è Barbaria aduehi solitus, subflauus, crassus & gustu per quàm astringens. Bibitur is ad cruentas excreationes, dysenterias & alui fluxiones.

De Vlmo. Cap. CXI.

VLMI & folia & rami & ipse cortex astringendi vim habent. Folia trita ex aceto ad lepram efficaciter illinuntur, & vulnera glutinant: multò verò magis cortex, si fasciæ loco circumuoluatur: est enim lori in modum flexilis. Crassior autem cortex in vino aut aqua frigida vnciæ pondere potus, pituitam educit. Quin & decoctum foliorum aut corticis radicúmve ossibus fractis si fotus gratia perfundatur, ea celeriùs obducto callo solidat. Humor autem qui in folliculis prima germinis eruptione reperitur, faciei illitus cuti nitorem inducit. Ille idem dum exiccatur, in animalcula culicibus similia resoluitur. Cæterùm recentia folia ad opsonia olerum more vsurpantur.

De Lignorum carie. Cap. CXII.

QVÆ verò caries ex veteribus lignis & caudicibus veluti farina colligitur, imposita vlceribus ea repurgat & ad cicatricem perducit. Eadem serpentia cohibet cum pari aniso & vino subacta, itidémque trita, linteis indita & inspersa.

De Populo nigra. Cap. CXIII.

POPVLI nigræ folia ex aceto imposita podagricis doloribus auxiliantur: quæ verò ex ea manat resina, malagmatis ammiscetur. Semen ex aceto potum comitialibus vtile. Fertur populorum lachryma quæ secundùm Padum amnem destillat concrescere, fieríque succinum, quod electrum vulgo Græcorum, nonnullis chrysophorum appellatur. Id attritu iucundum odorem spirat, & colore aurum æmulatur. Tritum potúmque stomachi aluíque fluxiones sistit.

De Harundine. Cap. CXIIII.

IN harundinum genere quædam nastos, id est, plena solidáve appellatur: ex qua sagittæ factitari solent: altera fœmina, ex qua tibijs li-

A

Περὶ Πτελέας. Κεφ. ρια΄.

ΠΤΕΛΕΑΣ τὰ φύλλα καὶ οἱ ἀκρέμονες καὶ ὁ φλοιὸς συσταλτικά. ποιεῖ δὲ τὰ φύλλα πρὸς λέπρας λεῖα σὺν ὄξει ἐπιπλαττόμενα, καὶ τραύματα κολλᾷ, μᾶλλον δὲ ὁ φλοιὸς ἀντὶ ἐπιδέσμου περιειλούμενος· ἔστι γὰρ ἱμαντώδης. ὁ δὲ (V. πτελέας & sic deinceps. De vlmo lignorúmque marcore duo capita in vetustis desiderantur: in margine tantum epigraphe Κεφ. ῥιζοτόμου.)

B παχύτερος φλοιὸς σὺν οἴνῳ ἢ ὕδατι * ψυχρῷ ποθεὶς ὅσον οὐγγίας α΄. πλῆθος, ἄγει φλέγμα. * καὶ τὸ ἀφέψημα δὲ τῶν φύλλων ἢ τοῦ * φλοιοῦ τῶν ῥιζῶν καταντλούμενον, κάταγμα πωροῖ τάχιον. τὸ δὲ ἐν ταῖς * φύσαις κατὰ τὴν πρώτην ἐκβλάστησιν εὑρισκόμενον ὑγρόν, * στίλβει πρόσωπον ἐπιχριόμενον. ξηραινόμενον δὲ τὸ ὑγρὸν τοῦτο, ἀναλύεται εἰς θηρία κωνωποειδῆ. * λαχανεύεται δὲ τὰ πρόσφατα τῶν φύλλων ἑψόμενα εἰς προσοψήματα. (Deest in vulg. exempl. quanquam à Plinio & Serapione omissum non est. — V. καὶ delet & legit τὸ δὲ ἀπό. — V. φύσκαις — Forte στίλβει — V. καὶ λαχανεύεται δὲ — Quidam supplet ἐν ἰταλίᾳ.)

C

Περὶ Σαπρότητος ξύλων. Κεφ. ριβ΄.

Η δὲ ἀπὸ τῶν παλαιῶν ξύλων καὶ

D πρέμνων σαπρεία συναγομένη, ὥσπερ ἄλευρον καταπλασσομένη, ἀνακαθαίρει καὶ ἀπουλοῖ ἕλκη· τὰ δὲ ἑρπυστικὰ ἐπέχει, σὺν ἴσῳ ἀνίσῳ φυραθεῖσα * καὶ οἴνῳ, ἐν ὀθόναις τε καθεῖσα καὶ λεῖα * καταπλασσομένη. (V. σὺν — V. [illegible])

B

Περὶ Αἰγείρου. Κεφ. ριγ΄.

ΑΙΓΕΙΡΟΥ τὰ φύλλα μετ' ὄξους καταπλαττόμενα, ποδαγρικὰς ὀδύνας ὠφελεῖ. ἡ δὲ ἐξ αὐτῆς ῥητίνη μίγνυται μαλάγμασιν. ὁ δὲ καρπὸς μετ' ὄξους πινόμενος, ἐπιληπτικοὺς * ὠφελεῖ. ἱστορεῖται δὲ ὅτι τὸ ἐξ * αὐτῶν δάκρυον κατὰ

F τὸν Ἠριδανὸν ποταμὸν καταχεόμενον πήγνυται, καὶ γίνεται τὸ καλούμενον ἤλεκτρον, ὑπ' ἐνίων δὲ χρυσοφόρον· εὐῶδες ἐν τῇ παρατρίψει καὶ χρυσοειδὲς τῷ χρώματι, ὅπερ πινόμενον λεῖον, στομάχου καὶ κοιλίας ῥεῦμα ἵστησι. (In antiquis codicibus caput hoc capiti περὶ λεύκης ascriptum est. Vulg. αἰγείρου. πόνου τὰ — V. ὠφελεῖ ἱστορεῖται. λέγεται δ' ἐπὶ Marc. αὐτῆς — V. ἀποχεόμενον)

G

Περὶ Καλάμου. Κεφ. ριδ΄.

(V. καλάμων)

ΚΑΛΑΜΩΝ ὁ μέν τις καλεῖται νάστος, ἐξ οὗ τὰ βέλη γίνεται. ὁ δέ τις θῆλυς, ἐξ οὗ αἱ γλωττίδες τοῖς

αὐλοῖς κατασκευάζονται. ἄλλος δὲ συριγγίας, πολύσαρκος, πυκνογόνατος, εἰς βιβλιογραφίαν ἐπιτήδειος. ὁ δέ τις παχὺς καὶ κοῖλος, παρὰ ποταμοῖς φυόμενος, ὃς καὶ δόναξ καλεῖται, ὑπό τινων δὲ Κύπριος. καὶ ἕτερος φραγμίτης, λεπτὸς ὑπόλευκος, πᾶσι γνώριμος. οὗ ἡ ῥίζα καταπλασθεῖσα λεία, καὶ καθ' ἑαυτὴν καὶ σὺν βολβοῖς, ἐπισπᾶται σκόλοπας καὶ ἀκίδας. σὺν ὄξει δὲ στρέμματα καὶ ὀσφύος ἀλγήματα πραΰνει. τὰ δὲ φύλλα χλωρὰ κοπέντα καὶ ἐπιτεθέντα, ἐρυσιπέλατά τε καὶ τὰς ἄλλας φλεγμονὰς ἰᾶται. ὁ δὲ φλοιὸς ἀλωπεκίας θεραπεύει καεὶς καὶ μετ' ὄξους καταπλασθείς. ἡ δὲ ἀνθήλη τῶν καλάμων ἐμπεσοῦσα εἰς τὰς ἀκοάς, κώφωσιν ἐργάζεται. Δύναται δὲ τὰ αὐτὰ καὶ ὁ Κύπριος λεγόμενος κάλαμος ποιεῖν.

V. πολύσαρκος · V. ὑπόλευκος al. λευκὸς al. ... · P. al. λεῖα καθ' αὑτὴν ... · V. τὰς ἀκοάς

Περὶ Παπύρου. Κεφ. ριε'.

ΠΑΠΥΡΟΣ γνώριμός ἐστι πᾶσιν, ἀφ' ἧς ὁ χάρτης κατασκευάζεται· εὐχρηστεῖ δὲ πρὸς τὴν ἐν ἰατρικῇ χρῆσιν, πρὸς ἀναστόμωσιν συρίγγων· σκευασθεῖσα διάβροχος, περιειλουμένου λίνου ἄχρι ξηρασίας. στενουμένη γὰρ καὶ καθιεμένη ἐμπίπλαται ὑγρασίας, καὶ ἐξοιδοῦσα διανοίγει τὰς σύριγγας. ἔχει δέ τι ἡ ῥίζα αὐτῆς καὶ τρόφιμον· διαμασώμενοι γοῦν αὐτὴν οἱ ἐν Αἰγύπτῳ, ἀποχυλίζουσιν ἐκπτύοντες τὸ διαμάσημα. χρῶνται δὲ καὶ ἀντὶ ξύλων αὐταῖς. ἡ δὲ κεκαυμένη πάπυρος ἄχρι τεφρώσεως δύναται νομὰς ἐπέχειν τὰς ἐν στόματι καὶ πάντῃ μέρει· βέλτιον δὲ ὁ χάρτης καεὶς δρᾷ τὸ τοιοῦτον.

V. al. ... · Marcellus & Cornarius legūt ... Al. διάβροχος · V. ... · Al. ... · V. addit ...

Περὶ Μυρίκης. Κεφ. ρις'.

ΜΥΡΙΚΗ δένδρον ἐστὶ γνώριμον, παρὰ λίμναις καὶ τοῖς στασίμοις ὕδασι φυόμενον, καρπὸν ὥσπερ ἄνθος φέρουσα

V. eodem addit ... · V. ...

A gulæ conficiuntur. Alia syringias, hoc est, fistulosa, multa carne prædita, geniculis densior, ad librorum scriptionem accommodata. Alia denique crassa & concaua, circum amnes nascens, quæ etiam donax & à quibusdam Cypria vocatur. Est & alia phragmites, quasi sepimentis B idonea, gracilior, candicans, vulgo nota. Cuius radix contrita, ac tum per se, tum cum bulbis imposita spicula aculeósque corpore extrahit. Ex aceto verò luxata doloresque lumborum demulcet. Virentia porrò folia tusa & imposita tum erysipelatis, tum alijs inflammationibus medentur. Cor- C tex vstus & ex aceto illitus alopecias emendat. Cæterùm paniculæ flos, si aures intrauerit, exurdat. Eadem quoque præstare valet quæ Cypria harundo dicitur.

De Papyro. Cap. C XV.

D PAPYRVS nulli non cognita, ex qua charta paratur. Præcipuæ verò est in Medicina vtilitatis ad laxanda fistularum orificia, si præparata fuerit, hoc est, liquore quopiam macerata lino fuerit obuoluta vsque dum inaruerit. Ita enim coarctata atque immissa hu- E more completur, & intumescendo fistulas aperit. Habet autem radix alimenti nonnihil: quò fit vt eam commanducantes Ægyptij succum exugant, commansum reliquum expuant. Ipsis quoque radicibus ijdem pro ligno vtuntur. At vsta papyrus dum in cinerem redacta fuerit, depascen- F tia vlcera cùm omnium partium, tum oris maximè cohibet. Verùm id meliùs combusta charta præstat.

De Myrica seu tamarice. Cap. C XVI.

G MYRICA nota arbor est, apud paludes ac resides stagnantésve aquas nascens, fructúmque veluti florem ferens compa-

compage muſcoſum. Gignitur & in Ægypto Syriáque ſatiua quædam, cæterà ſylueſtri ſimilis, at fructum ferens gallæ proximum, guſtu inæqualiter aſtringentem, quíque vice gallæ ad oris oculorúmque medicamenta accommodatur. Datur & ad ſanguinis excreationes in potu: cœliacis quoque & fœminis vuluæ profluuio laborantibus; necnon & contra morbum regium, phalangiorúmque morſus. Impoſitus etiam œdemata inhibet. Cortex vero eadem quæ fructus præſtat. At foliorum decoctum in vino potum lienem liquat, & ore collutum ad dentium dolores ſalutare eſt. Quin & inſeſſu mulieribus vuluæ fluxioni opportunis auxiliatur: ijs quoque qui pediculos lendéſque gignunt affuſum prodeſt. Sed & ligni cinis appoſitus fluxionem ex vtero ſiſtit. Sunt & qui è caudice calices parent, quibus poculorum vice ſplenetici vtantur, ceu datus in eiuſmodi vaſis potus lieni conferat.

A βρυῶδες κατὰ τὴν σύστασιν. Γεννᾶται δέ τις ἐν Αἰγύπτῳ καὶ Συρίᾳ ἥμερος, κατὰ τὰ ἄλλα ὁμοία τῇ ἀγρίᾳ, καρπὸν φέρουσα ἐμφερῆ κηκῖδι, ἀνωμάλως στύφοντα κατὰ τὴν γεῦσιν· ἁρμόζοντά τε ἀντὶ κηκῖδος εἰς τὰ στοματικὰ καὶ ὀφθαλ- B μικά, καὶ πρὸς αἵματος ἀναπτύσεις ἐν ποτῷ, καὶ κοιλιακαῖς καὶ ῥοικαῖς γυναιξὶν, ἰκτέρῳ τε καὶ φαλαγγιοδήκτοις· οἰδήματά τε στέλλει καταπλασθείς. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ ποιεῖ τῷ καρπῷ. τῶν δὲ φύλλων τὸ ἀφέψημα σὺν οἴνῳ ποθὲν, σπλῆνα C τήκει· καὶ ὀδονταλγίαις βοηθεῖ διακλυζόμενον, ἐγκάθισμά τε ῥοικαῖς, καὶ ἐπίχυμα τοῖς φθεῖρας καὶ κόνιδας γεννῶσιν ἐπιτήδειον· καὶ ἡ ἀπὸ τῶν ξύλων τέφρα προστεθεῖσα, ῥύσιν ἐκ μήτρας στέλλει. κατασκευάζουσι δὲ ἔνιοι καὶ κύλικας ἐκ τοῦ πρέμνου, αἷς D ἐπὶ τῶν σπληνικῶν χρῶνται ἀντὶ ποτηρίων, ὡς τοῦ δι' αὐτῶν πόματος ὠφελοῦντος.

V. δ' ἐν ἀγρ. — V. ἢ καρπὸν δὲ φέρει — V. ἀνωμάλως, στύφοντα τῇ γεύσει — V. ὀδονταλγίᾳ — V. τῶν ξύλων δὲ τέφρα — V. ἡ ῥύσιν τὴν ἐκ μήτρας. — V. ὡς τοῦ αὐτῶν πόμ.

De Erica. Cap. CXVII.

ERICA fruticoſa eſt arbor, myricæ ſimilis, at longè minor: cuius flore dum vtuntur apes, minimè probatum mel efficiunt. Huius tam flos quàm coma ſerpentium morſibus illitu medetur.

Περὶ Ἐρείκης. Κεφ. ριζ.

Palignac

ΕΡΕΙΚΗ δένδρον ἐστὶ θαμνῶδες, ὅμοιον μυρίκῃ, μικρότερον δὲ πολ- E λῷ· οὗ τῷ ἄνθει μέλιτται χρώμεναι, μέλι ἐργάζονται οὐ σπουδαῖον· ταύτης ἡ κόμη καὶ τὸ ἄνθος καταπλασσόμενα, ἑρπετῶν δήγματα ἰᾶται.

V. ἐργάζονται σπουδ.

De Acacalide. Cap. CXVIII.

ACACALIS fructus eſt naſcentis in Ægypto fruticis, myricæ fructui quadantenus ſimilis: cuius dilutum ad collyria additur, quæ viſus claritati conueniunt.

Περὶ Ἀκακαλίδος. Κεφ. ριη.

ΑΚΑΚΑΛΙΣ θάμνου καρπός ἐ- F στι γεννωμένου ἐν Αἰγύπτῳ, ἐοικὼς κατά τι τῷ μυρίκης καρπῷ· οὗ τὸ ἀπόβρεγμα μίγνυται κολλυρίοις τοῖς πρὸς ὀξυδορκίαν ἁρμόζουσιν.

Pal. γεννώμενος — V. add. καὶ ἀμβλυωπίας

De Rhamno. Cap. CXIX.

RHAMNVS frutex eſt circa ſepes naſcens, virgas gerens erectas, ſpináſque oxyacanthæ modo aculeatas: folijs paruis, oblongis,

Περὶ Ῥάμνου. Κεφ. ριθ.

ῬΑΜΝΟΣ θάμνος ἐστὶ περὶ φρα- G γμοὺς φυόμενος, ῥάβδους ἔχων ὀρθὰς καὶ ὀξείας ἀκάνθας, ὥσπερ ἡ ὀξυάκανθα· φύλλα δὲ μικρά, ὑπομήκη, ὑπο-

V. codex ῥάμνος θαμνώς ἐστιν ὀξύς. Sic Paulus quoque. — Marc. legit μακρά — Al. ἐπιμήκη

Haec verba καὶ ἡ τρίτη &c. et ... Goupylo, non inueniuntur in altero codice quē habuit manuscripto. Vulg. exempl. non habent. V. ἔστι δὲ καὶ τρίτη

λίπαρα, μαλακά. ἔστι δὲ καὶ ἑτέρα παρὰ ταύτην λευκοτέρα· καὶ τρίτη μελαντέρα ἔχουσα τὰ φύλλα, καὶ πλατύτερα σὺν τῷ ἠρέμα ἐρυθραίνεσθαι. ῥάβδους μακρὰς πηχέων ὡς πέντε, καὶ μᾶλλον ἀκανθώδεις, ἧττον δὲ στερεὰς καὶ ἐπακμοὺς ἔχει τὰς ἀκάνθας. καρπὸς δὲ πλατὺς, λευκὸς, λεπτὸς, ὡς θυλακώδης, ἐοικὼς σφονδύλῳ. ποιεῖ δὲ πασῶν τὰ φύλλα πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας καταπλασσόμενα. λέγεται δὲ καὶ κλάδας αὐτῆς, θύραις ἢ θυρίσι προστεθέντας, ἀποκρούειν τὰς τῶν φαρμάκων κακουργίας.

Par. σφονδύλῳ

Al. χοιράδεσι ... sine discrimine.

Περὶ Ἀλίμου. Κεφ. ρκ'.

ΑΛΙΜΟΣ θάμνος ἐστὶ φραγμίτης, ὅμοιος ῥάμνῳ, ὑπόλευκος, οὐκ ἔχων ἀκάνθας· φύλλα δὲ ἐλαίᾳ παραπλήσια, πλατύτερα μέντοι καὶ ἁπαλώτερα. φύεται ἐν παραθαλασσίοις* καὶ φραγμοῖς. λαχανεύεται δὲ αὐτῆς τὰ φύλλα, ἑψόμενα εἰς βρῶσιν. τῆς δὲ ῥίζης < α. ὁλκὴ ποθεῖσα σὺν μελικράτῳ, σπάσματα, ῥήγματα καὶ στρόφους θεραπεύει, καὶ γάλα κατασπᾷ.

Vulg. exempl. non habent. V. ἐλαίας. Vulg. exempl. non habent. Addit Oribas. καὶ κρημνοῖς. V. quidam caret

Περὶ Παλιούρου. Κεφ. ρκα'.

Pal. παλιούρου

ΠΑΛΙΟΥΡΟΣ γνώριμός ἐστι θάμνος, ἀκανθώδης, στερεός, οὗ τὸ σπέρμα λιπαρὸν καὶ *λινοειδὲς εὑρίσκεται· ὅπερ πινόμενον βηξὶν ἀρήγει, καὶ τοὺς ἐν κύστει λίθους θρύπτει, καὶ πρὸς ἑρπετῶν δήγματα ποιεῖ. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα στυπτικά, ὧν τὸ ἀφέψημα ποθὲν, κοιλίαν ἵστησιν, οὖρά τε ἄγει, καὶ θανασίμοις καὶ θηριοδήκτοις βοηθεῖ. διαφορεῖ δὲ πάντα τὰ πρόσφατα φύματα καὶ οἰδήματα ἡ ῥίζα, λεία ἐπιπλασθεῖσα.

V. γνώριμος, ἀκανθώδης. Pal. ... In v. cod. non legitur λεία.

Περὶ Ὀξυακάνθης. Κεφ. ρκβ'.

ΟΞΥΑΚΑΝΘΑ· ἣν οἱ μὲν πυρίνην, οἱ δὲ πυξυάκανθαν καλοῦσι. δένδρον ἐστὶ παραπλήσιον ἀχράδι, μικρότερον δὲ καὶ ἀκανθῶδες ἄγαν· καρπὸν δὲ φέρει μύρτῳ ἐμφερῆ, πλήρη, ἐρυθρόν, εὔθρυπτον, ἔνδοθεν πυρῆνα ἔχοντα, ῥίζαν πολυσχιδῆ καὶ βαθεῖαν.

Quidam perperam παραπλήσιον

A suppinguibus ac mollibus. Praeter hanc altera est candidior: itémque tertia nigrioribus latioribúsque folijs & quadantenus rubentibus, virgultis quinos ferè cubitos longis: spinosioribus quidem, at minùs firmos, rigidósve, minúsque acutos aculeos habentibus. Fructus est latus, candidus, tenuis, B folliculi propè figura, verticillo similis. Omnium folia erysipelatis & herpetibus efficaciter illinuntur. Feruntur & huius rami ianuis fenestrísve appositi veneficorū maleficia depellere. vel arcere

De Halimo. Cap. CXX.

HALIMUS frutex est circa se- C piméta nascens, similis rhamno, subalbidus, sine spinis, folijs oleae proximis, sed latioribus ac mollioribus. Nascitur in maritimis (locis praeruptis) ac sepibus. Eius folia ciborum gratia olerum modo decoquuntur. Radix verò drachmae pondere in aqua mulsa pota, conuulsa, rupta, tormi- D náque mitigat, & lactis vbertatem praestat.

De Paliuro. Cap. CXXI.

PALIURUS frutex est vulgo notus, aculeatus, solidus, cuius semen pingue & lini seminis aemulum reperitur: quod quidem po- E tum tussi opitulatur, vesicae calculos comminuit & serpentium morsibus aduersatur. Folia & radix astrictoriam vim habent: quorum decoctum potum aluum sistit, vrinas trahit, & contra venena venenatorúmque morsus auxiliatur. Radix verò trita & imposita recentia quaeuis tubercula & oedemata dis- F cutit.

De Acuta spina. Cap. CXXII.

OXYACANTHA, quam pyrinam nonnulli, alij pytyanthen vocant, arbor est pyrastro similis, G at minor & valde spinosa. Fructum profert myrti baccis assimilem, plenum, rubrum, fragilem, nucleo intus praeditum: radicem multifidam & profundam. Hu-

ius fructus tum potus, tum in cibo sumptus alui profluuium fluxúmque muliebrem sistit. Radix trita & illita infixa corpori spicula & aculeos extrahit. Perhibetur & radix abortus facere posse, si ter ea venter leniter feriatur aut perungatur.

A τούτου ὁ καρπὸς διάῤῥοιαν ἵστησι, καὶ ῥοῦν γυναικεῖον πινόμενος καὶ ἐσθιόμενος. ἡ δὲ ῥίζα καταπλασθεῖσα λεία, σκόλοπας καὶ ἀκίδας ἐπισπᾶται. ἱστορεῖται δὲ δύνασθαι *τὴν ῥίζαν καὶ ἐκτρωσμοὺς ἐργάζεσθαι, τῆς κοιλίας ἡσυχῆ τρὶς πληγείσης *ἢ χρισθείσης.

V. ἡ ῥίζα

V. addit ἢ καταχρισθείσης.

De Cynosbato. Cap. CXXIII.

B

Περὶ Κυνοσβάτου. Κεφ. ρκγʹ.

RVBVM canis alij oxyacantham appellant. Frutex est rubo longè maior, ad arboris magnitudinem accedens. Folia fert multò latiora quàm myrtus, *robustos verò circa virgulta aculeos, florem candidum, fructum oblongum, oliuæ nucleo similem: qui quidem dum maturescit fuluus, intus verò lanuginosus conspicitur. Fructus arefactus exempta interiore lanugine (est enim arteriæ noxia) tum in vino feruefactus & potus, aluum sistit.

ἰσχυρὰς

ΚΥΝΟΣΒΑΤΟΝ ἣ δὲ ὀξυάκανθαν καλοῦσι· θάμνος ἐστὶ *βάτου πολλῷ μείζων, δενδρώδης· φύλλα φέρει *πολλῷ πλατύτερα μυρσίνης, ἀκάνθας δὲ περὶ ταῖς ῥάβδοις ἰσχυράς, C ἄνθος λευκόν, καρπὸν ἐπιμήκη, πυρῆνι ἐλαίας ἐοικότα, ἐν τῷ πεπαίνεσθαι πυῤῥόν, τὰ δὲ ἐντὸς ἐριώδη. ἵστησι δὲ κοιλίαν ὁ καρπὸς ξηρός, δίχα τοῦ ἐν αὐτῷ ἐριώδους (κακωτικὸν γὰρ τῆς ἀρτηρίας τοῦτο) *ἀποζεννύμενος ἐν οἴνῳ καὶ πινόμενος.

In v. cod. deest βάτου

In v. cod. deest πολλῷ

Vulg. exempl. ἀποζεννύμενον ἐν οἴνῳ καὶ πινόμενον

De Cypro. Cap. CXXIIII.

D

Περὶ Κύπρου. Κεφ. ρκδʹ.

CYPRVS arbor est folijs circum virgulta oleæ similibus, sed latioribus, mollioribus & viridioribus: floribus candidis, muscosis, odoratis: semine nigro, sambuci fructui simili. Optima nascitur in Ascalone & Canopo. Folia astrictoriam vim habent: quare oris vlceribus commanducata medentur, & illita tum feruidis alijs inflammationibus, tum etiam carbunculis prosunt. Eorundem decoctum igni ambustis affunditur. Ruffant & capillos trita & illita folia, quę in struthij succo maduerint. Flos ex aceto tritus & fronti inductus capitis dolores sedat. Cæterùm quod ex eo præparatur cyprinū vnguentum, odoratum est, ac vim asciscit excalfaciendi molliendíque neruos: siquidem feruenti natura præditorum medicamentorum misturam recipit.

ΚΥΠΡΟΣ δένδρον ἐστὶ περὶ ταῖς ῥάβδοις φύλλα ἔχον *ἐλαίᾳ παραπλήσια, *πλατύτερα δὲ καὶ μαλακώτερα καὶ χλωρότερα· ἄνθη λευκά, *βρυώδη, εὐώδη· σπέρμα μέλαν, ὅμοιον E τῷ τῆς ἀκτῆς. γίνεται δὲ ἀρίστη ἐν τῇ Ἀσκάλωνι καὶ Κανώπῃ. Δύναμιν δὲ ἔχει τὰ φύλλα στυπτικήν· ὅθεν διαμασηθέντα ἄφθας ἰᾶται, *καὶ τὰς ἄλλας πυρώδεις φλεγμονὰς καταπλασθέντα ὠφελεῖ, καὶ ἄνθρακας· τὸ δὲ ἀφέψημα αὐτῶν, πυρικαύστοις καταιόνημα. ξανθίζει F δὲ καὶ τρίχας *στρουθίου χυλῷ τὰ φύλλα λεῖα βρεχθέντα καὶ ἐγχρισθέντα. τὸ δὲ ἄνθος ἐπιπλασθὲν τῷ μετώπῳ λεῖον μετ' ὄξους, κεφαλαλγίας *παύει· τὸ δὲ σκευαζόμενον ἐξ αὐτοῦ χρῖσμα κύπρινον, θερμαντικὸν γίνεται καὶ μαλακτικὸν νεύρων, *εὐῶδες, ἐν τῷ περιλαμβάνειν G πυρωτικὰ μίγματα.

V. ἐλαίας

Alij στενώτερα δὲ, alius λεπτότερα legit. al. πλατύτερα δὲ καὶ χλωρότερα

Orib. βοτρυώδη v. caret, habetq; tantummodò λευκὰ καὶ εὐώδη

Pal. καὶ τοὺς ἄνθρακας quod legitur in fine periodi, habet post ἰᾶται.

V. [illegible]

V. addit, καὶ πόνους

Ald. διὰ τὸ προσεμβάλλειν πυρωτικῶν μιγμάτων.

De Phillyrea. Cap. CXXV.

Περὶ Φιλλυρέας. Κεφ. ρκεʹ.

PHILLYREA arbor est cypri magnitudinem æquans, foliis o-

ΦΙΛΛΥΡΕΑ δένδρον ἐστὶν ὅμοιον κύπρῳ κατὰ μέγεθος, φύλλα δὲ ἐλαίας ὁ-

A μοια, πλατύτερα δὲ καὶ μελάντερα. καρπὸν δ' ἔχει σχίνῳ ἐμφερῆ, μέλανα, ὑπόγλυκυν, ὡς ἐν βότρυσι κείμενον. ἐν τραχέσι δὲ τόποις γεννᾶται. ταύτης τὰ φύλλα στύφει ὡς ἀγριελαία, ποιοῦντα πρὸς τὰ στύψεως δεόμενα, μάλιστα τοῖς ἐν στόματι ἕλκεσι διαμάσημα καὶ διάκλυσμα τὸ ἀφέψημα. καὶ πινόμενον δὲ οὖρα καὶ ἔμμηνα ἄγει. B

V. κατὰ pro eodem.

Περὶ Κίστου. Κεφ. ρκϛ'.

V. κισθοῦ, & sic deinceps.

ΚΙΣΤΟΣ, ὃν ἔνιοι κίσθαρον ἢ κίσσαρον καλοῦσι, θάμνος ἐστὶν ἐν πετρώδεσι τόποις φυόμενος, πολύκλαδος, φυλλώδης, οὐχ ὑψηλός, φύλλα ἔχων περιφερῆ, C μέλανα, δασέα. ἄνθη ἄρρενος, ὥσπερ ῥοιᾶς. ἐπὶ δὲ τοῦ θήλεος, λευκά. Δύναμιν δὲ ἔχει στυπτικήν· ὅθεν τὰ ἄνθη λεῖα πινόμενα δὶς τῆς ἡμέρας ἐν οἴνῳ αὐστηρῷ, δυσεντερίαις ἁρμόζει. καθ' αὐτὰ δὲ καταπλασθέντα, νομὰς ἐφίστησι. σὺν κηρωτῇ δὲ πυρίκαυστα καὶ παλαιὰ ἕλκη ἰᾶται. D

Cat ξυλώδης. Sic quoque Serapio.
Vulg. exempl. στρυφνά
In vulg. exempl. deest.
Pal. στυπτικὴν· τὰ ἄνθη λεῖα πινόμενα σὺν οἴνῳ αὐστηρῷ ὅθεν δυσεντερικοῖς ἁρμόζει λαμβανόμενα δὶς τῆς ἡμέρας.

Περὶ Ὑποκιστίδος. Κεφ. ρκζ'.

Φύεται δὲ παρὰ τὰς ῥίζας τοῦ κίστου ἡ λεγομένη ὑποκιστίς· ὑπ' ἐνίων δὲ ῥόβηθρον, ἢ κύτινος καλουμένη, ὅμοιόν τι κυτίνῳ ῥοιᾶς. καὶ τὸ μὲν αὐτοῦ κιῤῥόν, τὸ δὲ χλωρόν, τὸ δὲ λευκόν· ὅπερ χυλίζεται ὥσπερ ἡ ἀ- E κακία. ἔνιοι δὲ ξηράναντες αὐτὴν καὶ κλάσαντες, βρέχουσί τε καὶ ἕψουσι, καὶ τὰ ἄλλα ποιοῦσιν, ὡς ἐπὶ τοῦ λυκίου. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ ἀκακίᾳ, στυπτικωτέραν δὲ καὶ ξηραντικωτέραν, ποιοῦσαν πρὸς κοιλιακούς, δυσεντερικούς, αἱμοπτοϊκούς, ῥοῦν γυναικεῖον, πινομένη καὶ ἐνιεμένη. F

V. hæc delet vsque ad τὸ μὲν. Pal. ῥόβηθρον. Ald. ῥίβηθρον. Ró. codex sic: καὶ ἡ μέν τις κιῤῥὰ, ἄφυλλος, ἡ δὲ λευκή. Porrò τὸ δὲ χλωρὸν non legitur apud Oribasium. V. ξηρόν.
V. addit πινομένη καὶ πρὸς ῥοῦν γυναικεῖον. cætera delet.

Περὶ Λαδάνου. Κεφ. ρκη'.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κίστου, καλούμενον ὑπ' ἐνίων λῆδον, θάμνος κατὰ τὰ αὐτὰ φυόμενος τῷ κίστῳ· μακρότερα δὲ τὰ φύλλα ἔχει καὶ μελάντερα, λιπαρείας τινὰς κατὰ τὸ ἔαρ ἐπισπώμενα, G οὗ τῶν φύλλων ἡ δύναμις στυπτικὴ καθέστηκε, ποιοῦσα πρὸς ὅσα καὶ ὁ κίστος. γίνεται δὲ ἐξ αὐτοῦ τὸ λεγόμενον λάδανον·

Al. ὧν φυλ.

leaceis, sed latioribus & nigrioribus, fructu lentisci, nigro, subdulci & quasi racemato. Locis asperis nascitur. Huius folia perinde ac oleastri astringunt, proptereáque ad ea faciunt quæ astrictionem desiderant, maximéque ad oris vlcera tum commanducata, tum etiam si decocto ea colluantur. Quin & potum decoctum vrinas menséśque ciet.

De Cisto. Cap. CXXVI.

CISTVS, quem nonnulli cistharon aut cissaron vocant, frutex est petrosis locis nascens, multos emittens ramulos, foliosus, improcerus, folijs rotundis, nigris, hirsutis. Flores masculo veluti mali punicæ, fœminæ albi. Vim habet astrictoriam: ideóque flores triti & ex vino austero bis die poti dysenterijs conferunt: ipsi verò per se illiti nomas cohibent, & cum cerato igni ambustis ac vetustis vlceribus medentur.

De Hypocistide. Cap. CXXVII.

Cisti radicibus adnascitur quiddam mali punicæ cytino simile, quod hypocistis dicitur: à nonnullis verò robethrum aut cytinus appellatur. Eius pars fulua, altera virens, quædam etiam candida cernitur. Ex ea succus acaciæ modo exprimitur. Aliqui tamen ipsam arefactam contusámque macerant & decoquunt, reliquáque vt in Lycio præstant. Vires hæbet acaciæ: verùm aliquantò magis astringit & exiccat. Prodest cœliacis, dysentericis, & sanguinem excreantibus, imò & fluxui muliebri tū pota tum etiam infusa.

De Ladano. Cap. CXXVIII.

Est & alterum cisti genus, Ledum à nonnullis appellatum, frutex eodem quo cistus modo nascés, sed longioribus folijs ac nigrioribus, quæ verno tempore quiddam pingue contrahunt. Huius foliorum vis astringens eosdem quos cistus effectus præbet. Fit autem ex eo, quod ladanum appellatur.

Siquidem cùm cisti folia depascuntur capræ hircique, pinguitudinem cõspicuè barbis & femoribus, quoniam viscosa sit, adhærescentẽ excipiunt contrahúntve, quæ depexa colatur, & in offas efformata reponitur. Alij attractis per frutices funiculis, inhærentem ijs pinguitudinem deradunt & in offas cogunt. Maximè verò probatur odoratum, subviride, facilè mollescẽs, pingue, arenæ squalorísve expers ac resinosum. Tale autem est, quod in Cypro gignitur. Arabicum verò Libycumque vilius est. Natura ei astringendi, calfaciendi, molliendi & vasorũ oscula reserandi. Vino, myrrhæ & oleo myrteo admixtum fluentem capillum cohibet: cicatricibus decorem facit, cum vino illitum: aurium doloribus cum hydromelite aut rosaceo infusum medetur. Suffumigatur & ad secundas eijciendas: pessis immistum vuluę duritias sanat: denique in medicamenta sedandis doloribus ac tussi dicata, itémque malagmata vtiliter inseritur. Aluum quoque sistit cum vino vetere potum, ac vrinæ prætereà ciendæ accommodatum est.

De Ebeno. Cap. CXXIX.

EBENVS optima censetur Æthiopica, nigra, venarum pectinúmve expers, cornu elaborato læuore similis, quæque fracta densa apparet, mordet autem gustu ac leniter astringit. Prunis imposita cum odore iucundo & citra fumum vritur. Recens verò igni admota ob pinguitudinem accenditur, & ad cotem trita subfulua redditur. Est & altera Indica, intercurrentibus lineis prædita, candidis & fuluis, itémque maculis frequentibus: cæterùm prior bonitate antecedit. Nonnulli porrò mori aut acanthi ligna, quòd consimilia sint, pro ebeno vendunt. Ex eo autem internoscuntur, quòd fungosa sint, & in assulas ad purpuram vergentes resoluantur, nihil mordacitatis in gustu, nec suauis odoris in suffitu præ se ferentia.

A τὰ φύλλα γὰρ αὐτοῦ νεμόμεναι αἱ αἶγες καὶ οἱ τράγοι τὴν λιπαρίαν ἀναλαμβάνουσι τῷ πώγωνι γνωρίμως, καὶ τοῖς μηροῖς προσπλαττομένην διὰ τὸ τυγχάνειν ἰξώδη, ἣν ἀφαιροῦντες °ὑλίζουσι, καὶ ἀποτίθενται ἀναπλάσσοντες μαγίδας. ἔνιοι δὲ καὶ σχοινία ἐπισύρουσι τοῖς B θάμνοις, καὶ τὸ προσπλασθὲν αὐτοῖς λίπος ἀποξύσαντες ἀναπλάσσουσι. κράτιστον δέ ἐστιν αὐτοῦ τὸ εὐῶδες, ὑπόχλωρον, εὐμάλακτον, λιπαρόν, ἀμέτοχον °ψάμμου ἢ ψαφαρίας, ῥητινῶδες· τοιοῦτον δέ ἐστι τὸ ἐν Κύπρῳ γεννώμενον· τὸ μέντοι Ἀραβικὸν καὶ Λιβυκὸν εὐτελέστε-C ρον. Δύναμιν δὲ ἔχει στυπτικήν, θερμαντικήν, μαλακτικήν, ἀναστομωτικήν· ἵστησι δὲ τὰς ῥεούσας τρίχας, μιγὲν οἴνῳ καὶ σμύρνῃ καὶ μυρσίνῳ ἐλαίῳ, οὐλάς τε εὐπρεπεστέρας ποιεῖ μετ' οἴνου καταχριόμενον, καὶ ὠταλγίας μεθ' ὑδρομέλιτος ἢ ῥοδίνου ἐγχεόμενον θερα-D πεύει· ὑποθυμιᾶται δὲ καὶ πρὸς δευτέρων ἐκβολάς, καὶ σκληρίας θεραπεύει τὰς ἐν μήτρᾳ ἐν πεσσῷ μιγέν, καὶ ταῖς ἀνωδύνοις καὶ βηχικαῖς καὶ μαλάγμασι χρησίμως μίγνυται· κοιλίαν τε ἵστησι σὺν οἴνῳ παλαιῷ ποθέν· ἔστι δὲ καὶ οὐρητικόν.

Marc. legit, [illegible]

Al. ἄμμου.

E

Περὶ ἐβένου. Κεφ. ρκθ'.

ΕΒΕΝΟΣ κρατίστη ἡ Αἰθιοπική, °καὶ μέλαινα, καὶ μὴ ἔχουσα κλιδόνας, ἐμφερής, κέρατι εἰργασμένῳ τῇ λειότητι, θλασθεῖσα δὲ πυκνή, δηκτικὴ ἐν τῇ γεύσει καὶ ὑποστύφουσα· τεθεῖσα τε ἐπ' ἀν-F θράκων μετ' εὐωδίας καὶ δίχα καπνοῦ °ἐκθυμιωμένη. ἡ δὲ πρόσφατος διὰ τὴν λιπαρίαν ἀνάπτεται, πυρὶ προσαφθεῖσα· τριφθεῖσα δὲ ἐπ' ἀκόνης, ὑπόκιρρος γίνεται. Ἔστι δέ τις καὶ Ἰνδική, ἔχουσα διαφύσεις λευκὰς καὶ κιρρὰς, καὶ σπίλους ὁμοίως πυκνούς· πλὴν βελτίων ἡ προτέρα. °ἔνιοι G δὲ τὰ *σησάμινα ἢ ἀκάνθινα ξύλα ἐμφερῆ ὄντα, ἀντὶ ἐβένου πωλοῦσι· διαγινώσκεται) δὲ ἐκ τοῦ σομφά τε εἶναι, καὶ κατὰ σχίδακας μικρὰς ἀπολύεσθαι ἐμπορφύρους τῷ χρώματι, μηδὲν δὲ δηκτικὸν ἐχούσας ἐν τῇ γεύσει, ἢ ἐν τῇ θυμιάσει εὐῶδες.

In vet. cod. deest καὶ

V. θυμιωμένη

V. sic. ἔνιοι δὲ τὰ σησάμινα ἢ καὶ ἀκάνθινα ξύλα πωλοῦσι. al. ἔνιοι δὲ καὶ ἀκάνθινα ἢ καὶ σησάμινα πωλοῦσι ξύλα ἃ καὶ ἐμφερῆ ὄντα αὐτῇ ἐβ.

Δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις. ποιεῖ δὲ καὶ πρὸς τὰ παλαιὰ ῥεύματα καὶ φλυκτίδας· εἰ δέ τις ποιήσαι ἐξ αὐτῆς* ἀκόνιον χρᾶσθαι εἰς τὰ κολλύρια, βέλτιον ἐνεργήσει. κατεργάζεται δὲ εἰς τὰ ὀφθαλμικὰ, τῶν τορνευμάτων ἢ ῥινημάτων βρεχομένων ἐν οἴνῳ Χίῳ ἡμέραν καὶ νύκτα· εἶτα λεαινομένων ἐπιμελῶς, καὶ εἰς κολλύρια ἀναπλασσομένων. ἔνιοι δὲ προδιαττήσαντες* διηθοῦσιν αὐτά, εἶθ' οὕτω τὰ λοιπὰ ποιοῦσι. τινὲς δὲ ἀντὶ τοῦ οἴνου ὕδατι χρῶνται. καίεται δὲ ἐν ὠμῇ χύτρᾳ, ἕως ἂν ἀνθρακωθῇ. καὶ πλύνεται ὡς ὁ κεκαυμένος μόλιβδος. ἁρμόζει δὲ τὸ τοιοῦτον πρὸς *ψωροφθαλμίας καὶ ξηροφθαλμίας.

Al. ἀμβλυωσσειν ποιεῖ

V. εἰς τὰ ὀφθαλμικὰ, τῶν τορνευμάτων ἢ ῥινημάτων

Vulg. εἶτ' ἀλλοιουμένων

Al. διαττήσαντες αὐτὰ

V. ὁ τοιοῦτος

Deest in Par. cod. neq; Coloniensi. ψωροφθ. al. ψώρας καὶ ὀφθαλμίας.

Vim habet ebenus ea extergendi quæ pupillis caliginem offundunt: pollet & ad veteres fluxiones ac pustulas. Quod siquis facta ex ea coticula vtatur ad terenda collyria, efficaciùs medebitur. Ad oculorum medicamenta efficax quoque redditur, si scobes ramentáve in vino Chio per diem ac noctem macerata, diligentérque ad læuorem contrita in collyria digerantur. Nonnulli ipsa priùs trita cribro cernunt, ac deinde reliqua eo modo peragunt. Quidam pro vino aqua vtuntur. Vritur etiam in fictili nouo, donec in carbones redigatur: lauatúrque plumbi vsti modo: itáque præparatum aridis scabrísque lippitudinibus conducit.

Περὶ Ῥόδων. Κεφ. ρλ'.

Marcellus παρὰ

Deest in Par.

ΡΟΔΑ ψύχει καὶ στύφει, τὰ δὲ ξηρὰ μᾶλλον στύφει. χυλίζειν δὲ δεῖ τὰ ἁπαλὰ ἀποψαλλίσαντας τὸ ὄνυχα καλούμενον, ὅπερ ἐστὶ τὸ λευκὸν τὸ ἐν τῷ φύλλῳ. τὸ δὲ λοιπὸν ἐκθλίβειν καὶ * τρίβειν ἐν σκιᾷ, ἐν θυίᾳ ἄχρις οὗ συστραφῇ, οὕτω τε ἀποτίθεσθαι εἰς τὰς ὀφθαλμικὰς παραχρίσεις. ξηραίνεται δὲ τὰ φύλλα ἐν σκιᾷ συνεχῶς στρεφόμενα, ἵνα μὴ εὐρωτιάσῃ. ποιεῖ δὲ τῶν ξηρῶν ἑψηθέντων ἐν οἴνῳ τὸ ἀπόθλιμμα, πρὸς ἄλγημα κεφαλῆς, ὀφθαλμῶν, ὤτων, οὔλων, δακτυλίου, ἀπευθυσμένου ἐντέρου, μήτρας, πτερῷ ἐγχριόμενον καὶ προσκλυζόμενον. αὐτὰ δὲ δίχα τοῦ ἐκθλιβῆναι, κοπέντα καὶ ἐπιπλασσόμενα, ποιεῖ πρὸς ὑποχονδρίων φλεγμονὰς, καὶ στομάχου πλάδον καὶ ἐρυσιπέλατα. ξηρὰ δὲ λεῖα παρὰ μηροῖς προσπάσσεται, καὶ ἀνθηραῖς καὶ τραυματικαῖς ἀντιδότοις μίγνυται. καίεται δὲ καὶ εἰς τὰ καλλιβλέφαρα. τὸ δὲ ἐν μέσοις τοῖς ῥόδοις εὑρισκόμενον ἄνθος πρὸς οὔλων ῥευματισμοὺς ξηρὸν προσπασθὲν ποιεῖ. αἱ κεφαλαὶ δὲ ποθεῖσαι, κοιλίαν ῥέουσαν καὶ αἵματος ἀναγωγὴν ἐπέχουσιν.

Vulg. exempl. δακτύλων

Marc. παρεστέμματα μηρῶν.
V. carent vsque ad αἱ κεφ.

Alij addunt: [illegible]
Margo verò: [illegible]

De Rosa. Cap. CXXX.

ROSA refrigerat & astringit: sed sicca magis astringit. Succum autem è rosis recentibus exprimi oportet, resectis nimirũ priùs forfice vnguibus (sic appellantur candidæ foliorũ partes) ita vt reliquum in pila prematur teratúrque: inde verò expressus succus in vmbra locari debet, dum spissescat, & ita ad oculorum circumlitiones recondi. Siccantur etiamnum folia in vmbra, continuò tamen versata, ne situm mucorémve contrahant. Siccarum verò rosarum in vino coctarum expressus liquor facit ad dolorem capitis, oculorum, aurium, gingiuarum, sedis, recti intestini ac vuluæ, siue illitus, siue etiam affusus. Eædem citra expressionem contusæ, móxque impositæ, hypochondriorũ inflammationibus, stomachi ex humiditate nimia solutionibus & erysipelatis conferũt: iisdem siccis ac tritis femina asperguntur: denique compositionibus quas antheras vocãt, & vulnerarijs antidotis immiscentur: vtuntur & in calliblephara. Porrò flos qui in medijs rosis reperitur, aridus gingiuarũ fluxionibus efficaciter inspergitur. Capita verò pota fluentem aluum & cruentas reiectiones sistũt.

Περὶ Ῥοδίδων. Κεφ. ρλα'.

ΑΙ λεγόμεναι δὲ ῥοδίδες, σκευάζονται τὸν τρόπον τοῦτον· ῥόδων χλωρῶν

De Roseis pastillis. Cap. CXXXI.

Pastilli quos rhodidas vocãt, hac arte præparantur: Rosarũ viridium,

quæ nullo antè humore madefactæ extabescere cœperit, drachmæ XL, Indicæ nardi drachmæ X, myrrhæ drachmæ VI tritæ digeruntur in pastillos ponderis ternûm obolorũ: qui quidẽ in vmbra siccati vase fictili non picato ac probè vndique obturato, reponuntur. Sunt qui costi drachmas II adijciant, & Iridis Illyricæ tantundem, vinum etiam Chium cum melle ammiscentes. Mulieribus moniliũ vice collo circundari vsui sunt ad retundendam sudoris graueolentiam. Iisdem etiã tritis vtuntur ad diapasmata, quę ad sudores coercendos corpori asperguntur, itémque ad illitiones à balneo, & postquã inaruerint corpori, frigida abluuntur.

A ἀβρόχων μεμυδρασμένων < μ'. νάρδου Ἰνδικῆς < ι'. σμύρνης < ϛ'. λεῖα ἀναπλάσσεται εἰς τροχίσκους τριωβολιαίους· καὶ ἐν σκιᾷ ξηραίνεται, καὶ ἀποτίθενται εἰς κεραμεοῦν ἀγγεῖον ἀπίσσωτον περιεσφηνωμένον. ἔνιοι δὲ προστιθέασι καὶ κόστου < β'. καὶ ἴρεως Ἰλλυρικῆς τὸ αὐτὸ, μίσγοντες καὶ (V. ἐμβρέχων)
B οἶνον Χῖον μετὰ μέλιτος. χρῆσις δὲ αὐτῶν ἐστὶν, ἐπὶ γυναικῶν περιτιθεμένων τῷ τραχήλῳ ἀντὶ ὅρμων, ἀμβλυνουσῶν τὴν τῶν ἱδρώτων δυσωδίαν. χρῶνται δὲ καὶ λείοις ἐν * διαπάσμασι καὶ συγχρίσμασι μετὰ τὸ λουτρὸν, καὶ μετὰ τὸ ξηρανθῆναι ἀπολούονται ψυχρῷ.

(V. σμίγοντες μετὰ μέλιτος καὶ οἴνου Χίου χ. — Pal. περιτιθέντων τῷ τραχήλῳ αὐτὶ ὅρμου ἰδρώτων — V. ἀντὶ ὅρμου — Quidã ἀμβρύνουσαι Pal. ἀμβλυνουσαι — V. & Flor. διὰ αὐτοῖς λείοις — Vulg. διαπλάσμασι — Pal. μετὰ τὸ λουτρὸν καὶ συγχρίσμ. — Ald. malè ἀπολούονται)

De Lycio. Cap. CXXXII.

LYCIVM, quod aliqui pyxacantham vocant, arbor est spinosa, virgis trium cubitorum, aut etiam longioribus, circa quas folia sunt buxo similia, densa. Fructum habet piperis instar nigrum, amarũ, densum, læuem: corticem vero pallidum, lycio diluto similem, & radices numerosas, obliquas, lignosas. Nascitur plurimũ in Cappadocia, Lycia, pluribúsque alijs locis. Aspera loca amat. Succus elicitur radicibus cum frutice ipso tusis, & per dies multos maceratis, deindéque coctis: ac tùm ligna quidem abijciuntur, liquor verò iterum coquitur, donec mellis crassitudo fiat. Adulteratur amurca inter coquendum admixta, aut absinthij succo, aut felle bubulo. Quod porrò spumosum innatat inter coquendũ eximito, & ad oculorum medicamenta reponito: reliquo ad alia vtitor. Simili modo & è fructu expresso & insolato succus elicitur. Optimum est lycium, quod igni accenditur, quódque dum restinguitur, rubẽtem spumam edit, extrinsecus nigrum, intus verò cùm diffecueris fuluum, minimè virosum, cum amaritudine astringens, colore croceo: quale est Indicũ, reliquo præstantius atque efficacius. Vim habet astrictoriam: quæ pupillis caliginem offundunt exterit, palpebrarũ scabiem, pruritus veterésque fluxiones sanat. Facit & illitum

C Περὶ Λυκίου. Κεφ. ρλβ'.

ΛΥΚΙΟΝ, ὃ ἔνιοι πυξάκανθαν καλοῦσι, δένδρον ἐστὶν ἀκανθῶδες, ῥάβδους ἔχον τριπήχεις ἢ καὶ μείζονας· περὶ ἃς τὰ φύλλα πύξῳ ὅμοια, πυκνά. καρπὸν δὲ ἔχει ὡς πέπερι μέλανα, πικρὸν, πυ- (V. τριπήχεις ἢ καὶ μείζους) (Quidam addunt μέσον θερμοῦ καὶ ψυχροῦ)
D κνὸν, λεῖον· καὶ τὸν φλοιὸν δὲ ὠχρὸν, ὅμοιον τῷ διειμένῳ λυκίῳ· ῥίζας δὲ πολλὰς, πλαγίας, ξυλώδεις. φύεται δὲ πλεῖστον ἐν Καππαδοκίᾳ καὶ Λυκίᾳ, καὶ ἐν ἄλλοις τόποις πολλοῖς. τραχέα δὲ φιλεῖ χωρία. χυλίζεται δὲ, τῶν φύλλων σὺν τοῖς θάμνοις θλασθέντων καὶ βραχέντων ἐφ' ἱκανὰς ἡμέρας, εἶθ' ἑψηθέντων,
E καὶ τῶν μὲν ξύλων ῥιπτομένων, τοῦ δὲ ὑγροῦ πάλιν ἑψομένου μέχρι μελιτώδους συστάσεως. δολοῦται δὲ ἀμόργης ἅμα τῇ ἑψήσει μιγνυμένης, ἢ ἀψινθίου χυλίσματι, ἢ βοείᾳ χολῇ. καὶ τὸ μὲν ἐπινηχόμενον ἀφρῶδες ἐν τῇ ἑψήσει ἀφῃρῶν, ἀποθοῦ εἰς τὰ ὀφθαλμικά· τῷ δὲ λοιπῷ εἰς τὰ ἄλλα χρῶ. γίνεται δὲ
F καὶ ἐκ τοῦ καρποῦ ὁμοίως χύλισμα ἐκπιεζομένου καὶ ἡλιαζομένου. ἔστι δὲ κάλλιστον τὸ καιόμενον λύκιον, καὶ κατὰ τὴν σβέσιν τὸν ἀφρὸν ἐνερευθῆ ἔχον, ἔξωθεν μέλαν, διαιρεθὲν δὲ κιρρὸν, ἄβρωμον, στῦφον μετὰ πικρίας, χρώματι κροκῶδες, οἷόν ἐστι τὸ Ἰνδικὸν, διαφέρειν τοῦ λοιποῦ καὶ δυναμικώτερον. (In vet cod. non habetur καὶ Oribasius καπνόν)
G Δύναμιν δὲ ἔχει στυπτικὴν, καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις καθαίρει· ψωριάσεις δὲ τὰς ἐπὶ τῶν βλεφάρων, καὶ κνησμοὺς καὶ τὰ παλαιὰ ῥεύματα θεραπεύει· ποιεῖ δὲ καὶ

πρὸς ὦτα πυορροοῦντα, παρίσθμια, οὖλα ἑλκούμενα καὶ διερρωγότα χείλη, ῥαγάδας ἐν δακτυλίοις, καὶ παρατρίμματα ἐπιχριόμενον ἁρμόζει· καὶ κοιλιακοῖς καὶ δυσεντερικοῖς, πινόμενον καὶ ἐγκλυζόμενον· δίδοται δὲ καὶ αἱμοπτοϊκοῖς καὶ βήττουσι σὺν ὕδατι, καὶ τοῖς ὑπὸ λυσσῶντος κυνὸς δηχθεῖσιν ἐν καταποτίῳ, ἢ σὺν ὕδατι ποτόν· ξανθίζει τε καὶ τρίχας· παρωνυχίας τε καὶ ἕρπητας, καὶ σηπεδόνας ἰᾶται· ἵστησι δὲ ῥοῦν γυναικεῖον προστιθέμενον· βοηθεῖ δὲ καὶ λυσσοδήκτοις ποθὲν μετὰ γάλακτος, ἢ ἀντὶ καταποτίου λαμβανόμενον. Λέγεται δὲ τὸ Ἰνδικὸν Λύκιον γίνεσθαι ἐκ θάμνου, τῆς λεγομένης λογχίτιδος. ἔστι δὲ εἶδος ἀκάνθης, ῥάβδους ἔχουσα ὀρθάς, τριπήχεις ἢ καὶ μείζους πολλὰς ἀπὸ τοῦ πυθμένος, παχυτέρας βάτου. φλοιὸς ῥαγεὶς ἐνερευθής· τὰ δὲ φύλλα ὅμοια ἐλαίᾳ, ἧς ἡ πόα ἐν ὄξει ἑψηθεῖσα καὶ ποτιζομένη ἱστορεῖται φλεγμονὰς σπληνὸς καὶ ἴκτερον ἰᾶσθαι, καὶ καθάρσεις γυναικείας ἄγειν. καὶ ὠμὴ δὲ λεία ποθεῖσα, τὰ αὐτὰ ποιεῖν παραδίδοται. τοῦ δὲ σπέρματος μύστρα δύο ποθέντα, ὑδατώδη καθαίρει, καὶ θανασίμοις βοηθεῖ.

Περὶ Ἀκακίας. Κεφ. ρλγʹ.

Ἀκακία φύεται ἐν Αἰγύπτῳ· ἄκανθα δέ ἐστι δενδρώδης, θαμνοειδής, οὐκ ὀρθοφυής, ἄνθος ἔχουσα λευκόν, καρπὸν δὲ ὥσπερ θέρμου ἐν λοβοῖς κείμενον, ἐξ οὗ καὶ ἐκθλίβεται τὸ ἐγχύλισμα ξηραινόμενον ἐν σκιᾷ, μέλαν μὲν ἐκ τοῦ πεπείρου καρποῦ, ὑπόκιρρον δὲ ἐκ τοῦ ὠμοῦ. ἐκλέγου δὲ τὸ ἠρέμα ἔγκιρρον, εὐῶδες, ὡς ἐν ἀκακίᾳ. χυλίζουσι δέ τινες καὶ τὰ φύλλα σὺν τῷ καρπῷ. καὶ κόμμι δὲ ἐκ τῆς ἀκάνθης γίνεται. Δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν. ἁρμόζει δὲ ὁ χυλὸς πρὸς τὰ ὀφθαλμικὰ καὶ ἐρυσιπέλατα, ἕρπητας, χίμεθλα, πτερύγια, τὰ ἐν τῷ στόματι ἕλκη. καὶ προπτώσεις δὲ ὀφθαλμῶν καθίστησιν· ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον. καὶ τὰς προπτώσεις δὲ τῆς ὑστέρας στέλλει, κοιλίας τε ῥεύματα ἐπέχει πινόμενος, καὶ ἐγκλυζόμενος· μελαίνει δὲ καὶ τρίχας. πλύνεται δὲ καὶ εἰς τὰ ὀφθαλμικά, τριβομένου* μεθ' ὕδατος ἀποχεομένου τοῦ

V. ἑλκούμενα καὶ ἐρρωγότα
Deest καὶ in Ald. & Pal.
Marc. & Corn. hæc quia redundāt expungūt, & legunt προστιθέμενον δὲ ποθὲν &c.
Al μέλιτος, vt Ruell
Hæc ad capitis vsque finem minime legitima esse suspicatur Marcellus.
V. ἐλαίας
Al. σπληνῶν
Quidam contrà ἰκτέρους
V. παραδίδοται
V. θαμνώδης
V. τὸν καρπὸν ὥσπερ θέρμου λο-βοῖς
Pal. θέρμοι
V. χύλισμα
Pal. καὶ τὸ κόμμι δὲ στυπτικόν. ψυ-χει
Ald. χιμέθλας v. χίμεθλας
Vet. addit δὲ
V. τριβομένου ἐπιχεομένου τὸ ὕδωρ

A ad aures purulentas, tonfillas, gingiuas exulceratas, labiorum fiſſuras, ſedis rimas & attritus. Cœliacis & dyſentericis tum potum tum etiam infuſum conuenit. Datur & ſanguinē excreantibus atque tuſſientibus ex aqua: itémque à rabioſo cane demorſis, catapotij inſtar deuoratum aut ex aqua bibitum: B flauos facit capillos: reduuijs, herpetibus putreſcentibúſque vlceribus medetur: fluxum muliebrem appoſitum ſiſtit, & à rabioſis animalibus demorſis, ſeu in lacte bibitum, ſeu catapotij vice aſſumptum, auxiliatur. Fertur & Lycium Indicum fieri ex frutice, lonchitide appellato. Eſt is è ſpinarum genere, C virgas habens rectas tricubitales aut etiamnum maiores à fundo numeroſas & rubo craſſiores. Ruptus cortex rubeſcit: folia verò oleæ ſimilia viſuntur. Herba in aceto decocta propinatáque proditur lienis inflammationibus regióque morbo mederi, & fœminarū purgationes elicere. Cruda quoque trita in D potu eadē præſtare traditur. Seminis myſtra duo epota aquoſa expurgāt, ſúntque aduerſus lethalia medicamenta remedio.

De Acacia. Cap. CXXXIII.

ACACIA in Ægypto naſcitur, ſpina ad arboris magnitudinē accedens fruticoſa, in rectum minimè aſſurgens, florem habēs can- E didum, fructum verò lupini in modum, ſiliquis incluſum. Ex eo ſuccus exprimitur, qui in vmbra ſiccatur, niger quidem ex maturo fructu, ſubfuluus autem ex immaturo. Eligito modicè fuluum & odoratum, vt in acacia eſſe poteſt. Sunt qui è folijs vnà cum ipſo fructu ſuccum exprimant. Manat & gummi F ex ea ſpina. Vim habet aſtrictoriam & refrigerantem. Conuenit porrò ſuccus ad oculorum affectus, eryſipelata, herpetas, perniones, pterygia & oris vlcera. Quin & procidentes oculos in integrum reſtituit, fluxum muliebrem ſiſtit, ac ipſius etiam vuluæ procidentias co- G hibet: alui quoq; profluuia ſupprimit tum potus, tum etiam infuſus: capillos itidem denigrat. Lauatur & ad oculorum medicamenta cum aqua tritus, effuſo identidem quod

in summo concreuerit, donec pura superstet aqua: atque ita in pastillos cogitur. Vritur & in olla cruda fornaci inditus, tandiúque relictus dum & ipsum fictile percoquatur. Torretur & super carbonibus, igne follibus ventilato. Spinæ vero decoctum solutos artus fotu committit. Præfertur eius spinæ gummi vermiculatum, vitrum referens, pellucidum, ligni expers: proximum est candidum: resinosum verò ac sordidum, inutile. Vim habet spiracula cutis obstruendi, medicamentorúmque acrium quibus admiscetur vires hebetat: nec non ex ouo illitum ambusta minimè patitur in pustulas erumpere. Altera quoque acacia in Cappadocia Pontóque prouenit, Ægyptiam referẽs: sed longè minor, humilis, ac tenerior, aculeis vallorum in modum obsita, folijs prædita rutæ similibus. Autumno semen profert lenticula minus, in folliculis connexis ternûm quaternúmve capacibus. E tota planta succus expressus etiam astringit, sed viribus inferior, & oculorum medicamentis haudquaquam est idoneus.

De Amurca. Cap. CXXXVIII.

AMVRCA est expressæ oliuæ veluti fæx & crassamentum. Ea in aheno cupreo ad crassitudinem mellis decocta astringit, eosdémque quos lycium præbet effectus: ex abundanti verò facit ad dentium dolores & vulnera, cum aceto, vino aut mulso illita. Additur & in oculorum medicamenta, eáque quæ spiracula cutis obstruendi vim habent. Inueterata melior euadit. Sedis, genitalium & vuluæ exulcerationi vtiliter infunditur. Dentes quoque corruptos extrahit, cum omphacio ad mellis crassitudinem cocta & oblita. Scabiem iumentorum cum lupinorũ & chamæleontis decocto peruncta sanat. Cruda vero & recens podagricos & arthriticos calente fotu iuuat. Velleri inducta & hydropicis imposita, tumoris molem reprimit.

A ἐπιπάγου, ἄχρις ἂν καθαρὸν ἐφιστῆται τὸ ὕδωρ, καὶ οὕτως ἀναλαμβάνεται εἰς τροχίσκους. καίεται δὲ ἐν ὠμῇ χύτρᾳ μετὰ κεράμου ἐν καμίνῳ· ὀπτᾶται δὲ ἐπ' ἀνθράκων ἐκφυσωμένη· τὸ δὲ τῆς ἀκάνθης ἕψημα καταντλούμενον, ἄρθρα λελυμένα ἵστησι. Τὸ δὲ κόμμι τῆς ἀκάνθης B διαφέρει τὸ σκωληκοειδὲς, ὑαλίζον, διαυγὲς, ἄξυλον, εἶτα τὸ λευκόν. τὸ δὲ ῥητινῶδες καὶ ῥυπαρὸν, ἄχρηστον. Δύναμιν δὲ ἔχει στεγνωτικὴν (?) ἐμπλαστικὴν, ἀμβλυντικὴν δριμέων φαρμάκων οἷς μίγνυται. πυρίκαυστά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι καταχριόμενον μετ' ὠοῦ. Φύε- C ται δὲ καὶ ἑτέρα ἀκακία ἐν Καππαδοκίᾳ καὶ Πόντῳ, παρεμφέρουσα τῇ Αἰγυπτίᾳ. ἐλάττων μὲν τι παραπολὺ καὶ χαμαίζηλος, καὶ τρυφερωτέρα. παραπλέως δὲ ἀκάνθης σκολοπώδους, φύλλα ἔχουσα πηγάνῳ ὅμοια. τῷ δὲ φθινοπώρῳ φέρει σπέρμα ἐν θυλακίοις συνε- D ζευγμένοις, τριχώροις ἢ τετραχώροις, ἔλαττον φακοῦ. στύφει δὲ καὶ αὐτὴ χυλιζομένη σύμπασα, πλὴν ἥττων τῇ δυνάμει καθέστηκεν, εἰς τὰ ὀφθαλμικὰ ἀνεπιτήδειος οὖσα.

Vulg. παραπλέως δὲ

Vulg. exempl. ὅμοια. τὸ δὲ σπέρμα

Περὶ Ἀμόργης. Κεφ. ρλδ'.

ἈΜΟΡΓΗ ὑποστάθμη ἐστὶν ἐλαίας E τῆς ἐκθλιβομένης, ἥτις ἑψηθεῖσα ἐν χαλκῷ κυπρείῳ μέχρι μελιτώδους συστάσεως, στύφει· ποιοῦσα πρὸς ἃ καὶ τὸ λύκιον, ἐκ περισσοῦ δὲ καὶ πρὸς ὀδονταλγίας καὶ τραύματα, ἐπιχριομένη μετ' ὄξους ἢ οἴνου ἢ οἰνομέλιτος· μίγνυται δὲ καὶ ὀφθαλμικαῖς δυνάμεσι καὶ ἐμπλαστικαῖς· F παλαιουμένη τε βελτίων γίνεται· ἔγκλυσμά τε ἕδρᾳ καὶ αἰδοίῳ καὶ μήτραις ἑλκουμέναις ἐστὶ χρήσιμος. ἐκβάλλει δὲ καὶ τοὺς ἐφθαρμένους ὀδόντας σὺν ὀμφακίνῳ ἑψηθεῖσα ἄχρι μελιτώδους συστάσεως, καὶ περιπλασθεῖσα· ψώρας τε κτηνῶν σὺν θέρμων ἀφεψήματι καὶ χα- G μαιλέοντος καταχριομένη θεραπεύει. ἡ δὲ ἀνέψητος καὶ πρόσφατος ποδαγρικοὺς καὶ ἀρθριτικοὺς ὠφελεῖ, θερμὴ καταντληθεῖσα· ἐγχριομένη δὲ εἰς κώδιον καὶ ἐπιτιθεμένη ἐπὶ τῶν ὑδρωπικῶν στέλλει τὸν ὄγκον.

Hoc caput malim reponi post CXXXIX. Orib. ἐλαίου

V. ἐπιχριομένη

Al. ἀποζέματι

V. καταπλασθεῖσα

Περὶ Ἄγνου. Κεφ. ρλε΄.

ΑΓΝΟΣ ἢ λύγος θάμνος ἐστὶ δενδρώδης, παρὰ ποταμοῖς καὶ πεδίοις ἐνύδροις, τραχέσι τε τόποις καὶ χαράδραις φυόμενος, ῥάβδους ἔχων δυσθραύστους, μακράς. φύλλα δὲ ὡς τῆς ἐλαίας, ἁπαλώτερα δὲ καὶ μείζονα. τὸ δ' ἄνθος ὁ μέν τις λευκὸν σὺν τῷ ὑποπορφυρίζοντι· ὁ δὲ, πορφυροῦν φέρει· σπέρμα δὲ ὡς πέπερι.

Vulg. exempl. non habent καὶ πεδ. ἐνύδρ.

Deest in vulgatis exempl. Sed restituimus ex vet. codice, quẽ secutus est Serapio.

Δύναμιν δὲ ἔχει θερμαντικήν, στυπτικήν. ὁ δὲ καρπὸς αὐτῆς πινόμενος βοηθεῖ θηριοδήκτοις, σπληνικοῖς, ὑδρωπικοῖς· κατασπᾷ δὲ καὶ γάλα, καὶ ἔμμηνα ἄγει πινόμενος ὅσον < α΄. πλῆθος σὺν οἴνῳ· ἐκλύει δὲ καὶ γονήν. ἅπτεται δὲ καὶ κεφαλῆς, [καρον ἐπιφέρων.] τὸ δὲ ἀφέψημα τῆς πόας καὶ τοῦ σπέρματος, εἰς ἐγκαθίσματα ταῖς περὶ ὑστέραν διαθέσεσι καὶ φλεγμοναῖς ἀρήγει· ποθὲν δὲ μετὰ γλήχωνος καὶ ὑποθυμιαθὲν τὸ σπέρμα καὶ προστεθὲν, κάθαρσιν κινεῖ· λύει δὲ καὶ κεφαλαλγίας καταπλασσόμενον, καὶ ἐπὶ ληθαργικῶν τε καὶ φρενιτικῶν ἐμβρέχεται σὺν ὄξει καὶ ἐλαίῳ. καὶ τὰ φύλλα ὑποθυμιώμενά τε καὶ ὑποστρωννύμενα, θηρία διώκει, καὶ καταπλασσόμενα ἐπὶ τῶν θηριοδήκτων βοηθεῖ, σκληρίας τε διδύμων μετὰ βουτύρου καὶ φύλλων ἀμπέλου μαλάττει, ῥαγάδας τε τὰς ἐν δακτυλίῳ σὺν ὕδατι ἐπιπλασθὲν τὸ σπέρμα πραΰνει· σὺν δὲ τοῖς φύλλοις, στρέμματά τε καὶ τραύματα ἰᾶται. δοκεῖ δὲ καὶ κωλυτήριον εἶναι ἐν ὁδοιπορίαις παρατριμμάτων, εἴ τις ῥάβδον αὐτῆς παρὰ χεῖρα κρατοίη. ὠνόμασται δὲ ἄγνος, διὰ τὸ τὰς ἐν τοῖς Θεσμοφορίοις ἁγνευούσας γυναῖκας εἰς ὑπόστρωμα χρῆσθαι αὐτῇ· λύγος δὲ διὰ τὸ περὶ τὰς ῥάβδους αὐτῆς εὔτονον.

V. caret.

V. caret.

V. subdit: καὶ χορίου ἐπεχομένας τὰ ἔμμηνα.

Hæc in veteri desunt.

V. αὐτοῖς τῆς πόας καὶ τοῦ καρποῦ εἶτ ἔχει.

V. κεφαλαλγίας

V. δακτυλίοις

Vulg. στέμματα, τραύμ.

Περὶ Ἰτέας. Κεφ. ρλϛ΄.

ΙΤΕΑ δένδρον ἐστὶ πᾶσι γνώριμον, οὗ ὁ καρπὸς καὶ τὰ φύλλα καὶ ὁ φλοιὸς καὶ ὁ χυλὸς στυπτικὴν ἔχει δύναμιν. ἁρμόζει δὲ τὰ φύλλα λεῖα μετ' ὀλίγου πεπέρεως καὶ οἴνου ποθέντα εἰλεώδεσι· καθ' ἑαυτὰ δὲ σὺν ὕδατι ληφθέντα, ἀσυλληψίας κατεργάζεται. ὁ δὲ καρπὸς ποθεὶς, αἱμοπτοϊκοὺς ὠφελεῖ. καὶ ὁ φλοιὸς δὲ τὰ αὐτὰ δρᾷ. καεὶς δὲ καὶ φυραθεὶς ὄξει, τύλους καὶ ἥλους αἴρει καταπλα-

In vet. cod. deest πᾶσι

In vet. cod. desunt καὶ ὁ φλοιός

De vitice. Cap. CXXXV.

A VITEX siue lygos frutex est in arborem assurgens, qui in fluminũ ripis campísque palustribus nascitur, nec non & in locis asperis ac salebrosis. Virgulta gerit fractu contumacia & longa: folia verò oliuæ, sed teneriora atque maiora.
B Florem est quæ album cum aliquatenus purpureo mittat, altera purpureum profert: semen est piperis instar. Porrò excalfactoriam astringentémque vim sortitur. Fructus eius epotus à serpente demorsis, lienosis & hydropicis auxiliatur. Lactis abundantiam facit, mensésque ciet drachmæ pondere in
C vino potus: genituram quoque exoluit: caput verò tentat, soporémque infert. Herbæ ac seminis decoctum ad insessus vuluę affectibus & inflãmationibus opitulatur. Semen cum pulegio potum, suffitu etiam & apposítu, purgationes mouet: dolorem quoque capitis dissoluit illitum. Cum aceto & oleo le-
D thargicorũ phreniticorúmque capitibus instillatur. Quin & folia tũ suffitu tum etiam substratu venenata fugant: contra venenatorum morsus adhibita auxiliantur. Testium duritias cum butyro vitiúmque folijs emolliunt. Rimas sedis semen cum aqua illitum mitigat: cum folijs verò, luxatis vulneribúsque
E medetur. Creditur & viticis virga intertrigines arcere, si eam viator dum iter facit manu teneat. Cæterùm frutex hic Grȩcis agnos, quasi castus, nominatus est, quòd in Thesmophorijs matronæ castitatem custodientes eo ad strata vterentur: lygos verò, quasi vimen, dictus est, propter virgarum ipsius fir-
F mitatem.

De Salice. Cap. CXXXVI.

SALIX arbor est vulgo nota: cuius fructus, folia, cortex & succus astringendi vim habent. Trita folia cum exiguo pipere & vino pota, ileosis subueniunt. Sumpta verò
G per se cum aqua, conceptum impediunt. Fructus epotus sanguinẽ expuentibus prodest: quin & cortex eadem præstat. Vstus verò & aceto subactus, callos clauósq; illitu tollit.

Pl. reiectantibus

Pl. aqua mixta

Ex foliis & cortice succus cum rosaceo in calyce punici calfactus, aurium doloribus auxiliatur. Sed & eorum decocto foueri podagras vtilissimum: id furfures quoque detergit. Excipitur & ex ipsa succus, inciso dum floret cortice: intus enim concretus inuenitur. Vim porrò habet ea expurgãdi, quæ pupillis caliginem offundunt.

De Oleastro. Cap. CXXXVII.

Sylvestris olea, quam nonnulli cotinum, alij Æthiopicam oleam appellant, folia habet astringendi vi prædita: quæ quidem trita & imposita, erysipelata, herpetas, epinyctidas, carbunculos, nomas reduuiásque cohibent. Crustas eadem emarginant cum melle illita. Quinetiam vlcera sordida repurgant, panos & inflammationes cum melle imposita discutiunt, & cutem à capite auulsam agglutinant. Oris etiam vlceribus & aphthis commanducata medẽtur. Sed & eorum succus ac ipsum etiam decoctum eosdem habent effectus. Admotus quoque succus sanguinis eruptionem, fluxum muliebrem, oculorum staphylomata pustulásque inhibet: insupérque vlcera veterésque defluxiones sistit. Quapropter etiam in collyria si addantur, genarum erosionibus conferunt. Ad exprimendum verò succum folia tundere oportet, & affuso vino aut aqua exprimere, illúmque sole siccatum in pastillos digerere. Est porrò qui cũ vino exprimitur tum valẽtior, tum ad recondẽdum aptior eo qui cum aqua expressus fuerit. Facit & ad aures purulẽtas atque exulceratas: folia cum hordeacea farina illita cœliacis conueniunt. Vruntur autem cum floribus folia, vt spodij vicem præstẽt, in olla cruda, cuius os luto sit oblitum, vsque dum figlinum percoquatur: deinde vino restinguuntur, iterúmque vino subacta eodem modo cremantur: postremò cerussæ modo lauantur, & cogũtur in pastillos. Cæterùm creduntur vstionis eiusmodi ratione in medicamentis oculorum spodio minimè cedere: quare & ijsdem viribus pollere censendum est.

A ἀθείς. ὁ δὲ ἐκ τῶν φύλλων καὶ τοῦ φλοιοῦ χυλός, ἐν καλύφῳ ῥόας θερμανθεὶς μετὰ ῥοδίνου, ὠταλγίας ἀρήγει. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν, κατάντλημα ποδάγρας ἄριστον· σμήχει δὲ καὶ πίτυρα. λαμβάνεται δὲ καὶ ὀπὸς ἐξ αὐτῆς ἐντεμνομένου τοῦ φλοιοῦ κατὰ τὴν ἄνθησιν. ἔσω γὰρ εὑρίσκεται
B συνεστώς. Δύναμιν δὲ ἔχει σμηκτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις. V. ὠταλγίαις

Περὶ Ἀγριελαίας. Κεφ. ρλζ.

Ἀγριελαία, ἣν ἔνιοι κότινον καλοῦσιν, οἱ δὲ, Αἰθιοπικὴν ἐλαίαν, ἔχει τὰ φύλλα στυπτικά· λεῖα δὲ καταπλασθέντα, ἐφεκτικά ἐστιν ἐρυσιπελάτων, ἑρπήτων,
C ἐπινυκτίδων, ἀνθράκων, νομῶν, παρωνυχιῶν, περιχαρακτικά τε ἐσχαρῶν, σὺν μέλιτι καταπλασσόμενα· ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ ἕλκη, διαφορεῖ καὶ φύγεθλα καὶ φλεγμονάς, σὺν μέλιτι καταπλασθέντα, καὶ δέρμα κεφαλῆς ἀποσπασθὲν παρακολλᾷ· ἰᾶται δὲ καὶ τὰ ἐν στόματι ἕλκη καὶ
D ἄφθας διαμασηθέντα. καὶ ὁ χυλὸς δὲ αὐτῶν καὶ τὸ ἀφέψημα, τὸ αὐτὸ ποιεῖ· ἐπέχει δὲ καὶ αἱμορραγίας, καὶ ῥοῦν γυναικεῖον προστιθέμενος ὁ χυλός, καὶ τὰ ἐν ὀφθαλμοῖς σταφυλώματα, καὶ φλυκταίνας. ἔτι δὲ ἕλκη καὶ παλαιὰ ῥεύματα στέλλει. διὸ καὶ μίγνυται κολλυρίοις πρὸς τὰς τῶν βλεφάρων
E διαβρώσεις εὐθέτως. χυλίζοντας δὲ δεῖ κόπτειν τὰ φύλλα, καὶ περιχέοντας οἶνον ἢ ὕδωρ ἐκθλίβειν, καὶ ξηραίνοντας ἐν ἡλίῳ ἀναπλάσσειν. ἔστι δὲ εὐτονώτερος, ὁ διὰ τοῦ οἴνου ἐκθλιβόμενος, καὶ εἰς ἀπόθεσιν μᾶλλον τοῦ δι᾽ ὕδατος ἁρμόζει. ποιεῖ δὲ καὶ πρὸς ὦτα πυορροοῦντα καὶ εἱλκωμένα. τὰ δὲ Ita Flor. at vulg. exẽpl. διαθέσεις In vet. τοῦ δι᾽ ὕδατος non legitur.
F φύλλα καὶ ἐπὶ κοιλιακοῖς εὐθέτει καταπλασσόμενα σὺν ὠμηλύσει· καίεται δὲ τὰ φύλλα μετὰ τῶν ἀνθῶν, καὶ ἀντὶ σποδίου λαμβάνεται ἐν χύτρᾳ ὠμῇ περιπλασσομένῃ πηλῷ τὸ στόμα μέχρις ὀπτήσεως τοῦ κεράμου. ἔπειτα κατασβέννυται οἴνῳ, καὶ φυραθέντα πάλιν οἴνῳ, ὁμοίως καίεται. εἶ-
G τα πλύνεται ὡς τὸ ψιμμύθιον καὶ ἀναπλάσσεται. δοκεῖ δὲ ἡ τοιαύτη καῦσις μὴ λείπεσθαι τοῦ σποδίου εἰς τὰ ὀφθαλμικά. ὅθεν καὶ τὴν δύναμιν ὁμοίως ἡγητέον. V. ἀνθῶν ὡς σποδιὰ ἐν χύτρᾳ. Al. ὕδατι V. ὁμοίαν

Περὶ Ἐλαίας. Κεφ. ρλη´.

Hæc cum præcedenti capite in vetustis codicib. sunt continua.

Δύναται δὲ τὰ αὐτὰ καὶ τὰ τῆς ἡμέρου ἐλαίας φύλλα, λείπεται δὲ τῇ δυνάμει· ὅθεν πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον ἁρμόζει, διὰ τὸ ἐπιεικέστερον. ὁ δὲ ἐκ χλωροῦ τοῦ ξύλου καιομένου ἐκκρινόμενον ὑγρὸν, πίτυρα καὶ ψώρας καὶ λειχῆνας καταχριόμενον ἰᾶται· καὶ ὁ καρπὸς δὲ αὐτῶν καταπλασθεὶς, πίτυρα καὶ νομὰς θεραπεύει. ὁ δὲ ἐν τῷ πυρῆνι μετὰ στέατος καὶ ἀλεύρου λεπροὺς ὄνυχας ἐκτινάσσει.

V. τὸ δὲ ἀπὸ τῆς πυρῆνος αὐτῆς μετὰ &c.

Περὶ Κολυμβάδων ἐλαιῶν. Κεφ. ρλθ´.

V. αἱ δὲ κολυμβάδες ἐλαῖαι

Ἐλαῖαι κολυμβάδες λεῖαι καταπλασθεῖσαι, πυρίκαυστα οὐκ ἐῶσι φλυκταινοῦσθαι, καὶ ῥυπαρὰ δὲ ἕλκη καθαίρουσιν. ὁ δὲ ἐκ τῆς ἅλμης χυλὸς αὐτῶν διακλυζόμενος, οὖλα στέλλει, καὶ ὀδόντας σειομένους κρατύνει. ἔστι δὲ ἡ μὲν ὑπόκιρρος καὶ πρόσφατος ἐλαία, δυσκοίλιος, εὐστόμαχος. ἡ δὲ μέλαινα καὶ πέπειρος, εὔφθαρτος καὶ κακοστόμαχος, ὀφθαλμοῖς τε ἀνεπιτήδειος καὶ κεφαλαλγής. φρυγεῖσα δὲ καὶ καταπλασθεῖσα, νομὰς ἵστησι, καὶ ἄνθρακας περιρρήγνυσι.

Al. κεφαλῆς

Περὶ ἐλαίου ἀγρίας ἐλαίας. Κεφ. ρμ´.

Huc velim trãsferr. cap. de amurca.

Τὸ δὲ ἐκ τῆς ἀγρίας ἐλαίας ἔλαιον, διάκλυσμα οὔλοις μυδῶσι, καὶ σταλτικὸν ἀποσαλευόντων ὀδόντων ἐστί, πυρία τε δι' αὐτοῦ θερμαινομένου καὶ * διακλυζομένου ἐπιτήδειος οὔλοις ῥευματιζομένοις. δεῖ δὲ ἔριον μηλωτῇ περιτιθέντας ἀποβάπτειν εἰς τὸ ἔλαιον, καὶ προσάπτεσθαι τοῖς οὔλοις, ἄχρις ἂν λευκὰ φανῇ.

Al. σταλτικόν

V caret. Corn. legit διακλυζομένου

Hæc desunt in Ald. & veteri codice vsque ad ἄχρις ἂν &c.

A πρὸς ῥεύματα, καὶ νομὰς, καὶ παρίσθμια φλεγμαίνοντα. ἐπιτείνεται δὲ καὶ ἡ δύναμις αὐτοῦ παραμιγείσης στυπτηρίας σχιστῆς, καὶ κηκίδος, καὶ σμύρνης, καὶ κρόκου· ἔτι δὲ καὶ μυρίκης καρποῦ καὶ ἴρεως, καὶ λιβανωτοῦ. τὰ δὲ ἄωρα μόρα ξηρὰ κοπέντα, ἀντὶ ῥοὸς τοῖς ὄψοις μίγνυται, καὶ B κοιλιακοὺς ὀνίνησιν. ὁ δὲ τῆς ῥίζης φλοιὸς συνεψηθεὶς ὕδατι καὶ ποθεὶς, κοιλίαν λύει, καὶ πλατεῖαν ἕλμινθα ἐκτινάσσει, καὶ τοῖς ἀκόνιτον πεπωκόσι βοηθεῖ. τὰ δὲ φύλλα λεῖα σὺν ἐλαίῳ καταπλασθέντα, πυρίκαυστα ἰᾶται. ἑψηθέντα δὲ ἐν ὀμβρίῳ ὕδατι, σὺν ἀμπέλου καὶ συκῆς μελαίνης C φύλλοις, βάπτει τρίχας. ὁ δὲ χυλὸς τῶν φύλλων φαλαγγιοδήκτοις ἀρήγει, ποθεὶς κυάθου πλῆθος. τοῦ φλοιοῦ δὲ καὶ τῶν φύλλων τὸ * ἀπόζεμα, διάκλυσμα εὔθετόν ἐστιν ὀδονταλγίαις. ὀπίζεται δὲ περὶ τὸν * πυραμητὸν τῆς ῥίζης περιορυχθείσης καὶ ἐγκοπείσης. εὑρίσκεται γὰρ τῇ D ὑστεραίᾳ ἐπιπαγός τις· * ὃς πρός τε ὀδονταλγίας ποιεῖ, καὶ φύματα διαφορεῖ, καὶ κοιλίαν καθαίρει.

Al. ἕλμιν

V. ἀφέψημα

V. ὥστε πρὸς ὀδοντ.

Περὶ Συκομόρου. Κεφ. ρπα΄.

ΣΥΚΟΜΟΡΟΝ, ἔνιοι δὲ καὶ τοῦτο συκάμινον λέγουσι. καλεῖται δὲ καὶ ὁ ἀπ᾽ αὐτοῦ καρπὸς συκόμορον, διὰ τὸ ἄτονον τῆς γεύσεως. E δένδρον δέ ἐστι μέγα, ὅμοιον τῇ συκῇ, * πολύχυλον σφόδρα, τοῖς φύλλοις ἐοικὸς μορέᾳ. φέρει δὲ καρπὸν * τρὶς καὶ τετράκις τοῦ ἔτους, οὐκ ἀπὸ τῶν ἀκρεμόνων ὡς ἐπὶ τῆς συκῆς, ἀπὸ δὲ τοῦ στελέχους ὅμοιον ἐρινεῷ. γλυκύτερον * ὀλύνθων, οὐκ ἔχοντα δὲ κεγχραμίδας, μηδὲ F πεπαινόμενον δίχα τοῦ ἐπικνισθῆναι ὄνυχι ἢ σιδήρῳ. φύεται δὲ πλεῖστον ἐν Καρίᾳ καὶ Ῥόδῳ, καὶ ἐν τοῖς οὐ πολυπύροις τόποις· βοηθεῖ δὲ ἐν ταῖς σιτοδείαις, διὰ τὸ διηνεκὲς τοῦ καρποῦ· ἔστι δὲ εὐκοίλιος ὁ καρπὸς, ἄτροφος, κακοστόμαχος. ὀπίζεται δὲ τὸ δένδρον πρὶν * καρποφορεῖν G ἔαρος πρώτου, τοῦ φλοιοῦ ἐξεπιπολῆς λίθῳ θλασθέντος· βαθύτερον γὰρ θλασθεὶς, οὐδὲν ἀνίησι. συλλέγεται δὲ σπόγγῳ, ἢ ἐρίῳ τὸ δάκρυον, καὶ ξηρανθὲν καὶ ἀναπλασθὲν, ἐν ἀγγείῳ ὀστρακίνῳ ἀποτίθεται.

V. αὐτῶ

Vulg. πολύκομον Pal. ita distinguit πολύκομον, σφόδρα τοῖς φύλλοις ἐοικὸς μορέᾳ V τοῖς ἢ τετράκις

V. ὀλύνθου

Vulg. καρποφορεῖσθαι.

Δύναμιν δὲ ἔχει ὁ ὀπὸς μαλακτικήν, A κολλητικὴν τραυμάτων, διαφορητικὴν τῶν δυσπέπτων. πίνεται δὲ καὶ συγχρίεται πρὸς ἑρπετῶν δήγματα καὶ ἐσκιρρωμένους σπλῆνας, στομάχου τε ἀλγήματα καὶ φρικίας. ταχέως δὲ τερηδονίζεται ὁ ὀπός.

V. καὶ στομάχου ἀλγήματα καὶ φρίκια.

Περὶ Σύκου ἐν Κύπρῳ. Κεφ. ρπβ΄.

Hoc de ficu Cypria caput non habet codex Florentinus. Fortè, εἶδος διάφορον.

Γίνεται δὲ καὶ ἐν Κύπρῳ εἶδος διά- B φορον. πτελέα γὰρ οὖσα, συκαμίνου τὰ φύλλα ἔοικε. τὸν δὲ καρπὸν κατὰ τὸ μέγεθος κοκκυμήλων, καὶ γλυκύτερον. τὰ δὲ ἄλλα πάντα ὅμοια τοῖς προειρημένοις.

Περὶ Σύκων. Κεφ. ρπγ΄.

V. ῥᾳδίως δὲ ὁ ἐξ αὐτῶν ῥευ.

ΣΥΚΑ πέπειρα τὰ ἁπαλὰ, κακοστόμαχα, κοιλίας λυτικά· ῥᾳδίως δὲ ἐξ C αὐτῶν ῥευματισμὸς ἵσταται. ἐξανθημάτων καὶ ἱδρώτων προκλητικὰ, ἀδίψα δὲ καὶ σβεστικὰ θερμασίας. τὰ δὲ ξηρὰ τρόφιμα, θερμαντικὰ, διψητικώτερα, εὐκοίλια, ἄθετα δὲ ῥευματισμοῖς στομάχου καὶ κοιλίας· βρόγχῳ δὲ καὶ ἀρτηρίᾳ καὶ κύστει καὶ νεφροῖς εὔθετα, καὶ τοῖς ἐκ μακρονοσίας κακοχροοῦσι, καὶ D ἀσθματικοῖς καὶ ἐπιληπτικοῖς καὶ ὑδρωπικοῖς. ἀνακαθαίρει δὲ καὶ τὰ ἐν θώρακι, ἀποζεσθέντα σὺν ὑσσώπῳ καὶ ποθέντα· ἁρμόζει δὲ καὶ παλαιοῖς βηξὶ, καὶ τοῖς περὶ πνεύμονα χρονίοις πάθεσι, κοιλίαν τε μαλάσσει κοπέντα μετὰ νίτρου καὶ κνίκου καὶ ἐσθιόμενα. τὸ δὲ ἀφέψημα αὐτῶν, E ταῖς περὶ ἀρτηρίαν καὶ παρίσθμια φλεγμοναῖς ἁρμόζει εἰς ἀναγαργάρισμα. καὶ εἰς τὰς ὠμηλύσεις δὲ μίγνυται, καὶ εἰς γυναικείας πυρίας μετὰ τήλεως ἢ πτισάνης. σὺν πηγάνῳ δὲ ἀφεψημένα, στρόφων ἐστὶν ἔγκλυσμα. καταπλαττόμενα δὲ ἑφθὰ λεῖα, διαφορεῖ σκληρίας. F παρωτίδας, δοθιῆνας μαλάσσει, φύγεθλα πεπαίνει, καὶ μᾶλλον σὺν ἴριδι ἢ νίτρῳ ἢ ἀσβέστῳ. καὶ ὠμὰ δὲ κοπέντα σὺν οἷς εἴρηται, τὰ αὐτὰ δρᾷ· σὺν σιδίῳ δὲ ῥοιᾶς, πτερύγια ἀνακαθαίρει· μετὰ χαλκάνθου δὲ, τὰ ἐν κνήμαις ῥευματικὰ, δυσαλθῆ καὶ κακοήθη ἰᾶται. ἑψηθέντα δὲ ἐν G οἴνῳ καὶ μιχθέντα ἀψινθίῳ καὶ κριθίνῳ ἀλεύρῳ, ὑδρωπικοὺς ὠφελεῖ καταπλασθέντα· κεκαυμένα δὲ μιχθέντα κηρωτῇ,

V. ἀναζεσθέντα

V. παλαιαῖς

Sic Serapio. vulg. ex. κρόκου

V. γυναικείας

Plinius χαλκοῦ ἄνθους legisse videtur.

V. τὰ ἐν κνήμαις δυσαλθῆ καὶ ῥευματικὰ καὶ κακοήθη θεραπεύει.

V. δὲ καὶ μιχθέντα

Vim habet is liquor emolliendi, vulnera conglutinandi, & ea discutiendi quæ ægrè maturantur. Bibitur etiam, necnon & illinitur cótra serpentium morsus, in scirrhum induratos lienes, stomachi dolores atque perfrictiones. Celeriter verò teredinem sentit.

De fico Cypria. Cap. CLXXXII.

Gignitur & in Cypro arbor specie differens: quippe quæ vlmus cùm sit, folia sycamini refert: fructum verò gerit prunorum magnitudine, & quàm pruna ipsa dulciorem. Cætera omnia antedictis similia sunt.

De ficubus. Cap. CLXXXIII.

FICI maturæ recentes stomachũ lædũt, aluúmq; soluũt: sed cõtracta ab ijs alui fluxio facilè cohibetur: papulas euocant, sudoréfq; mouẽt: sitim sedãt, caloréq; restinguũt. Siccę verò sũt alibiles & excalfactoriæ: sitim magis afferũt, aluóq; sunt vtiles: at stomachi aluíq; rheumatismis cõtrariæ: gutturi autẽ, arteriæ, vesicæ, ac renibus magnificè vtiles: nec nõ & ijs qui ex lõga valetudine decolorati sunt, anhelatoribus, comitialibus atq; hydropicis. Feruefactæ cũ hyssopo & potę, quæ pectore continentur expurgant: veteri tussi ac diuturnis pulmonũ vitijs conueniunt, aluúmque molliunt cum nitro & cnico tusæ, deinde manducatæ. Ipsarũ decoctum arteriæ ac tonsillarum inflammationibus gargarizatu prodest. Quin & cataplasmatis ex hordeacea farina miscetur, itémque in muliebres fotus cũ fœnograeco aut ptissana. Cæterùm cũ ruta coctæ ad tormina infunduntur. Coctæ, deindéque tritæ ac impositæ, duritias discutiũt, parotidas & furunculos emolliũt: panos maturãt, efficaciúsque, addita iride, nitro aut calce viua. Crudæ quoque si cum antedictis tundantur, eadem efficiunt. Cum malicorio, terygia repurgant. Cum atramento sutorio, medentur ægrè sanabilibus malignísque tibiarum fluxionibus. Quin & in vino deferuefactæ, addito absinthio & hordeacea farina, vtiliter hydropicis illinũtur. Crematę & cerato admistæ,

Plin. cum m... lo punico

Pl. atra...

Pl. vlceribu...

perniones sanat. Quòd si crudæ terátur, & liquido sinapi exceptæ auribus indátur, sonitus tinnitúsq; sanát. Porrò tá sylueſtris quam satiuæ fici lacteus succus coaguli modo lac cótrahit, coagulatumq; aceti modo dissoluit. Idem corpora exulcerat, ora vasorum reserat, aluum soluit, & vterum relaxat cum trito amygdalo potus: menses quoque ciet appositus cum oui luteo aut cera Tyrrhenica: podagricorum cataplasmatis cum farina fœnigræci & aceto vtilis: lepras verò, lichenas, maculas à Solis ardore contractas, vitiligines, psoras vlceráque capitis manantia cum polenta expurgat. Instillatus plagæ, percussis à scorpione, venenatorum ictibus & canis morsibus auxiliatur: dentium dolori prodest lana exceptus, & in eorum cauis additus: denique *formicosam verrucá tollit, carne quæ in ambitu est adipe circumlita.

*formicant

De Ficu syluestri. Cap. CLXXXIIII.

Hæc eadem præstat succus è teneris syluestris fici cauliculis, quandiu lacteo liquore prægnant, necdum oculus egerminauit. Tùm enim hi tusi exprimuntur, & succus siccatus in vmbra reponitur. Porrò & liquor & succus ad exulceratoria medicamenta vsurpantur. Decocti verò cum bubulis carnibus ficulnei surculi efficiunt, vt hæ faciliùs percoquantur. Lac quoque redditur maiore soluẽdi vi præditum, siquidem inter coquendum ficulneo eiusmodi surculo spathæ loco moueatur.

De Grossis. Cap. CLXXXV.

Grossi, quæ à nonnullis erinei nominantur, coctæ & illitæ collectionem omnem, strumásque emolliunt. Crudæ verò cum nitro & farina impositæ, formicationes thymósque tollunt. Quin & hæc eadem ipsa folia possunt. Cum aceto autem & sale illita, vlcera in capite manantia, furfures & epinyctidas sanant. Ijs quoq; ficosę scabręq; genæ perfricantur. At nigræ ficus folijs ramulísve vitiligines albæ perunguntur. Faciunt quoque aduersus canum morsus cum melle,

A *χιμέτλας ἰᾶται. λεῖα δὲ ὠμὰ σὺν νάπυϊ *ὑγρῷ ἀναληφθέντα καὶ ἐντεθέντα ἐν ὠσὶν, ἤχους καὶ **συριγμοὺς θεραπεύει. ὁ δὲ ὀπὸς τῆς ἀγρίας καὶ τῆς ἡμέρου συκῆς, πηκτικός ἐστι γάλακτος ὥσπερ ἡ πυτία, λύει δὲ καὶ τὸ πεπηγὸς *ὥσπερ τὸ ὄξος· *ἑλκωτικός τε σωμάτων καὶ ἀναστομωτικὸς, κοι-
B λίας τε λυτικὸς, καὶ ὑστέρας ἀναχαλαστικὸς, μετὰ ἀμυγδάλου λείου πινόμενος. καὶ ἐμμηνίων ἀγωγὸς προστεθεὶς σὺν ᾠοῦ λεκύθῳ, ἢ κηρῷ Τυῤῥηνικῷ· ποδαγρικοῖς τε καταπλάσμασι χρήσιμος μετὰ *τηλίνου ἀλεύρου καὶ ὄξους· σμήχει δὲ λέπρας καὶ λειχῆνας, ἐφήλεις, ἀλφοὺς, ψώρας,
C ἀχῶρας σὺν ἀλφίτῳ· καὶ σκορπιοπλήκτοις, κατὰ τῆς πληγῆς ἐπισταζόμενος, καὶ ἰοβόλοις, καὶ κυνοδήκτοις βοηθεῖ· καὶ ὀδονταλγίας ὠφελεῖ ἐρίῳ ἀναληφθεὶς, καὶ εἰς τὸ βρῶμα ἐντιθέμενος. καὶ μυρμηκίας αἴρει, στέατι προσπλασθείσης τῆς ἐν κύκλῳ σαρκός.

Al. χιμέθλας
Marc. legit νάπυϊ·
Ruell. σὺν νάπυϊ καὶ ὑγρῷ τινὶ
Vulg. κνισμοὺς
V. ὥσπερ καὶ τὸ ὄξος
Vulg. ἑλκτικός τε
Vulg. πτελίου

D ## Περὶ Ἀγρίας συκῆς. Κεφ. ρπδ΄.

Τὰ αὐτὰ δὲ καὶ ὁ χυλὸς ποιεῖ τῶν ἀπὸ τῆς ἀγρίας συκῆς ἁπαλῶν κλάδων, ἡνίκα ἂν ἔγκυοι ὦσι, μήπω τοῦ *ὀφθαλμοῦ βεβλαστηκότος. κοπτόμενοι δὲ ἐκθλίβονται, καὶ ὁ χυλὸς ξηραινόμενος ἐν σκιᾷ ἀποτίθεται. λαμβάνεται δὲ καὶ εἰς ἑλκωτικὰς
E δυνάμεις ὅ, τι ὀπὸς καὶ ὁ χυλός. αἱ δὲ *κράδαι βοείοις κρέασι καθεψόμεναι, εὐέψητα ταῦτα ποιοῦσι. καὶ τὸ γάλα δὲ λυτικώτερον ἐν τῇ ἑψήσει κινούμενον ἀντὶ σπάθης αὐταῖς παρασκευάζουσιν.

V. ἀπεφύου
V. & Ald. κράδαι

Περὶ Ὀλύνθων. Κεφ. ρπε΄.

Οἱ δὲ ὄλυνθοι, ὑπό δέ τινων ἐρινεοὶ
F καλούμενοι, ἑφθοὶ καταπλασθέντες, πᾶσαν συστροφὴν καὶ χοιράδας ἐκμαλάσσουσιν. ὠμοὶ δὲ μυρμηκίας καὶ θύμους, σὺν νίτρῳ καταπλασθέντες καὶ ἀλεύρῳ *αἴρουσι. *καὶ τὰ φύλλα δὲ τὰ αὐτὰ δύναται. σὺν ὄξει δὲ καὶ ἁλσὶ *καταπλασθέντα, ἀχῶρας, πίτυρα καὶ ἐπινυκτίδας ἰῶνται· παρατρί-
G βεται δὲ αὐτοῖς καὶ τὰ συκώδη καὶ τραχέα τῶν βλεφάρων. καὶ λεύκαι δὲ καταπλάσσονται τοῖς τῆς μελαίνης συκῆς φύλλοις ἢ *τοῖς κλάδοις. *ποιεῖ καὶ πρὸς τὰ κυνόδηκτα σὺν μέλιτι,

V. addit πᾶσαν συστροφὴν αἴρουσι.
Quidam carent his vsque ad σὺν ὄξει.
Marc. legit ταῖς κράδαις. V. etiam habet ταῖς κράδαις
V. hæc vsque ad ἀθεῖνας omisere.

καὶ πρὸς τὰ κηρία. ἀνάγουσι δὲ οἱ ὄλυνθοι καὶ ὀστᾶ σὺν μήκωνος ἀγρίας φύλλοις, δοθιῆνάς τε σὺν κηρῷ διαλύουσι· σὺν ὀρόβῳ δὲ καὶ οἴνῳ καταπλασθέντες, πρὸς μυγαλῆς δήγματα καὶ σκολοπένδρας ἁρμόζουσι.

Περὶ Κονίας τῆς συκῆς. Κεφ. ρπϛʹ.

Γίνεται δὲ καὶ κονία, ἀγρίας συκῆς καὶ ἡμέρου καυθέντων τῶν κλάδων ἐκ τῆς τέφρας· πολύβροχον δὲ αὐτὴν δεῖ ποιεῖν καὶ πολυχρόνιον. ἁρμόζει δὲ καὶ πρὸς τὰ καυστικὰ, καὶ γαγγραινούμενα· ἀνακαθαίρει γὰρ καὶ ἀναλίσκει τὰ περισσά. χρῆσθαι δὲ αὐτῇ δεῖ, σπόγγον βρέχοντας συνεχῶς καὶ ἐπιτιθέντας. ἐφ' ὧν δὲ καὶ ἐγκλύζοντας, ὡς ἐπὶ δυσεντερικῶν καὶ παλαιῶν ῥευμάτων, καὶ κόλπων ὑπονεμομένων καὶ μεγάλων· καθαίρει γὰρ καὶ κολλᾷ καὶ σαρκοῖ, καὶ συμφύει ἐοικότως τοῖς ἐναίμοις. καὶ ποτίζεται δὲ πρὸς αἵματος ἐκθρόμβωσιν καὶ πτώματα, ῥήγματα, σπάσματα, σὺν ὕδατος κυάθῳ προσφάτως διυλισμένη, καὶ ἐλαίου μιχθέντος ὀλίγου. κοιλιακοῖς τε καὶ δυσεντερικοῖς, καθ' ἑαυτὴν κυάθου πλῆθος βοηθεῖ διδομένη· καὶ τοῖς νευρικοῖς δὲ καὶ σπάσμασι σύγχρισμα ἁρμόδιον σὺν ἐλαίῳ, ἱδρῶτας κινοῦσα. καὶ πρὸς γύψου πόσιν καὶ φαλαγγίων δήγματα πίνεται· παρέχουσι δὲ τὰ αὐτὰ καὶ αἱ λοιπαὶ κονίαι, μάλιστα δὲ ἡ δρυΐνη· *στυπτικαὶ δέ εἰσι πᾶσαι.

V. αἰ τὰ

V. δὲ καὶ

V. δὲ καὶ ἐπὶ ἰλλ.

V. καὶ ὕδατι ἴσω κυάθῳ τῷ προσφάτως διυλισμένῳ

In v. desunt hæc verba βοηθεῖ διδομένη

Περὶ Περσέας. Κεφ. ρπζʹ.

V. αὐτῇ Θηβαΐδι

ΠΕΡΣΕΑ δένδρον ἐστὶν ἐν Αἰγύπτῳ, καρπὸν φέρον ἐδώδιμον, εὐστόμαχον· ἐφ' οὗ καὶ τὰ λεγόμενα κρανοκόλαπτα φαλάγγια εὑρίσκεται, μάλιστα δὲ ἐν Θηβαΐδι. Δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα *ἐπιπλαττόμενα ξηρὰ, αἱμορραγίαν ἱστᾶν. τοῦτο δὲ ἱστόρησάν τινες ἐν Περσίδι ἀναιρετικὸν εἶναι, μετατεθὲν δὲ εἰς Αἴγυπτον, ἀλλοιωθῆναι καὶ ἐδώδιμον γενέσθαι.

Περὶ Ἰβηρίδος. Κεφ. ρπηʹ.

*ΙΒΗΡΙΣ ἤτοι καρδαμαντικὴ ἔχει τὰ φύλλα παρόμοια καρδάμῳ, ἐν ἔαρι εὐθαλέστερα. *μῆκος δὲ ὅσον πηχυαῖον ἢ ἔλαττον. φύεται δὲ ἐν ἀγεωρ-

A & ad vlcera quæ faui, Græcis ceria, vocantur. Grossi cum papaueris syluestris folijs ossa extrahunt: furunculósque cum cera discutiunt. Cæterùm cum eruo ac vino impositæ, contra muris aranei morsus & scolopendræ venena prosunt.

De Lixiuio ficus. Cap. CLXXXVI.

B Fit & è crematorum tam syluestris quàm satiuæ ficus cauliculorũ cinere lixiuium. Sed cinerem plurimùm diutissiméque macerari oportet. Vtile porrò est ad medicamenta caustica, & partibus prodest gangræna tẽtatis. Nam expurgat & & consumit quæ excrescunt. Vsus C verò hic est, vt eo imbuta subinde spongia superponatur. Interdum & infunditur, quemadmodũ dysentericis, & in vetustis fluxionibus, nec non & sinibus cuniculatim depascentibus, iisque magnis. Etenim purgat, conglutinat, carne replet, & oras committit, æquè ac emplastra quæ cruentis vulneribus imponun- D tur. Propinatur & ad sanguinem in grumos concretum: itémque contra præcipitationes, rupta atque cõuulsa cum aquæ cyatho recẽs excolatum, admisto olei exiguo. Cœliacis ac dysentericis per se cyathi mensura datum auxiliatur. Neruorũ vitijs & conuulsis ex oleo conuenienter illinitur: quippe quod su- E dores moueat. Bibitur & aduersus gypsi potũ, phalangiorúmque morsus. Eosdem porrò effectus exhibẽt lixiuia reliqua, pręsertimq; quernũ: omnia verò astringendi vi pollent.

De Persea. Cap. CLXXXVII.

PERSEA arbor est in Ægypto fructũ ferens cibo idoneum, stomacho vtilem: in quo phalangia F cranocolapta nomine reperiuntur, præsertim verò in Thebaide. Arida folia trita & inspersa sanguinis eruptionem sistendi vim habẽt. Hanc arborẽ prodidere nonnulli in Perside quidem exitiosam esse: translatam verò in Ægyptũ natura mutata in cibos receptam.

G De Iberide. Cap. CLXXXVIII.

IBERIS, siue cardamantica, folia habet nasturtij, vere virentiora. Caulis longitudo cubitalis est, plus minúsve: locis incul-

tis nascitur. Æstate porrò lacteum florem promit, ac tum quoque efficacior est. Radices binas habet nasturtio similes, calfaciendi & adurendi vi præditas. Ipsæ enim ischiadicis vtiles, si cum axungia suilla salsa emplastri modo quaternis horis impositæ fuerint: deinde verò in balneum descendatur: ac postea oleo ac vino cum lana locus affectus perungatur.

Nadari

A γίοις τόποις. θέρους δὲ γαλακτῶδες ἄνθος προβάλλει, καὶ τότε ἐστὶ δραστικώτερον. ἔχει δὲ δύο ῥίζας παρομοίας καρδάμῳ, θερμαντικὰς καὶ καυστικάς· αὗται γὰρ ἀγαθαὶ αἱ ῥίζαι πρὸς ἰσχιαδικούς, σὺν λίπους ὑείου τεταριχευμένου, ὡς ἐμπλαστρώδες ἐπιτεθεῖσαι κατάπλασμα μέχρις ὡρῶν τεσσάρων. B ἔπειτα ἐν βαλανείῳ ἐμβιβαζέσθω, καὶ ἐλαίῳ μετ' ἐρίου τοῖς τόποις ἐπιχριέσθω.

Primi libri finis.

Τέλος τοῦ βιβλίου πρώτου.



PEDACII DIOSCORIDIS ANAZARBÆI De medica materia Liber secundus.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ Περὶ ὕλης ἰατρικῆς βιβλίον δεύτερον.

IANO ANTONIO SARACENO, LVGDVNÆO, INTERPRETE.



In priore, amantissime Aree, libro qui quidem primus est eorum quos de medicinali materia cõposuimus, de aromatibus, oleis, vnguentis, arboribus & nascentibus ex eis liquoribus, lachrymis ac fructibus disseruimus. In hoc autem secundo agemus de animantibus, melle, lacte, adipe, frugibus, insupérque de oleribus: hísque subnectemus quæ inter herbacea acri prædita sunt facultate, propterea quòd cum ipsis cognationem habent: qualia sunt allia, cepæ, sinapi: ídque ne congenerum vires disiungantur.

De Echino marino. Cap. I.

ECHINVS marinus stomacho vtilis est, bonam facit aluum, vrinámque ciet. Huius testa si cruda torreatur, vtiliter smegmatis, hoc est, detergentibus medicamentis admiscetur, quæ ad psoras idonea sunt. Cremata verò eadem, vlcera sordida expurgat, eáque reprimit quæ in vlceribus ipsis excrescunt.



A Ἐν μὲν τῷ πρὸ τούτου βιβλίῳ, φίλτατε Ἄρειε, ὄντι πρώτῳ τῶν περὶ ὕλης ἡμῖν συντεταγμένων, παρεδώκαμεν τὸν περὶ ἀρωμάτων, καὶ ἐλαίων, καὶ μύρων, καὶ δένδρων, καὶ τῶν γινομένων ἐξ αὐτῶν ὀπῶν τε καὶ δακρύων, καὶ καρπῶν λόγον· ἐν δὲ B τούτῳ δευτέρῳ ὄντι, ἐπελευσόμεθα περί τε ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στέατος καὶ τῶν λεγομένων σιτηρῶν, ἔτι δὲ λαχάνων, ὑποζεύξαντες αὐτοῖς ὅσα δριμεῖα τῶν βοτανικῶν ἔχει δύναμιν, διὰ τὸ συγγένειαν ἔχειν αὐτά, ὥσπερ τὰ σκόροδα καὶ τὰ κρόμμυα, καὶ νᾶπυ· ἵνα μὴ διαζευχθῇ C τῶν ὁμογενῶν ἡ δύναμις.

Περὶ Ἐχίνου θαλασσίου. Κεφ. α'.

ΕΧΙΝΟΣ θαλάσσιος, εὐστόμαχος, εὐκοίλιος, οὐρητικός· τὸ δὲ ὄστρακον ὠμὸν, μίγνυται χρησίμως ὀπτηθὲν, τοῖς πρὸς (V. non legit ὠμόν.) τὰς ψώρας ἁρμόζουσι σμήγμασι· κεκαυμένον δὲ καθαίρει τὰ ῥυπαρὰ ἕλκη, καὶ καταστέλλει τὰ ὑπερσαρκοῦντα.

Περὶ τοῦ χερσαίου ἐχίνου. Κεφ. β'. A

Καὶ τοῦ χερσαίου δὲ ἐχίνου τὸ δέρμα καὲν, πρὸς ἀλωπεκίας μετὰ πίσσης ὑγρᾶς καταχριόμενον ἁρμόζει· ἡ δὲ σὰρξ σκελετευθεῖσα καὶ πινομένη μετὰ μέλιτος ἢ ὀξυμέλιτος, βοηθεῖ νεφριτικοῖς, καὶ τοῖς ὑπὸ σάρκα ὑδρωψι, καὶ σπασμώδεσιν, ἐλεφαντιῶσι, καχέκταις· ξηραίνει δὲ καὶ τοὺς περὶ τὰ σπλάγχνα ῥευματισμούς. καὶ τὸ ἧπαρ δὲ αὐτοῦ ξηρανθὲν ἐπ' ὀστράκου ἡλιοκαοῦς, καὶ ἀποτεθὲν, πρὸς τὰ αὐτὰ ὁμοίως ἁρμόζει διδόμενον. B

Vulg. μετὰ ὀξυμέλι.

Vet. & Ald. ἠλιοκαύστου

Περὶ Ἱπποκάμπου. Κεφ. γ'.

ΙΠΠΟΚΑΜΠΟΣ, θαλάσσιόν ἐστι ζῶον μικρὸν, οὗ καέντος ἀναληφθεῖσα ἡ τέφρα πίσσῃ ὑγρᾷ ἢ ὀξυγγίῳ ἢ ἀμαρακίνῳ μύρῳ, καὶ καταχρισθεῖσα, ἀλωπεκίας δασύνει. C

V. ἰᾶται

Περὶ Πορφύρας. Κεφ. δ'.

ΠΟΡΦΥΡΑ καεῖσα δύναμιν ἔχει ξηραντικὴν, σμηκτικὴν ὀδόντων, [ὑπερσαρκωμάτων δὲ καταστατικὴν,] ἀνακαθαρτικὴν ἑλκῶν, ἀπουλωτικήν. D

V. caret his quæ conclusa sunt.

Περὶ Κηρύκων. Κεφ. ε'.

ΤΑ αὐτὰ δὲ ποιοῦσι καὶ οἱ κήρυκες καέντες εἰσὶ δὲ μᾶλλον καυστικοί· ἐὰν δέ τις ἁλῶν αὐτοὺς πληρώσας ἐν ὠμῇ χύτρᾳ καύσῃ, ἁρμόζουσι πρὸς σμῆξιν ὀδόντων καὶ κατακαύματα ἐπιπλασθέντες, ἐὰν δὲ δεῖ ἀποστρακοῦσθαι τὸ φάρμακον μετὰ δὲ τὴν ἀπούλωσιν τοῦ κατακαύματος αὐτόματον ἀποπίπτει. γίνεται δὲ ἄσβεστος ἐξ αὐτῶν, ὡς ὑποδείξομεν ἐν τῷ περὶ ἀσβέστου λόγῳ. E

V. his caret.

V. addit τέλειον

Flor. caret hac periodo.

Περὶ Ἰονίων. Κεφ. ϛ'.

* Ἰόνια δὲ καλεῖται τὰ ἐπὶ τῶν κηρύκων καὶ πορφυρῶν μέσα, περὶ οἷς ἡ ἕλιξ ἐστὶ τοῦ ὀστράκου· καίεται δὲ ὁμοίως δύναμιν ἔχοντα καυστικωτέραν τῶν κηρύκων καὶ τῆς πορφύρας, διὰ τὸ πιέζειν αὐτῶν τὴν φύσιν. αἱ δὲ σάρκες τῶν κηρύκων, εὔστομοι καὶ εὐστόμαχοι· κοιλίαν δὲ οὐ μαλάσσουσι. F G

Hermol. Barb. κιόνια Κιόνια

V. λύουσι

Περὶ Μυάκων. Κεφ. ζ'.

ΜΥΑΚΕΣ διαφέρουσιν οἱ Ποντικοί. καέντες δὲ τὸ αὐτὸ δρῶσι τοῖς

De terrestri echino. Cap. II. A

Terrestris erinacei corium combustum, alopecijs cum pice liquida commodè illinitur. Afficcata caro & cum melle aut aceto mulso epota, renum vitijs auxilio est: itémque aquæ intercuti, conuulsionibus, elephantia laborantibus & malo corporis habitu præditis, quos cachectas vocant: viscerum quoque fluxiones exiccat. Quin & eiusdem iecur fictili solibus perusto arefactum atque reconditum ad eosdem vsus pari modo vtiliter exhibetur. B

De Hippocampo. Cap. III.

HIPPOCAMPVS marinum est animalculum: cuius cremati cinis liquida pice vel axungia aut amaracino vnguento exceptus, & illitus, alopecias emendat. C

De Purpura. Cap. IIII.

PVRPVRA vsta vim habet exiccandi, dentes abstergendi, excrescẽtes luxuriantésve carnes cohibendi, vlcera repurgãdi & ad cicatricem perducendj. D

De Buccinis. Cap. V.

EADEM præstant buccina concremata, sed maiorem adurendi vim habent. Quòd si quis ipsa sale expleta in olla cruda cremauerit, dentifricijs conueniunt, ambustísque vtiliter illinuntur. Sinendum verò medicamentum vt in testæ modum induretur: siquidem post obductam vulneri cicatricẽ sponte sua decidet. Fit etiam ex ipsis viua calx, quemadmodum in tractatu de calce demonstrabimus. E

De Cionijs. Cap. VI.

Cionia vocantur buccinorum purpurarúmque mediæ partes, circa quas * testæ volumen clauiculatim intorquetur: Simili verò modo cremata buccinis purpuráq; magis causticam vim habẽt, quoniam apprimendi naturam obtinent. At buccinorũ carnes & ori gratæ sunt, & stomacho vtiles: sed aluũ haudquaquam molliunt. F G

De Mytulis seu musculis. Cap. VII.

IN Mytulorum genere laudatissimi Pontici. Cremati eundũ cum

buccinis effectum præbent. Priuatim verò plumbi modo eloti oculorum medicamentis cum melle vtiles habētur: quippe qui genarum crassitudines absumunt, oculorum albugines exterunt, & cætera quæ aliter pupillis caliginem offundūt. Eorundem caro ad canis morsus vtiliter imponitur.

De Tellinis. Cap. VIII.

TELLINÆ recentes aluo vtiles, sed maximè ius earum. Sale verò conditæ ac vstæ & ad læuorem contritæ, tandémque cum cedria instillatæ, euulsos palpebrarum pilos renasci non patiuntur.

De Chamis. Cap. IX.

QVIN & chamarum aliarúmq; conchularū in exigua aqua decoctarum ius aluum ciet: id verò cum vino assumitur.

De vngue. Cap. X.

ONYX siue vnguis conchylij tegumentū est, ei simile quo purpura integitur. Is in lacubus nardiferis Indiæ reperitur: quapropter & conchylijs nardum depascentibus odoramenta resipit. Colligitur verò posteaquàm æstiuis squalloribus lacus inaruerunt. Præstantissimus qui è mari rubro defertur, subalbidus ac pinguis. Babylonicus nigrescit, atque minor conspicitur. Ambo verò si suffiantur, vehementem expirant odorem: sed quadantenus castoreum redolent. Hi porro suffitu etiamnum comitiales, fœminásque vuluæ strāgulatu oppressas excitant. Poti vero aluum perturbānt. Cæterùm cōchyliū ipsum vstū, eadē quæ purpura & buccinū efficit.

De Cochleis. Cap. XI.

COCHLEA terrestris stomacho vtilis est, & ægrè corrumpitur. Laudatissima Sardonia, Africana, Astypalæica, & quæ in Sicilia & Chio gignitur, necnon & quæ in Liguriç Alpibus, pomatias, quasi opercularis, cognominata. Marina quoque stomacho idonea est, facilèque aluo excernitur. Fluuiatilis autem *virosa est. Syluestris verò quæ vepribus frutetísque adhæréscit, quámq; nonnulli sesilon aut seselita nominant, aluū stomachúmque turbat, & vomitiones excitat.

A κήρυξιν. ἰδιαίτερον δὲ *πλυθέντες ὡς μό- Αἱ λυθέντες
λιβδος, χρησιμεύουσιν εἰς τὰ ὀφθαλμι-
κὰ σὺν μέλιτι· ἐκλήκοντες παχύτητας
βλεφάρων, καὶ σμήχοντες λευκώματα,
καὶ τὰ *ἄλλως ἐπισκοτοῦντα ταῖς κόραις· V. ἄλλα ὅσα ἐπισκοτοῦσι
ἡ δὲ σὰρξ αὐτῶν κυνοδήκτοις ἐπιτίθεται
ὠφελίμως.

B Περὶ Τελλινῶν. Κεφ. η'.

ΤΕΛΛΙΝΑΙ δὲ νεαραὶ εὐκοίλιαι·
μάλιστα δὲ ὁ ἐξ αὐτῶν ζωμός· ταριχη-
ραὶ δὲ καεῖσαι καὶ λειωθεῖσαι λεῖαι, *καὶ μετὰ V. καὶ omittit.
κεδρίας ἐπισταζόμεναι, τὰς ἐκτιλθείσας τῶν
βλεφάρων τρίχας οὐκ ἐῶσιν αὖθις φῦναι.

Περὶ Χημῶν. Κεφ. θ'.

C ΚΑΙ ὁ ἐκ τῶν χημῶν δὲ καὶ τῶν ἄλλων
κογχυλίων ζωμός, κοιλίαν κινεῖ ἑψό-
μενος μετὰ ὀλίγου ὕδατος· μετ' οἴνου δὲ
λαμβάνεται.

Περὶ Ὄνυχος. Κεφ. ι'.

ΟΝΥΞ ἐστὶ πῶμα κογχυλίου, ὅμοιον
τῷ τῆς πορφύρας· εὑρισκόμενον ἐν τῇ
D Ἰνδίᾳ, ἐν ταῖς ναρδοφόροις λίμναις. διὸ καὶ
ἀρωματίζει νεμομένων τῶν κογχυλίων τὴν
νάρδον· συλλέγεται δέ, ἐπειδὰν ὑπὸ τῶν
αὐχμῶν ἀναξηρανθῶσιν αἱ λίμναι· διαφέρει δὲ ὁ ἀπὸ τῆς ἐρυθρᾶς κομιζόμενος,
ὑπόλευκος ὢν καὶ λιπαρός. μέλας δὲ ὁ
Βαβυλώνιος καὶ μικρότερος. ἀμφότεροι δὲ
E εὐώδεις θυμιώμενοι, καστορίζοντες πως
τῇ ὀσμῇ· ἐγείρουσι δὲ καὶ οὗτοι ὑποθυ-
μιαθέντες τὰς ὑστερικῶς πνιγομένας, καὶ
ἐπιληπτικούς· ποθέντες δὲ κοιλίαν *ἐκ- Vulg. καλάσσουσι
ταράσσουσιν. αὐτὸ δὲ τὸ κογχύλιον καέν,
ποιεῖ ὅσα καὶ ἡ πορφύρα καὶ ὁ κήρυξ.

Περὶ *Κοχλιῶν. Κεφ. ια'. Par. κοχλίου χερσαίου

F ΚΟΧΛΙΑΣ χερσαῖος εὐστόμαχος,
*δύσφθαρτος· ἄριστος δὲ ὅ, τε ἐν Σαρ- V. addit, ἀλλὰ ἢ δύσπεπτος καὶ δύσφ.
δοῖ, καὶ Λιβύῃ, καὶ Ἀστυπαλαίᾳ, καὶ Σικελίᾳ,
καὶ Χίῳ γεννώμενος, καὶ ὁ ἐν ταῖς κατὰ Λιγυ-
ρίαν Ἄλπεσι πωματίας καλούμενος. καὶ
ὁ θαλάσσιος δὲ εὐστόμαχος καὶ εὐέκκριτος· ὁ
δὲ ποτάμιος βρωμώδης. καὶ *ὁ ταῖς ἀ- V. ὁ ἐν ταῖς
G κάνθαις καὶ τοῖς θαμνίσκοις προσκε-
κολλημένος ἄγριος, ὃν τινες σέσιλον *ἢ Par. tantùm σέσιλον καλ. δ. λίαν
σεσέλιτα καλοῦσι, ταρακτικός ἐστι
κοιλίας καὶ στομάχου, ἐμετοποιός.

A Δύναται δὲ πάντων τὰ ὄστρακα κεκαυμένα θερμαίνειν καὶ καίειν· σμήχειν λέπρας, ἀλφούς, ὀδόντας· οὐλὰς δὲ τὰς ἐν ὀφθαλμοῖς καὶ λευκώματα, καὶ ἐφήλεις, καὶ ἀμβλυωπίας, μετὰ τῆς σαρκὸς ὅλοι καέντες καὶ λειωθέντες καὶ ἐγχριόμενοι σὺν μέλιτι ἀποκαθαίρουσιν. ὠμοὶ δὲ σὺν τοῖς κελύφοις καταπλασθέντες, ἐξικμάζουσι τὰ ὑδρωπικὰ οἰδήματα· B καὶ οὐκ ἀφίστανται πρὶν πᾶν ἐξικμασθῆναι τὸ ὑγρόν. καὶ ποδαγρικὰς δὲ φλεγμονὰς πραΰνουσι, καὶ σκόλοπας ἕλκουσιν ὁμοίως καταπλασθέντες. καὶ ἔμμηνα ἄγουσι λεῖοι προστιθέμενοι. αἱ δὲ σάρκες αὐτῶν λεῖαι σὺν σμύρνῃ καὶ λιβανωτῷ καταπλασθεῖσαι, τραύματα καὶ C μάλιστα τὰ κατὰ τὰ νεῦρα κολλῶσι, καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας σὺν ὄξει λειωθέντες ἐπέχουσι. ζῶσα δὲ ἡ σὰρξ καταποθεῖσα, τοῦ Λιβυκοῦ μάλιστα, ἀλγηδόνας στομάχου παύει. μετὰ δὲ τοῦ ὀστράκου ὅλος τριβεὶς καὶ μετ᾽ οἴνου καὶ σμύρνης ποθεὶς ὀλίγος, κωλικοὺς θεραπεύει καὶ κύστεως ἀλγή- D ματα. ἀνακολλᾷ δὲ τρίχας ὁ χερσαῖος, ἐάν τις βελόνην κατὰ τῆς σαρκὸς αὐτοῦ φέρων τῷ προσισταμένῳ γλοιώδει προσάπτηται τῆς τριχός.

In alt. cod. καταπλασθεῖσα Goup.

V. ὀλίγος, κωλικοὺς

Περὶ Καρκίνων. Κεφ. ιβ'.

ΚΑΡΚΙΝΩΝ ποταμίων καέντων ἡ τέφρα κοχλιαρίων δυοῖν πλῆθος, E σὺν γεντιανῆς ῥίζης κοχλιαρίῳ ἑνὶ καὶ οἴνῳ ποθεῖσα ἐπὶ ἡμέρας γ'. βοηθεῖ λυσσοδήκτοις ἐναργῶς· σὺν δὲ μέλιτι ἑφθῷ, ῥαγάδας τὰς ἐν ποσὶ καὶ τὰς ἐν δακτυλίῳ καὶ χιμέθλας, καὶ καρκινώματα πραΰνουσι. λεῖοι δὲ ὠμοὶ σὺν γάλακτι ὀνείῳ ποθέντες, βοηθοῦσι δήγμασιν ἑρπετῶν, φαλαγγίων, F σκορπίων πληγαῖς· ἑφθοὶ δὲ σὺν ζωμῷ ἐσθιόμενοι, φθισικοὺς ὠφελοῦσι, καὶ τοὺς λαγωὸν θαλάσσιον πεπωκότας. τριφθέντες δὲ μετ᾽ ὠκίμου καὶ προστεθέντες, σκορπίους κτείνουσι. δύνανται δὲ τὰ αὐτὰ καὶ οἱ θαλάσσιοι, πλὴν ἧττον τούτων ἐνεργοῦσι.

In margine scholion visitur, τὰς γλώσσης καὶ φάρυγγος φλεγμονὰς ἀποιοῦσι καὶ σὺν ζωμῷ ἐσθιόμενοι.

Al. [illegible]

Περὶ Σκορπίου χερσαίου. Κεφ. ιγ'. G

ΣΚΟΡΠΙΟΣ χερσαῖος ὠμός, λεῖος ἐπιτεθεὶς, βοήθημα τῆς ἰδίας πληγῆς γίνεται· * εὑρίσκεται δὲ καὶ ὀπτηθεὶς πρὸς τὸ αὐτό.

Marc. εὑρίσκεται

Crematæ omniū testæ calfaciendi vrendíque: lepras, vitiligines ac dentes etiam extergendi vi pollent: oculorum verò cicatrices & albugines, maculas à sole contractas, ac visus hebetudines emendant, si totæ cum sua carne vstæ & contritæ illinantur. At crudæ cum suis calicibus impositæ hydropicorum tumores discutiunt, neq; priùs amouentur, quàm omnis exhauriatur humor. Sed & podagricas inflammationes leniunt, ac impactos etiam corpori aculeos similiter impositæ euocant: menses quoque tritæ & appositæ ciunt. Porrò carnes earum tritæ, & cum myrrha ac thure illitæ, tum vulnera alia, tum maximè quæ neruis inflicta sunt conglutinant: tritæ in aceto sanguinis è naribus eruptiones cohibent. Viuæ caro, & maximè Africanæ, deuorata stomachi dolores mitigat. Tota verò cum testa sua trita & cum vino ac myrrha exigua quantitate bibita, colicos dolores vesicæque cruciatus sanat. Terrestris fluentem pilum glutinat & cohibet, si quis traiectæ per carnem ipsius acus mucroni hærentem viscidum lentorem pilo admouerit.

De Cancris. Cap. XII.

CANCRORVM fluuiatilium exustorum cinis duûm cochleariū mēsura cū gentianę radicis cochleario vno ac vino triduo potus, à cane rabioso demorsis euidéter opitulatur. Ex melle verò cocto rimas pedum sedísque, perniones & carcinomata lenit. Triti crudi, potíque ex asinino lacte, contra serpentium phalangiorúmque morsus & scorpionum ictus auxiliantur. Decocti autem & ex iure suo sumpti phthisicis prosunt, iísque qui leporem marinum hauserint. Triti cum ocimo & admoti, scorpiones necant. Possunt eadem marini, sed minore quàm illi efficacia.

De Scorpione terrestri. Cap. XIII.

TERRESTRIS scorpio crudus, tritus & impositus, suę plagę remedium est: estur quoque tostus in eundem vsum.

De Scorpione marino. Cap. XIIII.

A Marini scorpionis fel cõuenit ad oculorum suffusiones, albugines & hebetudines.

De dracone marino. Cap. XV.

DRACO marinus exectus & impositus, ictus spinæ suæ qua ferit medela est.

De Scolopendra. Cap. XVI.

SCOLOPENDRA marina in oleo decocta & peruncta pilos detrahit: contactu verò pruritus excitat.

De Torpedine. Cap. XVII.

TORPEDO marina in diutinis capitis doloribus imposita, doloris vehementiam mulcet. Eadem sedem euersam prociduámve coërcet.

De Vipera. Cap. XVIII.

VIPERÆ caro cocta & in cibo sumpta claritatem oculis affert, ad neruorum vitia proficit, increscentésque strumas reprimit. Detracta autem cute, caput & caudam, quoniam carne vacant, amputari oportet. Fabulosum enim est quod præcipitur, vt extremarum partium certa vtrinque mensura præcidatur. Reliquum verò (exemptis interaneis) corpus elotum & in frustra sectum ex oleo & vino cum salis exiguo & anetho discoquitur. Aiunt porrò ijs qui viperinas carnes esitauerint, pediculos procreari: quod falsum est. Insuper verò referunt nonnulli, qui ijs vescantur longam senectutem adipisci. Sal ex ijs ipsis ad eadem conficitur, sed non est perinde efficax. Viua autem vipera in ollam nouam demittitur, adijciúturque salis triti caricarúmque itidem tritarum an. sextarij singuli, mellis cyathi VI. mox ollæ operculum luto oblinitur. Sic ea in fornace torrentur, donec sal in carbones redigatur. Is postea ad læuorem tritus reconditur: ac interdum quò iucundiùs ori sapiat, spica nardi aut folij seu malabathri momentum immiscetur.

Περὶ Σκορπίου θαλασσίου. Κεφ. ιδ'.

Τοῦ δὲ θαλασσίου σκορπίου ἡ χολὴ ἁρμόζει πρὸς τὰς ἐν ὀφθαλμοῖς ὑποχύσεις καὶ λευκώματα καὶ ἀμβλυωπίας.

Περὶ Δράκοντος θαλασσίου. Κεφ. ιε'.

ΔΡΑΚΩΝ θαλάσσιος ἀναπλυσθεὶς καὶ ἐπιτεθεὶς, ἴαμά ἐστι πρὸς τὴν ἐκ B τῆς ἀκάνθης αὐτοῦ πληγήν.

Περὶ Σκολοπένδρας. Κεφ. ις'.

ΣΚΟΛΟΠΕΝΔΡΑ θαλασσία ἑψηθεῖσα ἐν ἐλαίῳ καὶ καταχρισθεῖσα, ψιλοῖ τρίχας· ψαυσθεῖσα δὲ, κνησμοὺς ἐργάζεται.

Περὶ Νάρκης. Κεφ. ιζ'.

C ΝΑΡΚΗ θαλασσία ἐπιτεθεῖσα ἐπὶ χρονίων ἀλγημάτων τῶν περὶ κεφαλὴν, παραμύθεῖ τὸ σφοδρὸν τοῦ ἀλγήματος· καὶ ἕδραν δὲ ἐκτετραμμένην ἢ παραπίπτουσαν στέλλει προστεθεῖσα.

Περὶ Ἐχίδνης. Κεφ. ιη'.

D ΕΧΙΔΝΗΣ σὰρξ ἑψηθεῖσα καὶ ἐσθιομένη, ὀξυδερκεῖς ποιεῖ τὰς ὄψεις, καὶ πρὸς τὰ νευρικὰ ° ἁρμόζει, καὶ τὰς αὐξομένας χοιράδας ἵστησι· δεῖ δὲ ἐκδείραντας αὐτὴν, ἀποκόπτειν, κεφαλήν τε καὶ τὴν οὐρὰν, διὰ τὸ ἐν αὐτοῖς ἄσαρκον. μυθῶδης γὰρ ἡ πρὸς τὸ μέτρον ἀποκοπὴ τῶν ἄκρων· τὸ δὲ E λοιπὸν ° πλυνάντας καὶ τεμαχίσαντας, ἕψειν μετ' ἐλαίου καὶ οἴνου καὶ ἁλῶν ὀλίγων καὶ ἀνήθου. φασὶ δὲ τοὺς προσφερομένους φθεῖρας * γεννᾶν· ὅπερ ἐστὶ ψεῦδος· παριστοροῦσι δὲ ἔνιοι καὶ μακρογήρους γίνεσθαι τοὺς ἐσθίοντας αὐτάς. κατασκευάζονται δὲ καὶ ἅλες ἐξ αὐτῶν πρὸς τὰ αὐτὰ, ° πλὴν οὐχ ὁμοίως ἐνεργοῦσι. καθίεται F δὲ ἔχιδνα ζῶσα εἰς καινὴν χύτραν, καὶ μετ' αὐτῆς ἁλῶν, ἰσχάδων τετριμμένων, ἀνὰ ξέστης α'. ° μετὰ μέλιτος κυάθων ς'. περιχρίεται πηλῷ τὸ πῶμα τῆς χύτρας, καὶ ὀπτᾶται ἐν καμίνῳ, ἄχρις οὗ ἀνθρακωθῶσιν οἱ ἅλες· μετὰ δὲ τοῦτο λειοτριβηθέντες ἀποτίθενται, ἐνίοτε μιγνυG μένου πρὸς * εὐστομαχίαν αὐτοῖς ναρδοστάχυος, ἢ φύλλου, ° ἢ μαλαβάθρου βραχέος.

V. addit καὶ ποδάγρας.

Marc. πλατύναντας

Quidam add. καὶ θηλαστικοί

Ruellius legit ε'.

V. ἢ μαλαβάθρου ἢ φύλλου βραχέος. al. ἢ μαλαβάθρου φύλλου βραχέος

Περὶ Ὄφεως γήρως. Κεφ. ιθ'. A

Γῆρας ὄφεως ἑψηθὲν ἐν οἴνῳ, βοήθημά
ἐστιν ὠταλγίας ἐγχεόμενον, καὶ ὀδονταλγίας
διακλυζόμενον. μίσγουσι δὲ αὐτὸ καὶ εἰς ὀ-
φθαλμικὰς δυνάμεις· μάλιστα δὲ τὸ
τῆς ἐχίδνης.

Περὶ Λαγωοῦ θαλαττίου. Κεφ. κ'.

ΛΑΓΩΟΣ θαλάσσιος ἔοικε μὲν μι- B
κρᾷ τευθίδι· δύναται δὲ λεῖος καταπλασθεὶς καθ' ἑαυτὸν καὶ μετὰ ἀκαλύ-
φης τρίχας ψιλοῦν.

Περὶ Λαγωοῦ χερσαίου. Κεφ. κα'.

Τοῦ δὲ χερσαίου λαγωοῦ ὁ ἐγκέφαλος,
ὀπτὸς βιβρωσκόμενος ὠφελεῖ τρόμους τοὺς
κατὰ πάθος γινομένους· καὶ ὀδοντιάσεις ἐπὶ C
παίδων παρατριβόμενος καὶ ἐσθιόμενος. ἡ
δὲ κεφαλὴ αὐτοῦ καεῖσα καὶ καταχρισθεῖσα
μετὰ * στέατος ἀρκείου ἢ ὄξους, ἀλωπεκίας
θεραπεύει. ἡ δὲ πυτία ποθεῖσα * μετὰ ἡ-
μέρας τρεῖς μετὰ τὸν ἄφεδρον, ἀτόκιος εἶναι
ἱστορεῖται· ἐπέχει δὲ καὶ τὸν ἐκ μήτρας *ῥεῦ-
σιν, καὶ κοιλίας. ὠφελεῖ δὲ καὶ ἐπιληπτι- D
κούς, καὶ πρὸς τὰ θανάσιμα μετ' ὄξους πι-
νομένη. μάλιστα δὲ πρὸς γάλακτος θρόμ-
βωσιν καὶ ἐχιδνῶν δήγματα. τὸ δὲ αἷμα
αὐτοῦ θερμὸν καταχριόμενον, ἐφήλιδας
καὶ ἀλφοὺς καὶ φακοὺς θεραπεύει.

Περὶ Τρυγόνος θαλασσίας. Κεφ. κβ'.

ΤΡΥΓΟΝΟΣ θαλασσίας τὸ κέν- E
τρον, ὃ δὴ ἀπὸ τῆς οὐρᾶς αὐτῆς πέφυ-
κεν ἀνεστραμμένον ταῖς φολίσιν, ὀδόντα
πονοῦντα πραΰνει· θρύπτει γὰρ καὶ ἀποβάλλει.

Περὶ Σηπίας. Κεφ. κγ'.

ΣΗΠΙΑΣ ἑψηθείσης * μέλαν βι-
βρωσκόμενον δύσπεπτον, κοιλίας μα-
λακτικόν. τὸ δὲ ἀπ' αὐτῆς ὄστρακον σχηματι- F
σθὲν εἰς κολλύρια ἁρμόζει πρὸς παράτρι-
ψιν τραχέων βλεφάρων· καὲν δὲ * ἐν τῷ
ἰδίῳ ὀστράκῳ, ἄχρις οὗ τὸ πλακῶδες αὐτοῦ
ἀποστῇ, σμήχει λεῖον ἀλφούς, πίτυρα, ὀδόν-
τας, ἐφήλεις· μίγνυται δὲ εἰς τὰ ὀφθαλμικὰ
πλυθέν· ποιεῖ δὲ καὶ πρὸς λευκώματα κτη-
νῶν ἐμφυσώμενον· καὶ πτερύγια τὰ ἐν ὀφθαλ- G
μοῖς τήκει, σὺν ἁλσὶ λεῖον προσαγόμενον.

Al. ὄλατος καὶ στέατος

Gesn. ἐφ' ἡμέρ.

Al. ῥύσιν.

Ald. μέλαν τὸ βιβρ.

Al. ποῦ, vt refert Marcell.

De Anguium ſenecta. *Cap. XIX.*

Anguinæ vernationis membrana in vino ſi decocta fuerit, dolori quidem aurium infuſa, dentium verò doloribus collutione, auxilio eſt. Miſcetur & ipſa in oculorum medicamenta, ſed præcipuè quæ viperæ maris eſt.

De Lepore marino. *Cap. XX.*

LEPVS marinus loligini paruæ ſimilis eſt. Is tritus tū per ſe, tum cum vrtica (marina) adhibitus, deglabrandi vim obtinet.

De Lepore terreſtri. *Cap. XXI.*

Terreſtris leporis inaſſatum cerebrū ſi mandatur, tremoribus prodeſt ex pauore obortis: infantium quoque dentitiones tū affrictu tum cibo adiuuat. Exuſtum ipſius caput & cum adipe vrſino aut aceto perunctum, alopecijs medetur. Porrò coagulum poſt triduum à mēſtrua purgatione potum, ſterilitatem facere, adeóque omnem partus ſpem intercipere perhibetur. Vuluæ etiānum aluíque fluorē ſiſtit. Comitiales quoque iuuat, & contra venena ex aceto bibitū prodeſt: præſertim verò aduerſus lac in grumos cōcretum, viperarúmque morſus. Cæterùm ſanguis eius ſi calidus illinatur, maculas à ſole contractas, vitiligines, lentiginéſque ſanat.

De Paſtinaca marina. *Cap. XXII.*

PASTINACÆ marinæ radius, qui quidē ipſius cauda reflexis ſquamis enaſcitur, dentis dolorem mitigat: ſiquidem illum & comminuit & eijcit.

De Sepia. *Cap. XXIII.*

SEPIÆ coctæ atramentū in cibo ſumptū, ęgrè concoquitur, aluum emollit. Ipſius verò teſta in collyria efformata, ſcabris genis perfricādis accommodatur. Vſtum verò intra propriā teſtam quod ipſa teſta concluditur, donec id quod *cruſtoſum eſt abſcedat, poſteáque tritum, exterit vitiligines, furfures, dentes & maculas à ſole contractas. Porrò elotum in medicamenta oculorum additur. Facit & præclarè iumentis ad oculorum albugines, ſi inſuffletur. Pterygia quoque oculorum abſumit, cum ſale tritum & adhibitum.

aut, planum ſeu tabellatū

De Mullo. Cap. XXIIII.

A MVLLVS frequenter in cibo sumptus, visus hebetudinē facere creditur. Quòd si crudus dissectúsque imponatur, marini draconis ac scorpionis, itémque aranei ictibus medetur.

De Hippopotami seu fluuiatilis equi testiculo. Cap. XXV.

B HIPPOPOTAMI testiculus exiccatus & ad læuorē tritus, contra serpentium morsus ex vino bibitur.

De Castorio, seu fibri testibus. Cap. XXVI.

Fiber animal est ancipitis vitæ, C quod plerunq; cū piscibus & cancris vitam in aquis degit. Auxiliantur quoque ipsius testes contra serpentium venena. Sternutamenta etiamnum mouent, ac in vniuersum multiplices vsus obtinent. Siquidem duabus drachmis cum pulegio poti mēses cient, & partus secundásque eijciunt. Ex aceto verò D contra inflationes, tormina, singultus, exitialia venena, priuatímque ixiam bibūtur. Lethargicos & alio quocunque veterni genere correptos cum aceto & rosaceo irrigati excitant. Sed & olfactu & odoris suffitu eadem præstant. Prosunt & tum potu, tum etiā illitu ad tremores, conuulsiones, omniáque neruo- E rum vitia: ac in summa calfactoriā vim habent. Porrò testes semper eligito, qui sint ex vno ortu cōnexi, (fieri enim nō potest vt gemini folliculi in vna membrana coniuncti reperiātur) liquore intus veluti ceroso, odoris grauis, ac viroso gustu, acri & mordaci, friabili: quíque naturalibus tunicis perpetuò distin- F guantur. Ipsum fraude corrumpunt nonnulli, ammoniacū aut gummi cum sanguine & castorio subactum in folliculum infundentes, & ita exiccantes. Vanum est autem quod narratur, animal ipsum, dum à venatoribus vrgetur, testes sibi auellere & abijcere: fieri enim nequit ipsos vt attingat, quippe qui sint vel- G ut in sue substricti. Cæterùm diuisa pelle liquorem melleum vnà cum ipsum continente tunica excipere oportet, atque ita siccatū reponere.

A Περὶ Τρίγλης. Κεφ. κδʹ.

ΤΡΙΓΛΑ συνεχῶς ἐσθιομένη ἀμβλυωπίας δοκεῖ κατασκευαστικὴ ὑπάρχειν. ὠμὴ δὲ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, θαλασσίου δράκοντος καὶ σκορπίου καὶ ἀράχνης δήγματα ἰᾶται. Forte, πλέγματα

Περὶ Ὄρχεως ἱπποποτάμου.

B Κεφ. κεʹ.

ΟΡΧΙΣ ἱπποποτάμου ξηρανθεὶς καὶ λειανθεὶς, πίνεται μετ' οἴνου πρὸς ἑρπετῶν δήγματα.

Περὶ τῶν τοῦ κάστορος ὄρχεων. Κεφ. κϛʹ.

*Κάστορος ὄρχις (ζῷον ἐστὶν ἀμφίβιον, τὸ πλεῖστον ἐν ὕδασι, σὺν ἰχθύσι καὶ καρκίνοις, τρεφόμενον) ποιεῖ μὲν καὶ πρὸς ἑρπετά. ἔστι δὲ καὶ πταρμικὸς, καὶ καθόλου ποικίλην ἔχει τὴν χρῆσιν· ποθεὶς γὰρ μετὰ γλήχωνος < πλῆθος δυοῖν, ἔμμηνα κινεῖ, καὶ ἔμβρυα καὶ δεύτερα ἐκβάλλει. πίνεται δὲ σὺν ὄξει καὶ πρὸς ἐμπνευματώσεις, στρόφους, λυγμοὺς, θανάσιμα φάρμακα, ἰξίαν· ἀνακαλεῖται δὲ καὶ τοὺς ληθαργικοὺς, καὶ τοὺς ὅπως δήποτε καταφερομένους, ἐμβρεχόμενος σὺν ὄξει καὶ ῥοδίνῳ, καὶ ὀσφραινόμενος. καὶ ὑποθυμιώμενος δὲ τὰ αὐτὰ ποιεῖ· ἁρμόζει δὲ καὶ τρόμοις καὶ σπασμοῖς, καὶ πᾶσι τοῖς νευρώδεσι, πινόμενός τε καὶ συγχριόμενος. καὶ καθόλου θερμαντικὴν ἔχει τὴν δύναμιν. ἐκλέγου δὲ ἀεὶ τοὺς συνεζευγμένους ὄρχεις ἐκ μιᾶς ἀρχῆς (ἀδύνατον γὰρ δύο φύσας εὑρεῖν ἐζευγμένας ἐν ἑνὶ ὑμένι) καὶ τὸ ἔνδον ἔχον κηρῶδες, βαρύοσμον, βρομῶδες, δριμὺ, δηκτικὸν, εὔθρυπτον, διαφραττόμενόν τε συνεχῶς φυσικοῖς ὑμέσι. δολοῦσι δὲ τινες αὐτὸ, ἀμμωνιακὸν ἢ κόμμι συμπεφυρμένον αἵματι καὶ καστορίῳ ἐγχέοντες εἰς φύσαν καὶ ξηραίνοντες. μάτην δὲ ἱστορεῖται ὅτι διωκόμενον τὸ ζῷον ἀποσπᾷ τοὺς διδύμους καὶ ῥίπτει· ἀδύνατον γάρ ἐστιν ἅψασθαι αὐτῶν, προσεσφιγμένων ὄντων ὥσπερ ὑός. δεῖ δὲ διελόντας τὸ δέρμα κομίσασθαι σὺν τῷ περιέχοντι ὑμένι τὸ ὑγρὸν, ὂν μελιτῶδες, καὶ οὕτω ξηράναντας ἀποτίθεσθαι.

V. incipit καὶ 3 τῷ κάστορος ὄρχις ἐστὶ δὲ ζῷον, quasi hoc caput continuum cum proximè præcedēti fuerit.

V. διαιτώμενον, ἰχθύσι

V. quidā caret his σὺν ὄξει καὶ

V. προσεσφιγμένων

Volg. exempl. ... potuit dare.

Περὶ Γαλῆς κατοικιδίου. Κεφ. κζ.

ΓΑΛΗ κατοικίδιος περιφλεχθεῖσα, καὶ δίχα τῶν ἐντὸς σκελετευθεῖσα δι' ἁλὸς, καὶ ξηρανθεῖσα ἐν σκιᾷ, παντὸς ἑρπετοῦ ἐνεργέστερόν ἐστι βοήθημα, ποθεῖσα μετὰ οἴνου < β' πλῆθος, καὶ τοξικοῦ ἀντιφάρμακον ὁμοίως ληφθεῖσα. ἡ δὲ κοιλία αὐτῆς κοριάννῳ πληρωθεῖσα καὶ σκελετευθεῖσα, θηριοδήκτοις καὶ ἐπιληπτικοῖς βοηθεῖ πινομένη. ὅλη δὲ καεῖσα ἐν χύτρᾳ, ποδαγρικοὺς * ὠφελεῖ, τῆς τέφρας καταχριομένης μετ' ὄξους. τὸ δὲ αἷμα αὐτῆς καταχριόμενον, χοιράσι βοηθεῖ· ὠφελεῖ δὲ καὶ ἐπιληπτικούς.

V. ἀναφ. καὶ κα- γρόν

Περὶ Βατράχων. Κεφ. κη'.

ΒΑΤΡΑΧΟΙ ἀντιφάρμακόν εἰσιν ἑρπετῶν πάντων, ζωμευθέντες ἐν ἁλσὶ καὶ ἐλαίῳ, τοῦ ζωμοῦ λαμβανομένου ὁμοίως· καὶ πρὸς χρονίους τῶν τενόντων ἀποστάσεις. καέντες δὲ καὶ ἐπιπασθέντες, αἱμορραγίας στέλλουσι. καὶ ἀλωπεκίας θεραπεύουσι σὺν πίσσῃ ὑγρᾷ καταχριόμενοι. τῶν δὲ χλωρῶν βατράχων τὸ αἷμα ἐπισταζόμενον, κωλύει τὰς ἐκτιλθείσας ἀπὸ τῶν βλεφάρων τρίχας φύεσθαι· ὠφελοῦσι καὶ ὀδονταλγίας συνεψόμενοι ὕδατι καὶ ὄξει, καὶ διακλυζόμενοι.

V. Σιλούρου.

Περὶ Αἰλούρου. Κεφ. κθ'.

ΑΙΛΟΥΡΟΣ νεαρὸς βιβρωσκόμενος, τρόφιμός ἐστι καὶ εὐκοίλιος· ταριχηρὸς δὲ, ἄτροφος· ἀρτηρίας δὲ καθαίρει καὶ εὐήχας παρασκευάζει. καταπλασθεῖσα δὲ ἡ σὰρξ * τοῦ ταριχηροῦ, σκόλοπας ἀνάγει. καὶ ἡ ἅλμη αὐτοῦ δὲ ἁρμόζει ἐν ἀρχῇ δυσεντερικοῖς εἰς * ἐγκάθισμα, κατάγουσα τοὺς ῥευματισμοὺς εἰς τὴν ἐπιφάνειαν. καὶ ἐγκλυζομένη δὲ, ἰσχιαδικοὺς θεραπεύει.

V. καὶ περιχρισθεῖσα

V. addit ἐν

Περὶ Σμαρίδος. Κεφ. λ'.

ΣΜΑΡΙΔΟΣ ταριχηρᾶς ἡ κεφαλὴ * καεῖσα, ἕλκη στέλλει ὑπερσαρκοῦντα, καὶ νομὰς ἵστησι, καὶ ἥλους, καὶ θύμους ἀναλίσκει· σκορπιοπλήκτοις τε καὶ * κυνοπλήκτοις ἡ σὰρξ ἁρμόζει, καθάπερ πᾶν τάριχος.

Lac. ex veteri addit καὶ λεία

Leg. κυνοδήκτοις.

Περὶ Μαινίδος. Κεφ. λα'.

ΚΑΙ τῆς μαινίδος δὲ κεφαλὴ καεῖσα λεία, τὰς ἐν * δακτύλῳ τετυλωμένας

De Mustela vulgari seu domestica. Cap. XXVII.

MVSTELA quæ in domibus nostris oberrat, flammis ambusta & exemptis interaneis sale inueterata, tandémque in vmbra siccata, binis drachmis in vino pota cõtra serpentium genus omne præsentaneo est remedio. Toxico simili sumpta modo resistit. Eiusdem ventriculus coriandro fartus inueteratúsque, ijs qui à venenatis bestijs commorsi fuerint, & comitialibus potu auxiliatur. Tota vero in olla cõcremata, podagricis cõfert, cinere ex aceto illito. Cęterùm ipsius sanguis perunctus strumis opitulatur, ac comitialibus itidem prodest.

De Ranis. Cap. XXVIII.

CONTRA omnium serpentium venena pro antidoto sunt ranæ, cum sale & oleo è iure decoctæ, si ius ipsum itidem sorbeatur. Valent & ad diuturnos tendinum abscessus. Vstæ verò & inspersæ, profluentis sanguinis impetum sistunt: quin & sanant alopecias, cum pice liquida illitæ. At viridium ranarum sanguis instillatus euulsos palpebris pilos renasci prohibet. Decoctæ etiánum in aqua & aceto dentium dolores collutione leniunt.

De Siluro. Cap. XXIX.

SILVRVS recens in cibo sumptus probè nutrit, & bonam facit aluũ: sale verò conditus, vix alimentum vllum subministrat. Arteriã tamen expurgat, vocique splẽdorem affert. Imposita verò saliti caro, aculeos & infixa corpori spicula extrahit. Ipsius quoque muria dysentericis circa principia conuenit ad insessus: quippe quæ fluxiones ad summa cutis eliciat. Quin & ischiadicis infusa medetur.

De Smaride. Cap. XXX.

SMARIDIS salitæ caput exustũ tritúmque, excrescentes in vlceribus carnes cohibet, nomásque compescit: clauos thymósque absumit. Caro, quemadmodum & salsamentum omne, prodest à scorpione ictis, & à cane demorsis.

De Mæna. Cap. XXXI.

MÆNÆ quoque caput vstũ, tritúmque si inspergatur, callosas

sedis rhagadas emendat. Ipsius verò garum, in ore putrescentia vlcera collutione sedat.

De Gobio. Cap. XXXII.

GOBIVM recentem si in suillum ventriculum immiseris, & consuta rima in duodecim aquæ sextariis, donec duo supersint decoxeris, excolatúmque ius ac sub diuo refrigeratum potui dederis, aluum citra perturbationem subduces. Porro impositus ijs qui à canibus serpétibúsve demorsi fuerint auxiliatur.

De salsamento quod omotarichon appellatur. Cap. XXXIII.

QVEM omotarichum vocant, códitanei thunni caro est. Hęc sũpta ijs auxiliatur, quos vipera, prester dicta, momorderit. Sed oportet vinum quamplurimum subinde cogátur haurire, ita vt vomitione reddatur. Ad ea itidem maximè conuenit, ad quæ & cætera quæ in alimentorum genere sunt acria. Canũ quoq; morsibus vtiliter imponitur.

De Garo. Cap. XXXIIII.

GARVM omne quod è piscibus carnibúsque sale maceratis eliquescit, nomas cohibet & morsis à cane medetur. Dysentericis quoq; & ischiadicis infunditur: illis quidẽ, vt intestinorum vlcera compescat atque coërceat: his verò, vt intestina ipsa, quamuis minimè exulcerata, ad infestantes coxam humores euacuandos stimulet ac proritet.

De Recentiũ pisciũ iusculo. C. XXXV.

RECENTIVM piscium ius, modò per se, modò ex vino potum, aluum subducit. Peculiariter autẽ ad hũc vsum præparatur è phycidibus, scorpionibus, iulidibus, percis & aliis saxatilibus teneris, nec virus resipientibus. Coqui verò debent simpliciter in aqua, additis oleo, anetho & sale.

De Cimicibus. Cap. XXXVI.

CIMICES qui in cubilibus enascũtur, numero septeni cum fabis in cibos additi, & ante accessiones deuorati, quartana laborátibus auxilio sunt. Quin & citra fabas deuorati, demorsis ab aspide prosunt. Vuluæ strangulatione affectas olfactu reuocant. Ceterùm sanguisugas cum vino aut aceto poti pellunt.

A ῥαγάδας *καταπλασθεῖσα ἀφίστησι. τὸ δὲ γάρον αὐτῆς τὰς ἐν στόματι σηπεδόνας διακλυζόμενον παύει.

Περὶ κωβιοῦ. Κεφ. λβ'.

ΚΩΒΙΟΝ πρόσφατον ἐὰν ἐμβαλὼν εἰς ὑείαν κοιλίαν καταῤῥάψῃς, καθεψήσῃς τε μετὰ ὕδατος ξεστῶν ιβ'. ἄχρι δυοῖν
B ξεστῶν, καὶ διηθήσας καὶ ἐξαιθριάσας ποτίσῃς, κοιλίαν ἀταράχως κάτω ὑπάξεις. καταπλασθεὶς δὲ, καὶ τοὺς ὑπὸ κυνῶν δηχθέντας ἢ ἑρπετῶν ὠφελεῖ.

Περὶ Ὠμοταρίχου. Κεφ. λγ'.

Ο Δὲ ὠμοτάριχος λεγόμενος, σάρξ ἐστι θύννου τεταριχευμένου. βοηθεῖ δὲ
C. λαμβανόμενος τοῖς ὑπὸ ἐχίδνης, τῆς καλουμένης πρηστῆρος, δηχθεῖσι· δεῖ δὲ ὡς ὅτι πλεῖστον προσφέρεσθαι οἶνον ἀναγκάζειν πίνειν πολὺν, καὶ ἐμεῖν. εἴς τε τὰς δριμυφαγίας μάλιστα ἁρμόζει, *καταπλάσσεται δὲ καὶ ἐπὶ κυνοδήκτων ὠφελίμως. V. nonnulli extremam hāc periodum omittũt.

Περὶ Γάρου. Κεφ. λδ'.

D ΓΑΡΟΝ δὲ πᾶν τὸ ἐκ ταριχηρῶν ἰχθύων καὶ κρεῶν, *καταπλαττόμενον νομὰς ἐφίστησι, καὶ κυνοδήκτους ἰᾶται. *ἐνίοτε δὲ καὶ ἐπὶ δυσεντερικοῖς, καὶ ἰσχιαδικοῖς· ἐφ' ὧν μὲν ἵνα τὰ εἱλκωμένα *ἐπιπαύσῃ, ἐφ' ὧν δὲ ἵνα τὰ *ἀνέλκωτα ἐρεθίσῃ. Mar. legit καταπλασσόμενον. Leg. ἵσταται Vulg. ἐπιπαύσῃ V. quidam ἐπιπαύσῃ Corn. ἐπικλύσῃ V. ἀνελκώτα

E Περὶ Ζωμοῦ τῶν νεαρῶν ἰχθύων. Κεφ. λε'.

ΖΩΜΟΣ δὲ ὁ ἐκ τῶν νεαρῶν ἰχθύων, κοιλίας ὑπαγωγός, ποτὲ μὲν καθ' ἑαυτὸν πινόμενος, ποτὲ δὲ μεθ' οἴνου. ἰδίως δὲ σκευάζεται *πρὸς ταῦτα ὁ ἀπὸ τῶν *φωκίων, *καὶ σκορπίων, καὶ ἰουλίδων, καὶ περκίδων, καὶ τῶν ἄλλων πετραίων ἁπαλῶν καὶ
F ἀβρώμων, *λιτῶς μεθ' ὕδατος, καὶ ἐλαίου καὶ ἀνήθου. Lacuna legit, φωκίων τῶν ἀπὸ σκορπίων καὶ φυκίδων πλησίας ἢ ἰουλίδων. V. addit καὶ σπαρῶν. Ἀπλῶς Samb. non simpliciter interpretatur, sed parũ ac leuiter, veluti iuscula brassicæ, pisorũ soluentia coqui solent.

Περὶ Κόρεων. Κεφ. λς'.

ΚΟΡΕΙΣ οἱ ἀπὸ κλίνης ἐντιθέμενοι *βρώμασι μετὰ κυάμων τὸν ἀριθμὸν ζ'. καὶ *καταπινόμενοι πρὸ τῆς ἐπισημασίας, ὠφελοῦσι τοὺς τεταρταΐζοντας. In altero codice hæc vox deest. Goup.
G καὶ ἀσπιδοδήκτους δὲ δίχα τῶν κυάμων καταποθέντες. ὑστερικῶς δὲ πνιγομένας ἀνακαλοῦνται ὀσφραινόμενοι· σὺν οἴνῳ δὲ ἢ ὄξει ποθέντες, βδέλλας ἐξάγουσι.

δυσουρίαν τε πωρώσεσιν ἐντιθέμενοι τοῖς A οὐρητικοῖς πόροις λεῖοι.

Triti verò & vrinariæ fistulæ impositi, vrinæ difficultati medentur. Pl. strangurie

Al. ἰούλων

Περὶ κνυβαρίδων. Κεφ. λζ'.

ΟΝΟΙ οἱ ὑπὸ ταῖς ὑδρίαις, ζῶά εἰσι πολύποδα, σφαιρούμενοι κατὰ τὰς ἐπαφὰς τῶν χειρῶν. οὗτοι ποθέντες σὺν οἴνῳ

V. ad marg. αἱ ἰκτερικοῖς βοηθοῦσι δυσουρίᾳ τε καὶ ἰκτέρῳ· διαχρισθέντες δὲ μετὰ μέλιτος συναγχικοὺς B ὠφελοῦσι. καὶ πρὸς ὠταλγίαν δὲ λεῖοι σὺν ῥοδίνῳ θερμανθέντες ἐν κελύφει ῥόας καὶ ἐνσταχθέντες, ἁρμόζουσιν.

De Millepedis. Cap. XXXVII.

MILLEPEDÆ quę sub vasis aquarijs reperiũtur, animalcula sunt multorum pedum, quæ quidem cõtacta manibus, in globulos sese contrahunt. Hæ ex vino potę, vrinę difficultati ac regio morbo auxiliãtur. Illitæ verò cum melle, angina correptis prosunt. Tritæ & in cortice mali punici addito rosaceo calfactę ad dentium dolores efficaciter instillantur.

Περὶ Σίλφης. Κεφ. λη'.

ΣΙΛΦΗΣ τῆς ἐν τοῖς ἀρτοκοπείοις διεσχισμένης τὰ ἐντὸς τριβόμενα σὺν ἐλαίῳ, ἢ ἑψόμενα, καὶ ἐνσταζόμενα, ὠταλγίας παύει.

De Blatta. Cap. XXXVIII.

BLATTÆ eius quæ in pistrinis reperitur interanea trita cum oleo C dolores aurium instillatu mitigant.

Περὶ πνεύμονος θαλασσίου. Κεφ. λθ'.

ΠΝΕΥΜΩΝ θαλάσσιος πρόσφατος λεανθεὶς, ποδαγρῶντας καὶ χιμετλιῶντας ὠφελεῖ καταπλασσόμενος.

De Pulmone marino. Cap. XXXIX.

PVLMO marinus recẽs tritus, pernionibus, podagráque laborantibus opitulatur.

Περὶ Χοιρείου πνεύμονος. Κεφ. μ'.

Ο Δὲ χοίρειος καὶ ἄρνειος καὶ ἄρκειος πνεύμων, τὰ ἐκ τῶν ὑποδημάτων παρατρίμματα ἐπιτιθέμενοι ἀφλέγμαντα τηροῦσιν.

De Pulmone suillo. Cap. XL.

D

SVILLVS, agninus, vrsinúsque pulmo impositu, attritus à calceamentis contractos ab inflammatione tuentur.

Περὶ Πνεύμονος ἀλώπεκος. Κεφ. μα'.

Καὶ ὁ τῆς ἀλώπεκος πνεύμων ξηρανθεὶς καὶ ποθεὶς, ἀσθματικοὺς ὀνίνησι. καὶ τὸ στέαρ δὲ αὐτῆς τακὲν καὶ ἐγχυθὲν, ὤτων πόνον παύει.

De Pulmone vulpino. Cap. XLI.

Quin & vulpis pulmo si arefactus bibatur, suspiriosos adiuuat. E Eiusdem verò adeps liquefactus infusúsque, auris dolorem sedat.

Περὶ Ἥπατος ὀνείου. Κεφ. μβ'

ΗΠΑΡ ὄνειον ἐσθιόμενον ὀπτὸν, ἐπιληπτικοὺς ὠφελεῖ· νήστεις δὲ λαμβανέτωσαν.

De Hepate asinino. Cap. XLII.

ASINI iecur inassatum esu comitialibus prodest: verùm id ieiunos sumerę oportet.

Περὶ Αἰδοίου ἄρρενος ἐλάφου. Κεφ. μγ'.

ΑΙΔΟΙΟΝ ἄρρενος ἐλάφου σὺν οἴνῳ F ποθὲν λεῖον, τοῖς ὑπὸ ἐχίδνης δηχθεῖσι βοηθεῖ.

De masculi cerui Genitali. Cap. XLIII.

GENITALE cerui maris tritum ex vino potum, à vipera demorsis auxiliatur.

Περὶ Ὀνύχων ὄνων. Κεφ. μδ'.

Ald. perperam ὀ ΟΝΥΧΕΣ ὄνων καέντες καὶ ποθέντες ἐπὶ ἡμέρας ἱκανὰς πλῆθος κοχλιαρίων δυοῖν, ἱστοροῦνται ἐπιληπτικοὺς ὠφελεῖν. ἐλαίῳ δὲ φυραθέντες, χοιράδας διαφοροῦσιν. * ἐπιπλασθέντες δὲ, χιμέτλας θεραπεύουσι.

De asinorum Vngulis. Cap. XLIIII.

VNGVLÆ asinorum vstæ ad dies G multos cochlearibus binis potę, comitialibus prodesse narrantur. Oleo verò subactæ, strumas discutiunt: inspersę quoque, pernionibus medentur.

De equorum lichenibus. Cap. XLV.

LICHENES equorũ calli sunt circa genua & vngulas in earũ partiũ flexu indurati. Ii triti & in aceto poti comitialibus mederi traduntur.

De Caprinis vngulis. Cap. XLVI.

CAPRINARUM vngularũ cinere perunctæ ex aceto alopeciæ sanantur.

De Caprino iecore. C. XLVII.

QUÆ è caprino iecore dum inassatur destillat sanies, inũcta prodest lusciosis qui Græcis nyctalopes dicũtur. Quin & siquis vaporẽ eius dũ coquitur oculis apertis excipiat, vtilitatẽ percipit. Sed & tostum in cibo ad eadem prodest. Cæterùm aiunt comitiales eius esu, hircini verò maximè, deprehendi.

De Aprino iecore. Cap. XLVIII.

Aprinũ iecur recens si arefactum teratur, ex vino potum contra serpentium iumentorúmque morsus auxilio est.

De canis rabidi Iecore. C. XLIX.

Iecur canis rabiosi tostum & ab ijs quos momorderit in cibo sũptũ, aquæ pauoris periculo liberare creditur. Vtũtur autẽ ad præcautionẽ etiã canis qui momorderit canino dẽte: hunc scilicet folliculo ex aluta inditũ pro amuleto brachio adalligant.

De Iecore mergi. Cap. L.

Mergi iecur assiccatum & potum ex hydromelite binis cochlearibus, secundas pellit.

De Veteribus soleis. Cap. LI.

EX veteribus calceamentis coria combusta ac trita & inspersa, ambusta igni, intertrigines, necnon & calceamentorum attritus sanant.

De Gallinis. Cap. LII.

GALLINÆ dissectę & adhuc calẽtes appositę, serpentiũ morsibus auxiliantur: sed in ipsarum locum alias subinde sufficere oportet.

De Gallinarum cerebro. Cap. LIII.

Earũ cerebellum in vino bibendum datur contra venenatarum bestiarum morsus: sanguinis etiamnum eruptiones à cerebri meninge inhibet. Quę verò in gallinaceo interna ventriculi parte substernitur mẽbrana cornu instar firma ac pellucida, quæque inter co-

(A) Περὶ Λειχήνων ἵππων. Κεφ. με΄.

ΛΕΙΧΗΝΕΣ ἵππων, εἰσὶ δὲ τύλοι καὶ ἐπιγραφὴν εἰλετυλωμένοι παρὰ τοῖς γόνασι καὶ παρὰ τὰς ὁπλαῖς ποθέντες λεῖοι μετ᾽ ὄξους, ἐπιληψίας ἱστοροῦνται θεραπεύειν. — Marc. κατ᾽ ἐπιγραφήν. Ald. vtrobique εἶεν. V ascripserat δὲ ταῖχον

Περὶ Αἰγῶν ὀνύχων. Κεφ. μς΄.

ΟΙ δὲ τῶν αἰγῶν ὄνυχες καέντες, ἀλωπεκίας καταχριόμενοι σὺν ὄξει θεραπεύουσι.

(B) Περὶ Ἥπατος αἰγός. Κεφ. μζ΄.

Τοῦ δὲ ἥπατος τῆς αἰγὸς ὀπτωμένου ὁ ἀπορρέων ἰχὼρ ἐγχριόμενος, νυκτάλωψιν ἁρμόζει· καὶ τὴν ἀτμίδα δὲ τις ἑψομένου αὐτοῦ δέχηται αἰεωρῶσι τοῖς ὀφθαλμοῖς, ὠφελεῖται. ἁρμόζει δὲ καὶ ἐσθιόμενον ὀπτὸν πρὸς τὰ — Samb. legit αἰεωρουμένοις

(C) αὐτά. φασὶ δὲ καὶ ἐπιληπτικοὺς ἐλέγχεσθαι, φαγόντας, μάλιστα τὸ τράγειον ἧπαρ.

Περὶ Ἥπατος κάπρου. Κεφ. μη΄.

Τὸ δὲ τοῦ κάπρου ἧπαρ νεαρὸν καὶ ξηρὸν λεῖον σὺν οἴνῳ πινόμενον, ἑρπετῶν καὶ κτηνῶν δήγματα ὠφελεῖ. — Ald. πλιῶν. Corn. κτηνῶν

Περὶ Ἥπατος κυνὸς λυσσῶντος. Κεφ. μθ.

(D) Κυνὸς λυσσῶντος ἧπαρ βιβρωσκόμενον ὀπτὸν ὑπὸ τῶν δηχθέντων ὑπ᾽ αὐτοῦ, ἀπεκινδύνους ὑδροφοβίας τηρεῖν πιστεύεται. χρῶνται δὲ εἰς προφυλακὴν καὶ τῷ κυνόδοντι τοῦ δακόντος, ἐπιδοῦντες εἰς κυστίδα καὶ περιάπτοντες τῷ βραχίονι. — ἀφοβία ... [margin beside Latin: aquæ pa‑ uoris]

Περὶ Ἥπατος αἰθυίας. Κεφ. ν΄.

(E) Αἰθυίας ἧπαρ σκελετευθὲν καὶ ποθὲν μεθ᾽ ὑδρομέλιτος κοχλιαρίων δυοῖν πλῆθος, ἐκβάλλει δεύτερα. — Duo veteres codices hoc caput non habent, licet vt alia huius generis stare possit.

Περὶ Καττυμάτων. Κεφ. να΄.

ΤΑ δὲ ἀπὸ τῶν καττυμάτων παλαιὰ δέρματα, κεκαυμένα καὶ λεῖα καταπλασσόμενα, πυρίκαυστα καὶ παρατρίμματα καὶ τὰ ἐξ ὑποδημάτων θλίμματα θεραπεύει. — Corn. καταπασσόμενα

(F) Περὶ Ἀλεκτορίδων. Κεφ. νβ΄.

ΑΛΕΚΤΟΡΙΔΕΣ ἀνασχισθεῖσαι καὶ ἐπιτεθεῖσαι ἔνθερμοι, τοῖς ἑρπετῶν δήγμασι βοηθοῦσι· δεῖ δὲ συνεχῶς ἀλλάσσειν. — In margine: αὐτὰρ καὶ αἰθρακώδεσιν ἀποσήμασιν. Scholiō reor.

Περὶ Ἐγκεφάλου ἀλεκτορίδος. Κεφ. νγ΄.

Ο δὲ ἐγκέφαλος αὐτῶν ἐν πόματι θηριοδήκτοις σὺν οἴνῳ δίδοται, καὶ τὰς ἐκ μήνιγγος (G) αἱμορραγίας ἐπέχει. τοῦ δὲ ἄρρενος τὸ κατὰ τὰ ἐντὸς ὑποκείμενον τῇ κοιλίᾳ κερατοειδὲς, ἀποδερόμενον δὲ — Scriptura sic in veteribus distincta est vt hic sit initium capitis cuius hic est titulus ἀλεκτορίδος τὸ κερατοειδὲς ἐντός. Goup.

A ἐν ταῖς ἑψήσεσι ξηρανθέν, ἁρμόζει στομαχικοῖς, λεῖον μετ' οἴνου πινόμενον. ὁ δὲ ζωμὸς τῆς νοσσακος, μάλιστα δίδοται *ἐπικράσεως χάριν φαυλοτέρων καὶ ἐπὶ τῆς στομάχου πυρώσεων λιτῶς σκευασθείς. Ὁ δὲ τῆς παλαιᾶς ἀλεκτρυόνος, δίδοται πρὸς κάθαρσιν κοιλίας. ἐξελόντας δὲ τὰ ἐντὸς, δεῖ ἀντεμβάλλειν ἅλας, καὶ καταρράψαντας ἕψειν μεθ' ὕδατος ξεστῶν κ'. καὶ ἄγοντας εἰς κοτύλας γ' δίδοται δὲ πᾶν ἐξαιθριασθέν. ἔνιοι δὲ συνέψουσι κράμβην θαλασσίαν, ἢ λινόζωστιν, ἢ κνῆκον, ἢ πολυπόδιον. ἄγει δὲ πάχος ὠμὸν, γλισχρῶδες, μέλαν. ἁρμόζει δὲ πυρετοῖς χρονίοις, ἄσθμασιν, ἀρθριτικοῖς, ἐμπνευματουμένοις στομάχοις.

Com. et Gal. & P... [illegible]

Cornar. legit ἄ

Vide inter Dios. noth. quæ huius capitis calci adiiciuntur.

Περὶ Ὠοῦ. Κεφ. νδ'.

ὨΟΝ τὸ ἁπαλὸν, τροφιμώτερον τοῦ ῥοφητοῦ, καὶ τοῦ ἁπαλοῦ τὸ σκληρόν. ἡ λέκυθος αὐτοῦ χρησίμη πρὸς ὀφθαλμῶν περιωδυνίας, ὀπτηθεῖσα σὺν κρόκῳ καὶ ῥοδίνῳ· πρός τε τὰς περὶ δακτύλιον φλεγμονὰς καὶ κονδυλώματα, σὺν μελιλώτῳ· μετὰ ῥοὸς δὲ ἢ κηκῖδος τηγανισθεῖσα, καὶ βρωθεῖσα, ἵστησι κοιλίαν, καὶ καθ' ἑαυτὴν δὲ προσενεχθεῖσα.

Flor. caret, sed vsus esse verum docet.

Forte προσενεχθεῖσα

Περὶ Λευκοῦ τοῦ ὠοῦ. Κεφ. νε'.

Τὸ δὲ λευκὸν αὐτοῦ ὠμὸν ὂν ψύχει, ἐμπλάττει, παρηγορεῖ ἐγχυματισθὲν ἐπ' ὀφθαλμῶν φλεγμαινόντων. κατακαύματά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι παραχρῆμα ἐπιχρισθέν· πρόσωπά τε ἀνεπίκαυστα τηρεῖ, ἀνακόλλημα δὲ ἐπὶ ῥευματιζομένων σὺν λιβανωτῷ κατὰ τοῦ μετώπου τιθέμενον· φλεγμονάς τε ὀφθαλμῶν πραΰνει ἐρίῳ ἀναληφθὲν μιγέντος αὐτῷ ῥοδίνου καὶ οἴνου καὶ μέλιτος· ὠμὸν δὲ ῥοφηθὲν, αἱμορροΐδος δήγμασι βοηθεῖ. ἀκροχλιαρὸν δὲ πρὸς κύστεως δηγμοὺς καὶ ἕλκωσιν νεφρῶν καὶ τραχυσμοὺς τραχείας ἀρτηρίας, καὶ αἵματος ἀναγωγὰς καὶ καταρρόους καὶ θώρακος ῥευματισμοὺς ἁρμόζει.

Hoc caput in vetustis libris cum superiore coniunctū est. Goup.

V. ἐπιτιθέμενον, alter καιόμενον.

V. οἰνομέλιτος.

Περὶ Τεττίγων. Κεφ. νϛ'.

ΤΕΤΤΙΓΕΣ ὀπτοὶ ἐσθιόμενοι, τοῖς περὶ τὴν κύστιν ἀλγήμασι βοηθοῦσιν.

quendum excoriari solet, arefacta tritáque & in vino pota stomachicis confert. *Ius autem pulli simpliciter paratum potissimè datur ad tẽperandos prauos vitiosósque humores, & ijs quibus ęstuat os ventriculi. At ius è vetere gallinaceo datur ad aluum deiiciendã. Exemptis porrò interaneis in eorum locũ sal B immittendus est, demúmque consuto vẽtre gallinaceus in aquæ sextarijs xx. discoquẽdus, dum tres heminæ supersint. Totum verò id sub dio refrigeratum exhibetur. Sunt qui marinam brassicam, mercurialem, cnicum aut filiculam simul incoquant. Cæterùm crudos crassósque, lentos ac viscosos & atros hu- C mores educit. Prodest ijs quos longæ diuturnæq; tenent febres, suspiriosis, arthriticis, inflationéque stomachi laborantibus.

Hanc periodũ prætermisit Ruellius.

De Ouo. Cap. LIIII.

OVVM molliculũ plus alit quàm sorbile, itemq; durũ plus quàm molle. Est ipsius luteum contra dolores oculorum vtile, tostum cũ ro- D saceo & croco. Sedis autẽ inflãmationibus & condylomatis prodest, addito meliloto. Cum rhoïs semine aut galla frixum in sartagine & in cibo sumptum, aut etiam per se exhibitum, aluum sistit.

De Oui cãdido seu albumine. C. LV.

E Crudum oui candidum refrigerat, cutis spiramenta occludit, & oculis infusum eorum inflammationes lenit: ambustis confestim illitũ, quominus erumpant pustulæ prohibet: faciem à Solis adustione tuetur: cum thure anacollematis vice fronti inductũ, fluxiones arcet cõ- F pescitque: oculorum inflammationes lana exceptum, additis rosaceo melle ac vino, mitigat. Quòd si crudũ sorbeatur, contra hęmorrhoidis serpentis morsus auxiliatur: exiguo verò calore tepens prodest contra vesicę rosiones, renũ exulcerationẽ asperæ arteriæ scabritias, sanguinis reiectiones, destillationes ac thoracis rheumatismos. G

De Cicadis. Cap. LVI.

CICADÆ si assatæ edantur, doloribus vesicæ succurrunt.

Pl. tosta in patella

De Locustis. Cap. LVII.

Locustæ suffitu difficultates vrinę adiuuant, pręsertim quę fœminas malè habent: est autem earū caro inutilis. At quæ locusta asiracos aut onos dicitur, sine pēnis est, grandioribus membris dum recens est. Hęc assiccata si ex vino bibatur, contra scorpionis ictus magnoperè confert. Cęterùm hac eadem abundè vescuntur Afri, qui Leptin incolunt.

De Oßifrago. Cap. LVIII.

Ventriculus eius auis, quem Latini ossifragum appellāt, paulatim potui datus, calculos fertur per vrinam expellere.

De Galerita. Cap. LIX.

Galerita auicula est parua, apicem in vertice pauonis modo gestans. Hæc assa & in cibo sumpta colicos adiuuat.

De Hirundine. Cap. LX.

Hirundinis pullos qui primo partu exclusi fuerint si crescente Luna dissecueris, in eorum ventre lapillos inuenies: è quibus duos, vnum quidem colore varium, alterum verò purum & vnicolorem accipies. His priusquā terrā attigerint iuuencæ corio aut ceruina pelle inclusis & brachio aut collo ad alligatis comitiales recreabis: plerunque etiā penitus sanitati restitues. Ipsę verò hirundines in cibo sumptę, velut & ficedulæ, acię oculorū exacuunt. Tam pullorum quàm matrū in olla fictili combustarum cinis cum melle oblitus, oculis claritatē affert: confert & perunctus, angina laborantibus: itémque prodest ad vuæ ac tonsillarum inflāmationes. Cæterùm & ipsę & pulli si exiccentur & drachmæ vnius pondere ex aqua bibantur, his succurrunt qui angina conflictantur.

De Ebore. Cap. LXI.

Elephantini dentis ramentū, vnguium reduuias curat impositum. Vim porrò astringēdi obtinet.

De Talo suillo. Cap. LXII.

Suis talus combustus dum è nigro albescat, túmque tritus ac potus, inflationibus coli ac diuturnis torminibus medetur.

A Περὶ Ἀκρίδων. Κεφ. νζ'.

Ἀκρίδες ὑποθυμιώμεναι, δυσουρίας μάλιστα ταῖς ἐπὶ γυναικῶν ὠφελοῦσι· τὴν δὲ σάρκα ἀχρεῖαν ἔχουσιν. ἡ δὲ λεγομένη ἀκρὶς ἀσίρακος ἢ ὄνος, ἄπτερός ἐστι καὶ μεγαλόκωλος, πρόσφατος· ξηρανθεῖσα δὲ σφόδρα σκορπιοδήκτοις ὠφελεῖ πινομένη σὺν οἴνῳ. B χρῶνται δὲ αὐτῇ καταχόρως οἱ κατὰ Λέπτιν Λίβυες.

Hac periodo carent vulgati codices. Aldinus in notha retulit: quam tamē & Ruellius & Marcellus expresserunt. Ald. μεγαλοχέλος. V. [illegible] Forte σαρκοπλάστους.

Περὶ Φίνιδος. Κεφ. νη'.

Φῖνις τὸ ὄρνεον, ὃ Ῥωμαῖοι καλοῦσιν ὀσσίφραγον. τούτου ἡ κοιλία κατ' ὀλίγον ποτιζομένη, λίθους ἐξουρεῖσθαι ποιεῖν ἱστορεῖται.

V. Perperam ἀσυμφέρουσι.

Περὶ Κορυδαλλοῦ. Κεφ. νθ'.

C Κορυδαλλὸς ὀρνίθιόν ἐστι μικρὸν, ἔχον κατὰ τῆς κορυφῆς ὑπεροχὴν ὥσπερ ταὼς. οὗτος βρωθεὶς ὀπτὸς, κωλικοὺς ὠφελεῖ.

Vulg. ex. κωλικοὺς: addit verò V. καὶ [illegible]

Περὶ Χελιδόνος. Κεφ. ξ'.

Χελιδόνος νεοσσοὺς τοὺς ἐκ τῆς πρώτης νεοσσοποιίας, αὐξομένης τῆς D σελήνης ἀνατεμὼν, εὑρήσεις ἐν τῇ γαστρὶ λίθους, ἐξ ὧν δύο λαβὼν, ἕνα ποικίλον, καὶ τὸν ἕτερον καθαρὸν, πρὸ τοῦ ἐπιψαῦσαι τῆς γῆς ἐνδύσας εἰς δέρμα δαμάλεως ἢ ἐλάφου, καὶ περιάψας βραχίονι ἢ τραχήλῳ, ἐπιληπτικοὺς ὠφελήσεις. πολλάκις δὲ καὶ παντελῶς ἀποκαταστήσεις. βι- E βρωσκόμεναι δὲ ὥσπερ αἱ συκαλίδες, ὀξυωπίας εἰσὶ φάρμακον. καὶ ἡ ἀπ' αὐτῶν δὲ τέφρα, καὶ ἡ τῶν μητέρων καυθεισῶν ἐν χύτρᾳ μετὰ μέλιτος χρισθεῖσα, ὀξυδορκίαν ποιεῖ. ἁρμόζει δὲ καὶ συναγχικοῖς διαχριομένη, καὶ πρὸς σταφυλῆς καὶ παρισθμίων φλεγμονάς. σκελετευθεῖσαι δὲ αὗται καὶ F οἱ νεοσσοὶ, συναγχικοὺς ὠφελοῦσι πινόμεναι μεθ' ὕδατος πλῆθος < α'.

Περὶ Ἐλέφαντος. Κεφ. ξα'.

Ἐλέφαντος ὀδόντος ῥίνισμα, παρωνυχίας καταπλασθὲν θεραπεύει. Δύναμιν δὲ ἔχει στυπτικήν.

V. add. σὺν τῷ μαλακῷ ξηραν-τον.

Περὶ Ἀστραγάλου ὑός. Κεφ. ξβ'.

G Ἀστράγαλος ὑὸς καεὶς μέχρις οὗ ἐκ μέλανος γένηται λευκὸς, καὶ λεῖος τριβεὶς, ἐμπνευματώσεις κόλου καὶ στρόφους χρονίους ἰᾶται.

ἐν ταῖς ἑψήσεσι ξηρανθὲν, ἁρμόζει στομαχικοῖς, λεῖον μετ' οἴνου πινόμενον. ὁ δὲ ζωμὸς τοῦ νοσσακίου, μάλιστα δίδοται *ἐπικράσεως χάριν φαυλοτήτων καὶ ἐπὶ τῆς στομάχου πυρουμένων λιτῶς σκευασθείς. Ὁ δὲ τῶν παλαιῶν ἀλεκτρυόνων, δίδοται πρὸς κάθαρσιν κοιλίας. ἐξελόντας δὲ τὰ ἐντὸς, δεῖ ἀντεμβάλλειν ἅλας, καὶ καταρράψαντας ἕψειν μετὰ ὕδατος ξεστῶν κ'. καὶ ἕψοντας εἰς κοτύλας γ'. δίδοται δὲ πλὴν ἐξαιθριασθέν. ἔνιοι δὲ συνέψουσι κράμβην θαλασσίαν, ἢ λινόζωστιν, ἢ κνῆκον, ἢ πολυπόδιον. ἄγει δὲ πάχος ὠμὸν, γλισχρῶδες, μέλαν· ἁρμόζει δὲ πυρετοῖς χρονίοις, ἄσθμασιν, ἀρθριτικοῖς, ἐμπνευματουμένοις στομάχοις.

Com. ex Gal. & Pau[illegible]

Coro. legit ἕ[illegible]

Vide inter Dios. noth. quæ huius capitis calci adiiciuntur.

Περὶ Ὠοῦ. Κεφ. νδ'.

ὨΟΝ τὸ ἁπαλὸν, τροφιμώτερον τοῦ ῥοφητοῦ, καὶ τοῦ ἁπαλοῦ τὸ σκληρόν. ἡ λέκυθος αὐτοῦ χρησίμη πρὸς ὀφθαλμῶν περιωδυνίας, ὀπτηθεῖσα σὺν κρόκῳ καὶ ῥοδίνῳ· πρός τε τὰς περὶ δακτύλιον φλεγμονὰς καὶ κονδυλώματα, σὺν μελιλώτῳ. μετὰ ῥοὸς δὲ ἢ κηκίδος τηγανισθεῖσα, καὶ βρωθεῖσα, ἵστησι κοιλίαν, καὶ καθ' ἑαυτὴν δὲ προσενεχθεῖσα.

Flor. caret, sed vsus sic verum docet.

Forte προσενεχθεῖσα

Περὶ Λευκοῦ τοῦ ὠοῦ. Κεφ. νε'.

Τὸ δὲ λευκὸν αὐτοῦ ὠμὸν ὂν ψύχει, ἐμπλάττει, παρηγορεῖ ἐγχυματισθὲν ἐπ' ὀφθαλμῶν φλεγμαινόντων. κατακαύματά τε οὐκ ἐᾷ φλυκταινοῦσθαι παραχρῆμα ἐπιχρισθέν· πρόσωπά τε ἀνεπικαύστα τηρεῖ, ἀνακόλλημα δέ ἐστι ῥευματιζομένων σὺν λιβανωτῷ κατὰ τοῦ μετώπου τιθέμενον· φλεγμονάς τε ὀφθαλμῶν πραΰνει ἐρίῳ ἀναληφθὲν μιγέντος αὐτῷ ῥοδίνου καὶ οἴνου καὶ μέλιτος· ὠμὸν δὲ ῥοφηθὲν, αἱμορροΐδος δήγμασι βοηθεῖ. ἀκροχλιαρὸν δὲ πρὸς κύστεως δηγμοὺς καὶ ἑλκώσεις νεφρῶν καὶ τραχυσμοὺς τραχείας ἀρτηρίας, καὶ αἵματος ἀναγωγὰς καὶ καταρρόους καὶ θώρακος ῥευματισμοὺς ἁρμόζει.

Hoc caput in vetustis libris cum superiore coniunctũ est. Goup.

V. [illegible], aliter [illegible].

V. [illegible].

Περὶ Τεττίγων. Κεφ. νς'.

ΤΕΤΤΙΓΕΣ ὀπτοὶ ἐσθιόμενοι, τοῖς περὶ τὴν κύστιν ἀλγήμασι βοηθοῦσιν.

A quendum excoriari solet, arefacta tritáque & in vino pota stomachicis confert. *Ius autem pulli simpliciter paratum potissimè datur ad tẽperandos prauos vitiosósque humores, & ijs quibus ęstuat os ventriculi. At ius è vetere gallinaceo datur ad aluum deiiciendã. Exemptis porrò interaneis in eorum locũ sal B immittendus est, demúmque consuto vẽtre gallinaceus in aquæ sextarijs xx. discoquẽdus, dum tres heminæ supersint. Totum verò id sub dio refrigeratum exhibetur. Sunt qui marinam brassicam, mercurialem, cnicum aut filiculam simul incoquant. Cæterùm crudos crassósque, lentos ac viscosos & atros hu- C mores educit. Prodest ijs quos longæ diuturnæq; tenent febres, suspiriosis, arthriticis, inflationéque stomachi laborantibus.

Hanc periodũ prætermisit Ruellius.

De Ouo. Cap. LIIII.

OVVM molliculũ plus alit quàm sorbile, itemq; durũ plus quam molle. Est ipsius luteum contra do- D lores oculorum vtile, tostum cũ rosaceo & croco. Sedis autẽ inflãmationibus & condylomatis prodest, addito meliloto. Cum rhoïs semine aut galla frixum in sartagine & in cibo sumptum, aut etiam per se exhibitum, aluum sistit.

De Oui cãdido seu albumine. C. LV.

E Crudum oui candidum refrigerat, cutis spiramenta occludit, & oculis infusum eorum inflammationes lenit: ambustis confestim illitũ, quominus erumpant pustulæ prohibet: faciem à Solis adustione tuetur: cum thure anacollematis vice fronti inductũ, fluxiones arcet cõ- F pescitque: oculorum inflammationes lana exceptum, additis rosaceo melle ac vino, mitigat. Quòd si crudũ sorbeatur, contra hęmorrhoidis serpentis morsus auxiliatur: exiguo verò calore tepens prodest contra vesicę rosiones, renũ exulcerationẽ asperæ arteriæ scabritias, sanguinis reiectiones, destillationes ac thora- G cis rheumatismos.

De Cicadis. Cap. LVI.

CICADÆ si assatæ edantur, doloribus vesicæ succurrunt.

Pl. tosta in pr[illegible]

De Locustis. Cap. LVII.

LOCVSTÆ suffitu difficultates vrinę adiuuant, prę sertim quę fœminas malè habent: est autem earũ caro inutilis. At quæ locusta asiracos aut onos dicitur, sine pénis est, grandioribus membris dum recens est. Hęc assiccata si ex vino bibatur, contra scorpionis ictus magnoperè confert. Cęterùm hac eadem abundè vescuntur Afri, qui Leptin incolunt.

De Oßifrago. Cap. LVIII.

VENTRICVLVS eius auis, quem Latini ossifragum appellát, paulatim potui datus, calculos fertur per vrinam expellere.

De Galerita. Cap. LIX.

GALERITA auicula est parua, apicem in vertice pauonis modo gestans. Hæc assa & in cibo sumptą colicos adiuuat.

De Hirundine. Cap. LX.

HIRVNDINIS pullos qui primo partu exclusi fuerint si crescente Luna dissecueris, in eorum ventre lapillos inuenies: è quibus duos, vnum quidem colore varium, alterum verò purum & vnicolorem accipies. His priusquã terrã attigerint iuuencæ corio aut ceruina pelle inclusis & brachio aut collo ad alligatis comitiales recreabis: plerunque etiã penitus sanitati restitues. Ipsę verò hirundines in cibo sumptę, velut & ficedulæ, aciẽ oculorũ exacuunt. Tam pullorum quàm matrũ in olla fictili combustarum cinis cum melle oblitus, oculis claritatẽ affert: confert & perunctus, angina laborantibus: itémque prodest ad vuæ ac tonsillarum inflãmationes. Cæterùm & ipsę & pulli si exiccentur & drachmæ vnius pondere ex aqua bibantur, his succurrunt qui angina conflictantur.

De Ebore. Cap. LXI.

ELEPHANTINI dentis ramentũ, vnguium reduuias curat impositum. Vim porrò astringẽdi obtinet.

De Talo suillo. Cap. LXII.

SVIS talus combustus dum è nigro albescat, túmque tritus ac potus, inflationibus coli ac diuturnis torminibus medetur.

A Περὶ Ἀκρίδων. Κεφ. νζ'.

ΑΚΡΙΔΕΣ ὑποθυμιώμεναι, δυσουρίας μάλιστα ταῖς ἐπὶ γυναικῶν ὠφελοῦσι· πλὴν δὲ σάρκα ἄχρηστον ἔχουσιν. ἡ δὲ λεγομένη ἀκρὶς ἀσίρακος ἢ ὄνος, ἄπτερός ἐστι καὶ μεγαλόκωλος, πρόσφατος· ξηρανθεῖσα δὲ σφόδρα σκορπιοδήκτοις ὠφελεῖ πινομένη σὺν οἴνῳ. χρῶνται δὲ αὐτῇ καταπληκτικῶς οἱ κατὰ Λέπτιν Λίβυες. B

Περὶ Φήνης. Κεφ. νη'.

ΦΗΝΗΣ τοῦ ὀρνέου, ὃ Ῥωμαϊστὶ καλοῦσιν ὀσσίφραγον. τούτου ἡ κοιλία κατ᾽ ὀλίγον ποτιζομένη, λίθους ἐξουρεῖσθαι ποιεῖν ἱστορεῖται.

Περὶ Κορυδαλλοῦ. Κεφ. νθ'.

C ΚΟΡΥΔΑΛΛΟΣ ὀρνίθιόν ἐστι μικρὸν, ἔχον κατὰ τῆς κορυφῆς ὑπεροχὴν ὥσπερ ταὼς. οὗτος βρωθεὶς ὀπτὸς, κωλικοῖς ὠφελεῖ.

Περὶ Χελιδόνος. Κεφ. ξ'.

ΧΕΛΙΔΟΝΟΣ νεοσσοὺς, τοὺς ἐκ τῆς πρώτης νεοσσοποιΐας, αὐξομένης τῆς D σελήνης ἀνατεμὼν, εὑρήσεις ἐν τῇ γαστρὶ λίθους, ἐξ ὧν δύο λαβὼν, ἕνα ποικίλον, καὶ τὸν ἕτερον καθαρὸν, πρὸ τοῦ ἐπιψαῦσαι τῆς γῆς ἐνδύσας εἰς δέρμα δαμάλεως ἢ ἐλάφου, καὶ περιάψας βραχίονι ἢ τραχήλῳ, ἐπιληπτικοὺς ὠφελήσεις. πολλάκις δὲ καὶ παντελῶς ἀποκαταστήσεις. βιβρωσκόμεναι δὲ ὥσπερ αἱ συκαλίδες, ὀξυωπίας εἰσὶ φάρμακον. καὶ ἡ ἀπ᾽ αὐτῶν δὲ τέφρα, καὶ ἡ τῶν μητέρων καυθεισῶν ἐν χύτρᾳ μετὰ μέλιτος χρισθεῖσα, ὀξυδορκίαν ποιεῖ. ἁρμόζει δὲ καὶ συναγχικοῖς διαχριομένη, καὶ πρὸς σταφυλῆς καὶ παρισθμίων φλεγμονάς. σκελετευθεῖσαι δὲ αὗται καὶ οἱ νεοσσοὶ, συναγχικοὺς ὠφελοῦσι πινόμεναι μεθ᾽ ὕδατος πλῆθος < α'. F

Περὶ Ἐλέφαντος. Κεφ. ξα'.

ΕΛΕΦΑΝΤΟΣ ὀδόντος ῥίνισμα, παρωνυχίας καταπλασθὲν θεραπεύει. Δύναμιν δὲ ἔχει στυπτικήν.

Περὶ Ἀστραγάλου ὑός. Κεφ. ξβ'.

G ΑΣΤΡΑΓΑΛΟΣ ὑὸς καεὶς μέχρις ἂν ἐκ μέλανος γένηται λευκὸς, καὶ λεῖος ποθεὶς, ἐμπνευματώσεις κόλου καὶ στρόφους χρονίους ἰᾶται.

Hac periodo carent vulgati codices. Aldinus in notha retulit: quam tamẽ & Ruellius & Marcellus expresserunt.

Ald. ῥιζοχέοντα. V. ῥιζοχέοντα. Forte σκορπιοπλήκτους.

V. Perperam ὀσυφράγου.

Vulg. ex. κωλικοῖς: addit verò V. καὶ ἐπιληπτικοῖς.

V. add. σὺν τοῖς κωλικοῖς ξηρανθεῖσι.

Περὶ Ἐλάφου κέρατος. Κεφ. ξγ'.

A ΕΛΑΦΟΥ κέρας κεκαυμένον καὶ πεπλυμένον, ἁρμόζει πινόμενον πλῆθος δυοῖν κοχλιαρίων αἱμοπτοϊκοῖς, δυσεντερικοῖς, κοιλιακοῖς, ἰκτερικοῖς, κύστεως ἀλγήμασι μετὰ τραγακάνθης, ῥοικαῖς δὲ γυναιξὶ μετὰ ὑγροῦ τοῦ πρὸς τὸ πάθος ἁρμόζοντος. καίεται δὲ ἐν καμίνῳ καταβληθὲν καὶ κοπὲν εἰς ὠμὴν χύτραν περιπεπλασμένην πηλῷ, ἄχρις ἂν λευκὸν γένηται. πλύνεται δὲ ὡς καδμία. τὸ δὲ τοιοῦτον ἁρμόζει πρὸς τὰ ἐν ὀφθαλμοῖς ἕλκη καὶ ῥεύματα· καὶ ὀδόντας παρατριβόμενον σμήχει. ὠμὸν δὲ θυμιαθὲν, ἑρπετὰ διώκει. ἀποζεσθὲν δὲ μετ' ὄξους καὶ διακλυζόμενον, παρηγορεῖ γομφιάσεις.

V. add. [illegible]

V. add. [illegible]

Περὶ Καμπῶν. Κεφ. ξδ'.

ΚΑΜΠΑΙ αἱ ἐπὶ τῶν λαχάνων γινόμεναι, περιχριόμεναι σὺν ἐλαίῳ, ἀδήκτους ἀπὸ τῶν ἰοβόλων φυλάττειν λέγονται.

Ald. [illegible]

Περὶ Κανθαρίδων. Κεφ. ξε'.

D ΚΑΝΘΑΡΙΔΕΣ εἰς ἀπόθεσιν εὔθετοι αἱ ἀπὸ τοῦ σίτου. ἃς βαλὼν εἰς ἀκόνιτον ἀγγεῖον, καὶ τὸ στόμα περιδήσας ὀθονίῳ ἀραιῷ, καθαρῷ, περικατάστρεφον ἀτμῷ ζέοντος ὄξους δριμυτάτου, καὶ ἕως ἂν πνιγῶσι κράτει· εἶτα διαπείρας λίνῳ, ἀποτίθεσο. ἐνεργέσταται δέ εἰσιν αἱ ποικίλαι, καὶ μηλίνας ἐπικαρσίους ζώνας ἔχουσαι [ἐν ταῖς πτέρυξιν] ἐπιμήκεις τὸ σῶμα, ἁδραὶ, ἐμπιμελεῖς, ὡς αἱ σίλφαι. ἄτονοι δέ εἰσιν αἱ μονόχρωμοι.

V. ἐνεργέσταται

V. hæc omittit.

Περὶ Βουπρήστου. Κεφ. ξϛ'.

Ωσαύτως δὲ ἀποτίθενται καὶ αἱ βουπρήστεις, εἶδος οὖσαι κανθαρίδων, καὶ αἱ πιτυοκάμπαι. καὶ αὗται δὲ ἐπὶ κοσκίνου ἐπαιωρουμένου, θερμοσποδιᾷ φωγνύμεναι ἐπὶ βραχὺ, ἀποτίθενται. δύναμις δὲ αὐτῶν κοινὴ, σηπτικὴ, ἑλκωτικὴ, θερμαντικὴ, ὅθεν μίγνυνται φαρμάκοις τοῖς τὰ καρκινώδη καὶ λέπρας καὶ λειχῆνας ἀγρίους θεραπεύουσιν. ἄγουσι δὲ καὶ ἔμμηνα, πεσσοῖς μαλακτικοῖς μιγεῖσαι. ἔνιοι δὲ ἱστόρησαν τὰς κανθαρίδας καὶ ὑδρωπικοῖς βοηθεῖν, μιγνυμένας ἀντιδότοις, ὡς οὔρησιν

V. non legit

Ald. addit [illegible] V. [illegible]

De Cornu ceruino. Cap. LXIII.

A CORNU cerui vstum ac lotum si binûm cochlearium mensura bibatur, confert sanguinem excreantibus, dysentericis, cœliacis, regio morbo, & vesicę doloribus cũ tragacantha: fœminis item fluxione vulux laborantibus, cum liquore ei affectui accõmodato. Porrò tusum B & crudo fictili luto circumlito inditum vritur in fornace donec albescat, ac deinde cadmiæ modo eluitur. Tale verò oculorum vlceribus atque fluxionibus salutare est: affrictum quoque dentes expurgat. Cæterùm crudum si accendatur, odore serpentes fugat. In aceto verò feruefactum si ore colluatur, interiorũ C dentium dolores mitigat.

De Erucis. Cap. LXIIII.

ERVCÆ quę in oleribus gignuntur, à venenatarũ bestiarũ morsibus eos ferũtur tutos præstare qui ipsis ex oleo peruncti fuerint.

De Cantharidibus. Cap. LXV.

D CANTHARIDES quæ in frumentis leguntur, ad recondendum idoneæ sunt. Eas in vas nõ picatum immittito, ac ipsius osculũ raro puróque linteo obligatũ circumuertito ad vaporẽ feruentis aceti quàm acerrimi, tandiúque inuersum fictile contineto, donec illæ suffocẽtur: tandẽ lino transfixas reponito. Por- E rò efficacissimæ sunt quæ variæ visuntur, luteásque habent in pennis transuersas lineas, quæque oblongo sunt corpore, crassæ, & blattarũ modo præpingues. Sed inefficaces & imbecillæ, quæ vnius sunt coloris.

De Bupresti. Cap. LXVI.

Simili modo reponũtur & buprestes, quę sunt è cantharidum gene- F re, itémque pinorum erucæ. Sed & hæ supra cribrum suspensum feruenti cinere paulisper intostæ reconduntur. Vis ipsarum communis septica, exulceratoria, & excalfactoria: qua de causa medicamentis admiscentur, quibus carcinomata, lepræ & impetigines feræ curantur. G Menses quoque cient, pessis emollientibus additæ. Porrò nonnulli cantharidas antidotis admistas etiam hydropicis auxiliari prodiderunt, quippe quæ vrinas mo-

moueant. Alij ipsarum alas ac pedes ijs qui illas hauserint pro antidoto esse tradiderunt.

De Salamandra. Cap. LXVII.

SALAMANDRA lacertæ genus est, iners, variũ, quódque frustra creditum est ignibus non vri. Vim habet septicam, exulcerantem, ac denique calfactoriam. Additur in medicamenta septica lepras abolentia, quemadmodum & cantharis: ac simili quoque modo reponitur. Vsta verò, pilos cum oleo abolet. Cæterùm exenterata, detractis pedibus & capite, in melle seruatur ad eundem vsum.

De Araneo. Cap. LXVIII.

ARANEVS, quem holcum aut lycon, id est, raptorem aut lupum alij nominant, cum emplastro subactus & linteolo inductus, ac fronti aut temporibus impositus, tertianos circuitus persanat. Tela eius apposita sanguinem sistit, & vlcera quæ summam cutem occuparunt ab inflammationis iniuria vindicat. Est & alterũ aranei genus, quod candidam, tenuem, densámque telam orditur. Hoc aluta inuolutum, & de lacerto suspensum, quartanis circuitibus mederi narratur. Decoctum autem ex rosaceo & infusum, aurium doloribus auxiliatur.

De Lacerta. Cap. LXIX.

LACERTÆ caput tritum & impositum, aculeos & omnia corpori infixa extrahit. Sed & formicantes verrucas & pensiles, quas acrochordonas vocant, clauósque tollit. Iecur ipsius dentium cauernis inditũ, dolores eximit. Tota verò dissecta & imposita, ictos à scorpione leuat.

De Sepe. Cap. LXX.

SEPS, quam nõnulli lacertã Chalcidicam vocãt, ex vino pota, quos momorderit ijs medetur.

De Scinco. Cap. LXXI.

SCINCVS quidam in Ægypto, alius in India, alius ad mare Rubrũ gignitur. Est & alius qui apud Libyam Mauritaniæ fluuium reperitur. Est verò crocodilus terrestris sui generis, qui addito nasturtio sa-

A κινούσας. ἔνιοι δὲ τὰ πτερὰ αὐτῶν καὶ τοὺς πόδας τοῖς πιοῦσιν αὐτὰς ἀντιφάρμακον ἀνέγραψαν.

Περὶ Σαλαμάνδρας. Κεφ. ξζʹ.

ΣΑΛΑΜΑΝΔΡΑ εἶδός ἐστι σαύρας· ἔστι δὲ νωχελές, ποικίλον, μάτην πιστευθὲν μὴ καίεσθαι. Δύναμιν δὲ ἔχει σηπτικήν, B ἑλκωτικήν, θερμαντικήν. μίγνυται δὲ σηπτοῖς καὶ λεπρικοῖς ὡς αἱ κανθαρίδες, καὶ ἀποτίθεται ὁμοίως. ψιλοῖ δὲ καὶ τρίχας *τακεῖσα μετ' ἐλαίου. φυλάσσεται δὲ καὶ ἐν μέλιτι ἐξεντερισθεῖσα, τῶν ποδῶν καὶ τῆς κεφαλῆς ἀφαιρεθέντων, εἰς τὴν αὐτὴν χρῆσιν.

V. ἣν ἔνιοι σαῦρον

Orib. add. καὶ ἐν καυστικαῖς δυνάμεσι

C Περὶ Ἀράχνης. Κεφ. ξηʹ.

ΑΡΑΧΝΗ τὸ ζῷον, ὃ ὁλκὸν ἔνιοι ἢ *λύκον καλοῦσι, συμμαλαχθεῖσα ἐμπλάστρῳ, καὶ ἐμπλασθεῖσα εἰς ὀθόνιον, προστεθεῖσα μετώπῳ ἢ κροτάφοις, τριταϊκὰς περιόδους ὑγιάζει. τὸ δὲ ὕφος αὐτῆς ἐπιτιθέμενον αἷμα ἵστησι, καὶ ἀφλέγμαντα τηρεῖ D τὰ ἐπιπόλαια τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἕτερον εἶδος ἀράχνης, κατασκευάζον τὸν ὑμένα λευκόν, λεπτὸν καὶ πυκνόν· ὃ ἱστορεῖται ἐνδεόμενον εἰς κυτίδα, καὶ περιαπτόμενον βραχίονι, τεταρταϊκὰς περιόδους θεραπεύειν. συνεψηθὲν δὲ ῥοδίνῳ, ὠταλγίαις βοηθεῖ ἐγχεόμενον.

V. non habet

E Περὶ Σαύρας. Κεφ. ξθʹ.

ΣΑΥΡΑΣ ἡ κεφαλὴ λεία ἐπιτεθεῖσα, σκόλοπας ἐξάγει καὶ πάντα τὰ ἐμπεπηγότα. αἴρει δὲ καὶ μυρμηκίας, καὶ ἀκροχορδόνας, καὶ ἥλους. τὸ δὲ ἧπαρ αὐτῆς ἐντεθὲν τοῖς τῶν ὀδόντων βρώμασιν, ἀπονίαν ποιεῖ. ὅλη δὲ ἀνασχισθεῖσα, καὶ ἐπιτεθεῖσα, σκορπιοπλήκτους κουφίζει. F

Περὶ Σηπός. Κεφ. οʹ.

ΣΗΨ, ἣν ἔνιοι σαύραν καλοῦσι Χαλκιδικήν, ἐν οἴνῳ ποθεῖσα, τοὺς ὑπ' αὐτῆς δηχθέντας ἰᾶται.

Lacuna reperit in vetustiss. codice, ταύτης ἡ κεφαλὴ λεία

Περὶ Σκίγκου. Κεφ. οαʹ.

ΣΚΙΓΚΟΣ ὁ μέν τίς ἐστιν Αἰγύπτιος, G ὁ δὲ Ἰνδικός, ἄλλος ἐν τῇ Ἐρυθρᾷ γεννώμενος· ἕτερος δὲ ἐν τῇ Λιβύῃ τῆς Μαυρουσιάδος εὑρίσκεται. ἔστι δὲ κροκόδειλος χερσαῖος, ἰδιογενής, περιχεόμενος ἐν

Vulg. Ἀνδίᾳ

*καρδάμῳ. φασὶ δὲ δύναμιν ἔχειν ποθὲν τὸ περὶ τοὺς νεφροὺς αὐτοῦ μέρος, ὅσον < πλῆθος μετ᾽ οἴνου, ὁρμητικὴν περὶ τὰ ἀφροδίσια· ἀποπαύεσθαι δὲ τὴν ἐπὶ ταύτῃ τῆς προθυμίας, φακοῦ ἀφεψήματι μετὰ μέλιτος πινομένου, ἢ θρίδακος σπέρματι μεθ᾽ ὕδατος. μίγνυται δὲ καὶ ἀντιδότοις.

Περὶ τῶν τῆς γῆς ἐντέρων. Κεφ. οβ'.

ΓΗΣ ἔντερα λεῖα ἐπιτιθέντα, νεύρων ἀποκοπὰς κολλᾷ, λύει δὲ καὶ τριταίους· ἑψηθέντα δὲ σὺν χηνείῳ στέατι, διὰ θέσεως ὤτων ἐγχυματιζόμενα θεραπεύει· συνεψηθέντα δὲ ἐλαίῳ καὶ ἐγχεόμενα εἰς τὸ ἀντικείμενον οὖς, ὀδονταλγίαις βοηθεῖ· ἄγει δὲ καὶ οὖρα λεῖα πινόμενα σὺν γλυκεῖ.

Lacuna legit in vetustiss. codice, σὺν ὕδατι καὶ χηνείῳ στέατι

Περὶ Μυγάλης. Κεφ. ογ'.

ΜΥΓΑΛΗ ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, ἄκος ἐστὶ τοῦ ἰδίου δήγματος.

Περὶ Μυῶν. Κεφ. οδ'.

ΜΥΑΣ τοὺς κατοικιδίους ἀνασχισθέντας σκορπιοπλήκτοις ὠφελίμως ἐπιτίθεσθαι ὁμολογεῖται· βρωθέντας δὲ ὀπτοὺς ὑπὸ παίδων, ἀναξηραίνειν τὸ ἐν τοῖς στόμασιν αὐτῶν σίελον.

Περὶ Γάλακτος. Κεφ. οε'.

ΓΑΛΑ κοινῶς μὲν πᾶν, εὔχυμον, τρόφιμον, μαλακτικὸν κοιλίας, *φυσητικὸν στομάχου καὶ ἐντέρων· ὑδαρέστερον μέν τοι τὸ ἐαρινὸν τοῦ θερινοῦ, καὶ τὸ ἀπὸ χλωρᾶς νομῆς μᾶλλόν ἐστι μαλακτικὸν κοιλίας. ἔστι δὲ καλὸν γάλα, τὸ λευκὸν καὶ ὁμαλὸν τῇ παχύτητι, καὶ συστρεφόμενον, ἐπειδὰν ἐπισταγῇ ὄνυχι. τὸ δὲ αἴγειον ἧττον κοιλίας ἅπτεται, διὰ τὸ τὰς αἶγας τὸ πλέον στυφούσῃ νομῇ χρῆσθαι, δρυῒ καὶ σχίνῳ, καὶ θαλλίᾳ, καὶ τερμίνθῳ· ὅθεν καὶ εὐστόμαχον τυγχάνει. τὸ δὲ προβάτειόν ἐστι *παχύ τε καὶ γλυκὺ καὶ *πολὺ λιπαρόν, οὐχ οὕτω δὲ εὐστόμαχον. τὸ μέν τοι βόειον καὶ ὄνειον καὶ ἵππειον, εὐκοιλιώτερα *καὶ ταρακτικά. πᾶν δὲ γάλα κοιλίας καὶ στομάχου ἀνατρεπτικόν, ὅπου ἐστὶ νομὴ σκαμμωνία, ἢ ἐλλέβορος, ἢ λινόζωσις, ἢ κληματίς. ὡς καὶ ἐν τοῖς *Ἰουστίνοις ὄρεσιν ὑφ᾽ ἡμῶν ἱστόρηται· αἱ γὰρ αἶγες νεμόμεναι τοῦ λευκοῦ ἐλλεβόρου τὰ φύλλα,

In manuscripto codice legit Matthiolus φυσητικόν.

Codex quidam antiquus παχύ sed nullo sensu. Goup.

V πολὺ omittit.

Aldinus, γίνεται pro καὶ ταρακτικά.

Fortè οὐεστίνοις, vt & antea lib. 1. cap. 9.

le conditur. Aiunt porrò partem eã quæ renes amplectitur, drachmæ pondere in vino potam, venerem accendendi vim habere: attamen lentis decocto cum melle, aut semine lactucæ cũ aqua poto intensam illam veneris cupiditatẽ inhiberi. In antidota quoque additur.

De Terrenis vermibus. C. LXXII.

TERRENI vermes triti & impositi, præcisos neruos glutinant, ac tertianas quoque soluunt. Decocti verò cũ anserino adipe & instillati, affectis auribus medentur. In oleo autem decocti si oppositæ auriculæ infundantur, dentiũ doloribus pręstant auxilium. Triti quoque & cũ passo epoti vrinas ciunt.

De Mure araneo. Cap. LXXIII.

MVs araneus dissectus & impositus contra suos morsus remedio est.

De Muribus. Cap. LXXIIII.

MVRES domesticos dissectos scorpionum ictibus vtiliter imponi est in confesso: si verò inassati à pueris in cibo sumantur, ipsorum oris saliuam exiccare.

De Lacte. Cap. LXXV.

LAC generatim omne boni succi est, corpus alit, ventrem mollit, stomachum & intestina inflatione vexat: vernum tamen aquatius ęstiuo, & quod è viridi pascuo est, aluum magis emollit. Probatur candidũ & æquali crassitudine, quódque vngui instillatum * conglobatur. Aluum minùs tentat caprinum, quoniam capræ astringenti pabulo magna ex parte vescuntur, quercu, lentisco, frondibus oleaginis, & terebintho: quam ob causam stomacho etiam euadit accommodatum. Ouillum autem crassum est, dulce ac præpingue: sed non vsque adeò stomacho vtile. At bubulum, asininum, & equinum, aluum magis soluunt, ipsámque turbant. Quibus verò in locis scammonium, veratrũ, mercurialis & clematis sunt pro pabulo, lac omne ventrẽ, stomachũq; subuertit: quale in Vestinis montibus à nobis obseruatum est. Siquidem capræ veratri albi folia, cũ pri-

* hæret aut destillat Pl.

mùm erumpunt depascentes & ipsæ euomunt, & lac quoque reddũt euertendi stomachi vim habẽs atque nauseosum. Porro decoctum lac omne,& id quidem maxime à quo silicum ignitorum vi portio tenuior exhausta est, ventrem astringit ac omnibus in vniuersum internis exulcerationib⁹ auxiliatur, præsertim verò gutturis, pulmonis, intestinorum,renum,ac vesicæ. Quin & contra summæ cutis pruritus,papularum eruptiones & vitiatos corporis succos recens exhibetur cum melle crudo, addito sale & exigua aqua dilutum. Minùs verò inflat quodcunque semel feruefactũ est. Cæterum decoctum cum calculis ad dimidias alui fluxiones vlceratione comitatas adiuuat.

De Sero lactis.Cap. LXXVI.

Lac quodcunque implicitũ habet sibi serum,quod quidem à lacte diuisum redditur ad purgationem efficacius. Exhibetur porrò quibus citra acrimoniam deiectionẽ moliri volumus, vti melancholicis, comitialibus,atque in lepra, elephantiasi & papularum toto corpore eruptionibus.

De Schisto lacte. Cap. LXXVII.

Diuiditur autem lac omne, si fictili nouo ferueat, & ficulneo ramo recens desecto moueatur, ac posteaquam bis terve efferbuerit, affundantur aceti mulsi totidem cyathi quot sunt heminæ lactis: ita enim discedit serum ab eo quod caseosum est. Sed oportebit vt ne lac feruendo circunfundatur, inter coquendum continenter spõgia ex frigida fictilis labrum detergere, sextariúmque argenteum frigidæ aquæ plenum demittere.Bibitur porrò serum heminis per interualla singulis vsque ad quinas, ita vt intercedentibus spatiis potantes deambulent. Lac autem recens etiã efficax est contra rosiones & inflammationes à medicamentis exitialibus factas, vti à cantharide,pityocampa, salamandra,aut buprestе,auripigmento,dorycnio, aconito,aut ephemero.Ad hoc verò priuatim bubulũ maximè cõfert. Gargarizatur & ad oris ac tonsillarum

A κατὰ τὴν προτέραν ἔκβλησιν αὐτῶν, αἶται ἐμοῦσι· καὶ τὸ γάλα ἀνατρεπτικὸν στομάχου καὶ ναυτίας *γίνεται). ἑψηθὲν δὲ πᾶν γάλα στεγνωτικὸν γίνεται κοιλίας· καὶ μάλιστα τὸ διὰ πυρώσεις κόχλαξιν ἐξικμασθέν, κοινῶς δὲ καὶ ταῖς ἐντὸς ἑλκώσεσι βοηθεῖ, μάλιστα δὲ βρόγχου, πνεύμονος, ἐντέ-
B ρων, νεφρῶν, κύστεως, καὶ πρὸς τοὺς τῆς ἐπιφανείας κνησμούς, ἐξανθήματα, καὶ κακοχυμίας, δίδοται νεαρὸν μετὰ μέλιτος ὠμοῦ καὶ ὕδατος συναναχραθέντος ὀλίγου, μιγνυμένων καὶ ἁλῶν. ἀφυσότερον δὲ γίνεται ἀποζεσθὲν ἅπαξ. τὰ δὲ τῆς κοιλίας μετ' ἑλκώσεως ῥεύματα, ἄχρις ἡμισείας τοῖς
C κόχλαξιν ἑψηθὲν ὠφελεῖ.

Περὶ Ὀῤῥοῦ γάλακτος. Κεφ. ος'.

Ἔχει δὲ πᾶν γάλα συμπεπλεγμένον ⊙ ὀῤῥὸν, ὃς χωριζόμενος πρὸς κάθαρσιν εὐτονώτερος γίνεται. διδόμενος ἐφ' ὧν δίχα δριμύτητος ἔκκρισιν βουλόμεθα ποιῆσαι, ὡς ἐπὶ μελαγχολικῶν, ἐπιληπτικῶν,
D λέπρας, ἐλεφαντιάσεως, καὶ ἐξανθημάτων τῶν περὶ ὅλον τὸ σῶμα.

Περὶ Σχιστοῦ γάλακτος. Κεφ. οζ'.

*Σχίζεται δὲ πᾶν γάλα ζεννύμενον ἐν καινῇ χύτρᾳ κεραμίᾳ, καὶ κινούμενον κλάδῳ συκίνῳ νεοτμήτῳ, καὶ μετὰ τὸ ζέσαι δὶς ἢ τρὶς, ἐπιῤῥαίνεται ὀξυμέλιτος κύα-
E θος, πρὸς ἑκάστην κοτύλην τοῦ γάλακτος· οὕτω γὰρ διαχωρίζεται ὁ ὀῤῥὸς τοῦ τυρώδους. δεήσει δὲ πρὸς τὸ μὴ ὑπερζέειν τὸ γάλα, ἐν τῷ ἑψῆσαι σπόγγῳ ἐκ ψυχροῦ συνεχῶς ἀποψᾶν τὸ χεῖλος τῆς χύτρας, καὶ ξέστην ἀργυροῦν πλήρη ὕδατος ψυχροῦ καθιέναι. ποτίζεται δὲ ὁ ὀῤῥὸς ἐκ διαστήμα-
F τος κατὰ κοτύλην ἄχρι πέντε κοτυλῶν, ἐν δὲ τοῖς μεταξὺ διαστήμασι περιπατείτωσαν ⊙ πίνοντες. ποιεῖ δὲ τὸ πρόσφατον γάλα καὶ πρὸς τοὺς ἀπὸ τῶν θανασίμων φαρμάκων δηγμοὺς καὶ πυρώσεις, ὡς κανθαρίδος ἢ πιτυοκάμπης, ἢ σαλαμάνδρας, ἢ βουπρήστεως ἢ * ὑοσκυάμου, ἢ
G δορυκνίου, ἢ ἀκονίτου, ἢ ἐφημέρου. πρὸς δὲ τοῦτο μάλιστα τὸ βόειον συμφέρει ἰδίως ἁρμόζον. διακλύζεται δὲ καὶ πρὸς ἑλκώσεις στομάτων καὶ παρισθμίων εἰς ἀναγαργάρισμα.

V.C. hæc ita, licet eodem sensu: αὐταὶ τὸ ἐμοῦσι κατὰ τὴν πρώτην ἀπόκρισιν τοὺς νομάς, καὶ τὸ γάλα ἀνατρεπτικὸν τοῦ στομάχου καὶ ὑπεκτικὸν καὶ ναυτίας ποιητικὸν κατασκευάζουσι. V. inserit, διαφ ac deinde βοηθεῖ.

add. λεγόμενον

V. ἁρμόζει

In antiquo scriptum inueni Goupyl. μέντοι.

ἰδίως δὲ τὸ ὄνειον διακλυζόμενον, οὖλα καὶ ὀδόντας κρατυνεῖ. ποιεῖ δὲ τῆς κοιλίας μετ' ἑλκώσεως ῥευματισμοῖς καὶ τεινεσμοῖς προβάτειον ἢ βόειον ἢ αἴγειον ἵστησιν, ἑψηθὲν διὰ κοχλάκων. ἐγκλύζεται δὲ καὶ καθ' ἑαυτὸ καὶ μετὰ πτισάνης ἢ χόνδρου χυλοῦ, ἰχθυμοὺς πραΰνον τὴν ἐντέρων δῆξιν· ἐγκλύζεται δὲ καὶ μήτρα εἱλκωμένη.

Περὶ Γυναικείου γάλακτος. Κεφ. οη'.

Τὸ δὲ τῆς γυναικὸς γάλα γλυκύτατόν ἐστι καὶ τροφιμώτατον· ὠφελεῖ δὲ θηλαζόμενον στομάχου δῆξιν καὶ φθίσιν· ἁρμόζει δὲ καὶ πρὸς λαγωοῦ θαλασσίου πόσιν. μιγὲν δὲ λιβανωτῷ λείῳ, ἐνστάζεται τοῖς ἐκ πληγῆς αἱμαχθεῖσιν ὀφθαλμοῖς· καὶ ποδαγρικοὺς ὠφελεῖ, σὺν μηκωνείῳ καὶ κηρωτῇ καταχριόμενον. ἄχρηστον δὲ πᾶν γάλα σπληνικοῖς, ἡπατικοῖς, σκοτωματικοῖς, ἐπιληπτικοῖς, τοῖς τὸ νευρῶδες πάσχουσι, πυρέσσουσι, κεφαλαλγοῦσιν· εἰ μὴ πολὺ καθάρσεως ἕνεκά τις προσφέρῃ τὸ σχιστὸν ὡς ὑποδέδεικται. ἱστοροῦσι δέ τινες τὸ τῆς πρωτοτόκου κυνὸς γάλα ψιλοῦν τρίχας καταχρισθέν, καὶ θανασίμων φαρμάκων ἀντιφάρμακον ποθέν, καὶ τεθνηκότων ἐμβρύων ἐκβόλιον.

Περὶ Τυροῦ νεαροῦ. Κεφ. οθ'.

ΤΥΡΟΣ νεαρὸς δίχα ἁλῶν ἐσθιόμενος τρόφιμος, εὐστόμαχος, εὐανάδοτος, σαρκῶν ποιητικός, κοιλίας μετρίως μαλακτικός· διαφέρων αὐτὸς αὑτοῦ παρὰ τὴν τοῦ γάλακτος φύσιν, ἀφ' οὗ σκευάζεται. ἑψηθεὶς δὲ καὶ ἐκθλιβεὶς, εἶτα ὀπτηθεὶς, σταλτικὸς γίνεται κοιλίας· ὠφελεῖ δὲ καταπλασσόμενος ὀφθαλμῶν φλεγμονὰς καὶ ὑπώπια. ὁ δὲ νεαλής, * δυστροφώτερος ἐσθιόμενος καὶ πρὸς καθαίρεσιν σαρκὸς ἐπιτήδειος, κακοστόμαχος, λυπῶν κοιλίαν καὶ ἔντερα. ὁ δὲ παλαιότερος, κοιλίας σταλτικός. καὶ ὁ ἐξ αὐτοῦ ὀρρὸς, κυνῶν τροφιμώτατος.

V. tantùm φλεγμονάς.

Περὶ Ἱππάκης. Κεφ. π'.

Ἡ δὲ καλουμένη ἱππάκη, τυρός ἐστιν ἵππειος, βρομώδης, καὶ πολύτροφος, ἀναλογῶν τῷ βοείῳ. ἔνιοι δὲ ἱππάκην ἐκδέχονται τὴν ἵππειον πιτύαν.

A exulcerationes. Asininum verò peculiariter ore collutum, gingiuas dentésque stabilit. Fluxiones autem alui vlceratione comitatas ac tenesmos, ouillum, bubulum, aut caprinum candentium silicum ope decoctum, sistit. Quinetiam per se & cum hordeacea ptissana aut halicæ cremore infusum, rosiones intestinorũ magnoperè mitigat: B exulceratæ quoque vuluæ infunditur.

De Lacte muliebri. C. LXXVIII.

Lac muliebre dulcissimum est, & maximè alit. Mãmis exuctum prodest ad stomachi rosionem ac tabẽ: valet & contra haustum leporẽ marinum. Thuris verò pollini admixtum, oculis ab ictu cruore suffusis C instillatur. Podagricis quoque vtile est, cum meconio & cerato illitum. Cæterùm lac omne contrariũ spleneticis, hepaticis, vertiginosis, comitialibus, neruorũ vitio laborantibus, febres habentibus & capite dolẽtibus: nisi si quis purgationis gratia, vti demonstratum est, schistum D exhibeat. Sunt qui narrent lac primiparæ canis perunctum pilos abolere, ac potum contra venena antidoti vicem obtinere, necnon & mortuos fœtus eiicere.

De Caseo recenti. Cap. LXXIX.

CASEVS recens ac minimè salsus in cibo sũptus probè alit, stomacho vtilis est, ac facilè in membra E distribuitur: corpus auget, aluúmque moderatè mollit: alius tamẽ alio præstantior est, pro natura lactis è quo conficitur. Decoctus autem & expressus, dein inassatus, aluum sistendi vim acquirit: prodest verò impositus oculorũ inflammationibus atque sugillatis. At qui recens F salitus est, si comedatur, minùs alimenti præbet, ad minuendum corpus idoneus est, stomacho aduersatur, aluũ denique & interanea offendit. Vetustior aluum sistit. Cæterùm quod è caseo manauit serum canes quàm optimè alit.

De Hippace. Cap. LXXX.

Quod hippacen vocant, caseus G est equinus, qui quidem virus redolet, at magnoperè alit, bubulo proportione respondens. Sunt tamen qui equinum coagulum hippacen appellauerint.

De Butyro & eius fuligine.
Cap. LXXXI.

LAVDABILE paratur butyrũ è lacte pinguissimo, quale ouillũ est: fit & ex caprino, agitato in vasis lacte, donec pingue separetur. Molliẽdi facultate præditũ est, vímque habet olei: vnde & largiùs epotum & aluum relaxat, & contra venena, si desit oleum, vsurpatur. Cum melle affrictum, dentitiones adiuuat, gingiuarum pruritus in infantibus & oris vlcera emendat. Foris verò illitum corpus reddit habitius, & à psydracijs tuetur atque conseruat. Est & efficax contra inflammationes ac duritias vuluæ, quòd certè quidem neque putidum neque vetustum fuerit: ad dysenterias quoque & coli vlcerationem infunditur. Denique in suppuratoria medicamenta vtiliter additur: maximè verò in neruorum, meningum, vesicæ ac ceruicis vulneribus. Illud ipsum replet, purgat, & carnẽ creat: necnon & ab aspide commorsis impositũ prodest. Recẽs etiã opsoniis pro oleo ammiscetur, vti & placentis adipis vice. Colligitur verò è butyro fuligo hunc in modum: In lucernam nouam infusum butyrum accendito, & vbi operculaueris, fictili in modum siphunculi facto & supernè quidem angusto, ima verò parte foramina clibani instar habẽte cremari finito: ac vbi primũ absumptum fuerit butyrũ, aliud subinde affundito, dum fuliginis quantum desideras coaceruaueris: tandem penna deradito, ac vtitor. In medicamentis oculorum vim habet exiccandi & adstringendi: fluxiones verò cohibet, & vlcera celeriter ad cicatricem perducit.

De Lanis. Cap. LXXXII.

LANÆ succidę molles è collo feminibúsque, laudatissimæ. Subueniunt inter initia vulneribus, cõtusis, desquamatis, liuidis, & ossiũ fracturis aceto & oleo aut vino imbutæ. Siquidẽ liquores facilè cõbibunt quibus immerguntur, & propter adhærẽtes sordes (œsypum vo-

A Περὶ Βουτύρου καὶ τῆς ἐξ αὐτοῦ λιγνύος.
Κεφ. πα'.

ΒΟΥΤΥΡΟΝ σκευάζεται καλὸν ἐκ τοῦ λιπαρωτάτου γάλακτος, οἷόν ἐστι τὸ προβάτειον· γίνεται δὲ καὶ ἐκ τοῦ αἰγείου, ἐν ἀγγείοις κινουμένου τοῦ γάλακτος, καὶ χωριζομένου τοῦ λίπους. ἔχεται δὲ δυνάμεως
B μαλακτικῆς, ἐλαιῶδες· ὅθεν κοιλίας τε ἐκλύει πλεῖον ποθὲν καὶ πρὸς τὰ θανάσιμα μὴ παρόντος ἐλαίου χρησιμεύει. μιχθὲν δὲ μέλιτι καὶ παρατριφθέν, ὀδοντιάσεις ὠφελεῖ, καὶ τοῖς τῶν οὔλων ὀδαξισμοῖς ἐπὶ παίδων καὶ ἄφθαις. ἔξωθεν δὲ καταπλασσόμενον, εὔτροφον καὶ ἀψυδράκιωτον
C τηρεῖ τὸ σῶμα. ποιεῖ δὲ καὶ πρὸς φλεγμονὰς καὶ σκληρίας ὑστέρας τὸ μὴ δυσῶδες, μηδὲ παλαιόν. πρός τε δυσεντερίας καὶ πρὸς κόλου ἕλκωσιν ἐγκλυζόμενον. πυοποιοῖς τε μίγνυται χρησίμως· καὶ μάλιστα ἐπὶ τῶν κατὰ τὰ νεῦρα καὶ μήνιγγας καὶ κύστιν καὶ τράχηλον τραυμάτων. τὸ δὲ αὐτὸ
D πληροῖ καὶ καθαίρει καὶ σαρκοῖ, καὶ τοὺς ὑπὸ ἀσπίδος δηχθέντας ἐπιτιθέμενον ὠφελεῖ. μίγνυται δὲ καὶ προσοψήμασιν ἀντὶ ἐλαίου τὸ νεαρόν, καὶ ἐν τοῖς πέμμασιν ἀντὶ στέατος. Συνάγεται δὲ καὶ λιγνὺς ἐκ τοῦ βουτύρου τὸν τρόπον τοῦτον· εἰς λύχνον καινὸν ἐγχέας τὸ βούτυρον ἅψον, καὶ πωμάσας ἀγ-
E γείῳ κεραμεῷ σωληνοειδεῖ στενῷ κατὰ τὰ ἄνωθεν, τρήματα δὲ ἐκ τῶν ὑπὸ πόδας ἔχοντι ὥσπερ οἱ κλίβανοι, ἔα καίεσθαι· ὅταν δὲ ἀναλωθῇ τὸ πρότερον βούτυρον, ἄλλο ἐπίχει, καὶ ποίει τὸ αὐτό, ἕως ἂν ὅσον πλῆθος βούλει αἰθαλώσῃς· εἶτα ἀπόξυε πτερῷ καὶ χρῶ. Δύναμιν δὲ ἔχει εἰς
F τὰ ὀφθαλμικὰ ξηραίνειν καὶ ἀποστύφειν· ἐφίστησι δὲ τὰ ῥεύματα, καὶ τὰ ἕλκη ἀπουλοῖ ταχέως.

Marc. legit γαλακτικῆς.
Lacuna legit πυοποιοῖς.
Marc. legit ad-stat τράχηλον.
V. non legit
V. αἰσθητικῆ.

Περὶ Ἐρίων. Κεφ. πβ'.

ΕΡΙΑ οἰσυπηρὰ ἄριστα τὰ ἁπαλά, καὶ τὰ ἀπὸ τοῦ τραχήλου καὶ τῶν μηρῶν. ἁρμόζοντα ἐν ἀρχῇ πρὸς τραύματα,
G θλάσματα, ἀποσύρματα, πελιώματα, ὀστῶν κατάγματα, βρεχόμενα ὄξει καὶ ἐλαίῳ ἢ οἴνῳ· δεκτικὰ γάρ ἐστι τῶν ἐμβρεγμάτων καὶ μαλακτικὰ διὰ τὸν

οἴσυπον· ποιεῖ καὶ πρὸς κεφαλαλγίας καὶ στομάχου πόνους καὶ παντὸς ἄλλου τόπου, σὺν ὄξει καὶ ῥοδίνῳ *ἐπιτιθέμενον.

Περὶ Ἐρίων κεκαυμένων. Κεφ. πγʹ.

Τὰ δὲ κεκαυμένα ἔρια, δύναμιν ἔχει ἐσχαρωτικήν, ὑπερσαρκωμάτων σταλτικήν, ἀπουλωτικὴν ἑλκῶν. καίεται δὲ καθαρὰ διαξανθέντα ἐν ὠμῇ χύτρᾳ, ὥσπερ τὰ λοιπά. τὸν δ' αὐτὸν τρόπον καὶ κροκύδες καίονται θαλασσίας πορφύρας. τινὲς δὲ σὺν τῷ ῥύπῳ διαξαίνοντες τὰ ἔρια καὶ μέλιτι διαδεύσαντες, καίουσιν ὡσαύτως. ἄλλοι δὲ διαθέντες ὀβελίσκους ἐπὶ πλατυστόμου κεραμέου ἀγγείου διεστῶτας ἀπ' ἀλλήλων, καὶ ἐπιθέντες σχίδακας δᾳδίων ἰσχνάς, καὶ ἐπιπλώσαντες τὰ ἔρια διεξασμένα καὶ βεβρεγμένα ἐλαίῳ οὕτως, ὥς τε μὴ ἀποστάζειν, καὶ πάλιν σχίδακας, καὶ ἔρια ἐναλλὰξ ἐπιθέντες, ἐκ τῶν δᾳδίων κούφως ὑφάπτουσι, καὶ ἔπειτα δὲ αἴρουσι. καὶ εἴ τι λίπος ἢ πίττα ἐκ τῶν δᾳδίων ἀπορρέῃ, συναναιροῦνται καὶ ἀποτίθενται. πλύνεται δὲ εἰς τὰ ὀφθαλμικά, ἐν κεραμέῳ κρατῆρι ὕδατος ἐπιχεομένου, καὶ καταρασσομένου εὐτόνως ταῖς χερσί, καὶ μετὰ τὸ ἀποκαταστῆναι ἀποχεομένου τοῦ ὑγροῦ, καὶ ἄλλου ἐπιχεομένου, καὶ πάλιν ἀναταρασσομένου· καὶ τοῦτο γίνεται, ἄχρις ἂν *προσαγόμενον τῇ γλώττῃ μὴ δάκνῃ, ποσῶς δὲ στύφῃ.

> Lacunæ ex veteri codice addit καθαρτικὸν, θερμαντικόν.

Περὶ Οἰσύπου. Κεφ. πδʹ.

Οἴσυπος δὲ λέγεται ὁ ἐκ τῶν οἰσυπηρῶν ἐρίων λίπος. ὁ κατασκευάσεις οὕτως· λαβὼν ἔρια μαλακὰ οἰσυπηρὰ ἔκπλυνον *ἐστρυθισμένα, θερμῷ ὕδατι, ἅμα ἐκθλίβων πᾶσαν τὴν ῥυπαρίαν, καὶ βαλὼν εἰς κρατῆρα πλατύστομον, καὶ ἐπιχέας ὕδωρ ἀνάχει *ἀρυτῆρι ταράσσων ῥαγδαίως, ἕως ἂν ἀφρίσῃ ἢ ξύλῳ ἀνατάρασσε εὐτόνως, μέχρις ἂν ὁ πολὺς ἀφρὸς καὶ ῥυπαρὸς συλλεγῇ, εἶτα καταρραίνε θαλάσσῃ· καὶ ὅτε καταστῇ τὸ ἐπινηχόμενον λίπος, ἀναλάμβανε εἰς ἕτερον κεραμεοῦν ἀγγεῖον, ἐπιχέας τὸ ὕδωρ εἰς τὸν κρατῆρα, πάλιν τάρασσε καὶ κατάρραινε τῇ θαλάσσῃ τὸν ἀφρόν, καὶ ἀναλάμβανε· καὶ τὸ αὐτὸ ποίει, ἄχρις ἂν μηκέτι ἀφρὸς ἐφίστηται διαπλυν-

> V. addit καὶ

> V. & Ald. ῥυτῆρι ῥαγδαίως sed quo sensu, non video.

A cant) emolliendi vim habent. Efficaces quoque sunt ad capitis, stomachi & alius cuiusuis partis dolores, si cum aceto & rosaceo imponantur.

De Lanis vstis. Cap. LXXXIII.

Crematæ verò lanæ crustas inducendi, carnis excrescentias cohibendi, vlceráque ad cicatricem per- B ducendi vim habent. Porrò mundę & carptæ in fictili crudo cęterorum more vruntur: quin & ad eundem modum lanæ marina purpura infectæ tomenta cremari solent. Nonnulli verò cum sordibus lanas carminant, quas posteaquàm melle irrigarunt, similiter vrũt. Alij in fictili oris patuli verucula inter se distãtia C disponunt, ac tenues tædarũ assulas insternũt: supra has verò lanas ipsas componunt carptas & oleo ita imbutas, vt ne tamen destillẽt, rursúmque asulas & lanas vicissim insternunt: tandem leuiter tædas succendunt, vstúmque cinerẽ tollunt. Quòd si qua pinguitudo aut pix è D tęda defluxit, simul & semel collecta reconditur. Cæterùm lauatur ille lanarum cinis ad oculorum medicamenta, in fictili labello addita aqua & manibus vehemẽtiùs conturbata: cúmque subsederit cinis aqua effũditur, ac rursum affunditur alia, pariterq; cõturbatur: tãdiuq; id fit, donec is admotus linguæ minimè E mordeat, sed quodãmodo astringat.

De OEsypo. Cap. LXXXIIII.

OEsypum dicitur, è succidis lanis collecta pinguitudo: quã sic præparabis. Lanas sumito molles, succidas, radicula non curatas, & aqua calida eluito, simúlque sorditiem omnem exprimito. Hãc in labellum oris ampli conicito, ac vbi aquã af- F fuderis, ligula grandiorive cochleari magno impetu refundito exalto demittens, dũ spumescat: aut rude lignea validiusculè cõturbato, dum multa & sordida spuma colligatur, deinde marina respergito. Ac vbi consederit quod supernatabat pingue, in alterũ vas fictile recipito: & affusa in labellum aqua hanc denuò G agita, cúmque marina spumam perfundito, ac demum excipito. Atque hoc tantisper facito, dum consumpta pinguitudine non ampliùs spuma

ſpuma ſuperſit. Collectū porrò œſypū vbi manu ſubegeris, cōfeſtim, ſi qua inſedit ſpurcitia, hāc tollito: guttatímq; excluſa priore aqua aliā affundito, & manu miſceto, donec ad motū linguę œſypū minimè mordeat, ſed quodāmodo aſtringat, ac pingue, purū, cādidumq; appareat: tandē in fictili vaſe ita condito. Verùm hæc omnia æſtiuo Sole fiant. Nonnulli excolatum pingue frigida aqua eluunt, & manibus, non ſecus atq; ceratū mulieres, confricāt: ita enim candidius redditur. Alij´ poſtquam lanas lauerūt, ſordéſque expreſſerunt, has in lebete lento igni ex aqua decoquunt, & collectū pingue quod ſupernatat aqua, vti dictū eſt, eluunt, excolatúmque in fictilē patellam, quæ calidā aquam contineat, lineo panno operculant, & Soli exponūt, donec ſat craſſum cādidúmque euadat. Nonnulli denique poſt *biduum effuſa priore aqua, aliam affundūt. Pręſtantius eſt, è lanis radicula non curatis, leue, lanarum ſuccidarū virus olens, quódque, dum in concha cum aqua frigida manu fricatur, albeſcit, nihilque in ſe durum aut compactum habet: veluti quod cerato aut adipe adulteratur. Porrò vim habet excalfaciendi, emolliēdi, & vlcera explendi: maximè verò ſedis, ac vuluæ cū meliloto & butyro: in vellere appoſitum, partus & menſes euocat: valet & ad vlceratū aurium, tum etiā gēitalium, cum anſerino adipe. Eſt & efficax ad arroſos ſcabioſóſq; oculorum angulos, itémq; genas calloſas ac ciliorū defluuio laborātes. Cæterùm in teſta noua torretur œſypum, dum in cineres redactū pinguitudinem amittat. Ex ipſo quoq; fuligo colligitur eo quo demōſtrauimus modo, quæ ad oculorū medicamenta conuenienter additur.

(*Margin: dierum ſpatio*)

De Coagulo. Cap. LXXXV.

LEPORIS coagulum ternûm obolorum pondere ex vino, confert ad venenatarum beſtiarū morſus, itémque cœliacis, dyſentericis, ac fœminis fluxione ab vtero laborantibus: quin & in grumos concreto ſanguini, ac eiuſdem à pectore reiectionibus auxiliatur. Poſt menſtruam purgationem (& paulò ante coitum) vuluæ cum bu-

A θύλος τοῦ λίπους. ἰὸν μὲν τοι ἀνηρημένον οἴσυπον τῇ χειρὶ μαλάξας, παραχρῆμα αἴρειν εἴ τινα ἔχει ἀκαθαρσίαν, στραγγίζων τὸ πρῶτον ὕδωρ καὶ ἄλλο ἐπιχέων, καὶ κινῶν τῇ χειρὶ, ἄχρις ἂν προσαγόμενος τῇ γλώττῃ μὴ δάκνῃ, ποσῶς δὲ στύφῃ, λιπαρὸς καὶ καθαρὸς καὶ λευκὸς φανῇ· οὕτω δὲ ἀποτίθεσο εἰς ἀγγεῖον κεραμεοῦν. ἐν ἡλίῳ δὲ *θερμῷ γινέσθω πάντα. B ἔνιοι δὲ διηθήσαντες τὸ λίπος, πλύνουσιν ἐν ὕδατι ψυχρῷ, ταῖς χερσὶν ἀνατρίβοντες, ὡς τὴν κηρωτὴν αἱ γυναῖκες· γίνεται δὲ ὁ τοιοῦτος λευκότερος. ἄλλοι δὲ, πλύναντες τὰ ἔρια καὶ ἐκθλίψαντες τὸν ῥύπον, ἕψουσι μεθ' ὕδατος ἐν λέβητι πυρὶ κούφῳ, καὶ τὸ ἐφιστάμενον λίπος ἀφαιροῦντες, πλύνουσιν ὕδατι, C ὥσπερ εἴρηται· καὶ διυλίσαντες εἰς λοπάδιον κεραμεοῦν ἔχον ὕδωρ θερμὸν, λινῷ τε ῥάκει περιπωμάσαντες, τιθέασιν ἐν ἡλίῳ, μέχρις ἂν αὐτάρκως παχὺς καὶ λευκὸς γένηται. ἔνιοι δὲ διὰ δύο ἡμερῶν ἀποχέοντες τὸ πρῶτον ὕδωρ, ἄλλο ἐπιχέουσιν. ἔστι δὲ βέλτιων ὁ ἀσμῆκτος, καὶ λεῖος, ὄζων ἐρίων οἰσυπηρῶν, D ἀνατριβόμενός τε μεθ' ὕδατος ψυχροῦ ἐν μύακι, καὶ λευκαινόμενος, καὶ οὐδὲν ἔχων ἐν ἑαυτῷ σκληρὸν ἢ συνεστηκὸς ὥσπερ ὁ δολιζόμενος κηρωτῇ ἢ στέατι. Δύναμιν δὲ ἔχει θερμαντικὴν, πληρωτικὴν ἑλκῶν, μαλακτικὴν μάλιστα τῶν περὶ δακτύλιον καὶ ὑστέραν σὺν μελιλώτῳ καὶ βουτύρῳ. E καὶ ἔμβρυα, καὶ ἔμμηνα ἐν ἐρίῳ προστεθέμενος ἄγει, πρός τε τὰ ἐν ὠσὶ καὶ ἐν αἰδοίῳ σὺν χηνείῳ στέατι. ποιεῖ δὲ καὶ εἰς περιβεβρωμένους κανθοὺς καὶ ψωρώδεις, καὶ βλέφαρα τετυλωμένα καὶ τριχορροοῦντα. καίεται δὲ ἐπ' ὀστράκου καινοῦ, F μέχρις ἂν *τεφρωθὲν ἀποβάλῃ τὸ λίπος. συνάγεται δὲ καὶ λιγνὺς ἐξ αὐτοῦ, ὡς ὑπεδείξαμεν, ἁρμόζουσα πρὸς τὰ ὀφθαλμικά.

(*Margin: V. προσαγόμενος τῇ γλώττῃ.*)

(*Margin: Lacuna legit πυρωθέν. Aetius habet πυρωθὲν*)

Περὶ πιτύας. Κεφ. πε'.

ΠΙΤΥΑ λαγωοῦ ἁρμόζει σὺν οἴνῳ ὁλκῇ τριωβόλου πρὸς θηριοδήκτους καὶ κοι- G λιακοὺς [καὶ δυσεντερικοὺς] καὶ πρὸς ῥοϊκὰς γυναῖκας, πρός τε αἵματος θρομβώσεις, καὶ ἀναγωγὰς τὰς ἐκ θώρακος. προστιθεμένη τε μετὰ κάθαρσιν τὴν μήτραν μετὰ βου-

(*Margin: Lacuna ex vet. cod. addit οὐ ἔξει &c.*)

(*Margin: V. non agnoſcit.*)

V. συλλήψει συνεργεῖ. Lacuna ex vet. cod. legit προστεθεῖσα μετὰ καθάρσεις καὶ μικρόν τι πρὸ τῆς συνουσίας τῇ μήτρᾳ, μᾶλλον βοηθεῖ συλλήψει. Lacuna legit ἐν...

τέρου* σύλληψιν ποιεῖ· ποθεῖσα δὲ φθείρει ἔμβρυα, μετὰ δὲ τὴν ἄφεδρον ἀτόκιός ἐστιν. ἡ δὲ τοῦ ἵππου ὑπ' ἐνίων ἱππάκη καλουμένη, ἰδίως ἁρμόζει ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν. ἐρίφου δὲ καὶ ἀρνὸς καὶ νεβροῦ* καὶ δορκάδος καὶ πλατυκέρωτος καὶ δόρκου, καὶ ἐλάφου, καὶ μόσχου καὶ βουβάλου, ὁμοίαν ἔχουσι δύναμιν, ἁρμόζουσαι πρὸς ἀκονίτου πόσιν σὺν οἴνῳ λαμβανόμεναι, καὶ πρὸς γάλακτος θρόμβωσιν μετ' ὄξους. ἡ δὲ τοῦ νεβροῦ ἰδίως μετὰ τὰς καθάρσεις προστεθεῖσα ἐπὶ τρεῖς ἡμέρας, ἀτόκιόν ἐστιν. ἡ δὲ τῆς φώκης ἔοικε κατὰ τὴν δύναμιν καστορίῳ· δοκεῖ δὲ ἁρμόζειν μάλιστα ἐπιληπτικοῖς καὶ ὑστερικαῖς πνιξὶ πινομένη. δοκιμάζεται δὲ εἰ ἔστι φώκης, τὸν τρόπον τοῦτον· λαβὼν πιτύαν ζώου τινὸς, μάλιστα δὲ ἀρνὸς, καὶ ἐπιχέας ὕδωρ, ἔασον βραχὺν χρόνον, καὶ μετὰ ταῦτα ἐπίχει τὸ ἀπόβρεγμα κατὰ τῆς πιτύας τῆς φώκης· ἡ γὰρ ἀληθινὴ ἐξυδατοῦται ταχέως· ἡ δὲ μὴ τοιαύτη, διαμένει ὁμοία. λαμβάνεται δὲ ἐκ τῆς φώκης πιτύα* μήπω δυναμένων συννήχεσθαι τῶν σκύμνων. κοινῶς δὲ πᾶσα πιτύα πήσσει μὲν τὰ διαλελυμένα· λύει δὲ τὰ συνεστῶτα.

V. μηδέπω δυναμένων νήχεσθαι

Περὶ στέατος. Κεφ. πς'.

Στέαρ πρὸς μὲν τὰ περὶ μήτραν ἁρμόζει τὸ νεαρὸν, χήνειον ἢ ὀρνίθειον, καὶ δίχα ἁλῶν τεταριχευμένον. πολέμιον δὲ ὑστέρᾳ τὸ ἡλισμένον καὶ τὸ τῷ χρόνῳ μεταβεβληκὸς εἰς δριμύτητα. πρόσφατον δὲ λαβὼν τούτων καὶ ἐξυμενίσας, ἔμβαλε εἰς λοπάδα καινὴν κεραμέαν, δὶς τοσοῦτον χωροῦσαν ἢ ὅσον ἐστὶ τὸ μέλλον θεραπεύεσθαι. εἶτα θὲς εἰς ὀξύτατον ἥλιον τὸ ἀγγεῖον κεκαλυμμένον ἐπιμελῶς*, τὸ ἀποτηκόμενον ἀπήθει εἰς ἕτερον ἀγγεῖον ὀστράκινον, ἕως ἂν* πᾶν διαπλυνήσῃ, τοῦτο δὲ εἰς κατάψυχρον ἀπόθεσο τόπον καὶ χρῶ. τινὲς δὲ* ἀντὶ ἡλίου ὑπὲρ ὕδατος θερμοῦ ἐπερείδονται τὴν λοπάδα, ἢ ἐπὶ λεπτῆς καὶ μαλακῆς* ἀνθρακιᾶς. ἔστι δὲ καὶ ἄλλος

V. subijcit ὑπὸ ...

V. πᾶν omisit.

V. τοῦ ἡλίου ἐπὶ ὕδατος

V. πυρκαϊᾶς.

A tyro appositum conceptionem adiuuat: potum verò idem partus enecat, & à *purgatione menstrua præstat mulieribus vt ne concipiant. At equi coagulum, nonnullis hippace dictum, priuatim cœliacis dysentericisque cōuenit. Hœdi verò, agni & hinnuli dorcadis, platycerotis, dorci ac cerui, itémque vituli

B ac bubali coagula similibus sunt prædita viribus: siquidem contra haustum aconitum ex vino, & ad concretum lac ex aceto cōuenienter assumūtur. Priuatim autem hinnuli coagulum subditum à purgationibus ad triduum, conceptum impedit. Verùm marini vituli coagulum pares castoreo vires obti-

C net: maximè verò comitialibus & vuluę strāgulationibus in potu conferre creditur. Porrò marini vituli coagulum hoc experimēto deprehenditur. Sumito alicuius alterius animantis, prçcipuè verò agni, coagulum, & affusa aqua paulisper dimittito: tùm postea aquā in qua il-

D lud maduerit vituli marini coagulo superinfundito. Quod enim sincerum ac legitimum fuerit, illico in aquam liquescet: quod tale non fuerit, simile sibi permanebit. Excipitur autem vituli marini coagulum, catulis qui nondū vnà cum matribus natare possunt. Cæterùm in vniuersum coagulum omne dissipa-

E ta cogit, & coagulata soluit.

vel, à purgatione

De adipe. Cap. LXXXVI.

Adeps anserinus aut gallinaceus recens, & sine sale inueteratus, ad vuluę vitia proficit. At sale cōditus, quíque acrimoniam vetustate contraxit, vuluæ inimicus est. Horum quempiam recentē mem-

F branulis exēptis in nouam fictilem ollam conijcito, quæ duplo tantundem capiat, quantum est eius adipis quem curari oporteat. Dein vbi acerrimo Soli vas diligenter operculatum exposueris, eliquescentem inde humorē in alterum fictile vas excolato, dum * quidquid est adipis absumptum fuerit: mox eum

G liquorem loco vehementer frigido ad vsum recondito. Sunt qui insolationis vice supra calidam aquam, aut super tenui & elanguida pruna ollam collocant. Est & alia

vas intus exhaustum

curandi ratio huiusmodi: exemptis membranis teritur adeps, & in ollam coniectus eliquatur, insuper asperso minuti salis momento: dein lineo colo transfusus reponitur. Talis porrò in ea medicamenta vtiliter additur, quę lassitudines & fatigationes leuant.

De suillo & vrsino adipe.
Cap. LXXXVII.

Suillus autẽ & vrsinus adeps hoc curantur modo: Sumito recentem ac præpinguẽ, qualis is est qui renibus detrahitur, & in largiorem aquam cœlestem quàm frigidissimã exemptis pelliculis immittito, manibúsque terito, ipsum accuratè fricans ac veluti distringens: deinde vbi noua aqua subinde ablueris, in ollam fictilẽ duplę capacitatis indito: atq; affusa aqua quæ adipem superet, supra leues prunas ponito, & spatha misceto. Postquam verò eliquatus fuerit, ipsum colo in aquam transfundito, finitóq; refrigescere: tùm diligenter exclusa guttatim omni aqua, in ollã aliam priùs elotã rursum demittito, & infusa aqua sensim eliquato. Inde detractũ, vbi fæcem paulisper subsidere permiseris, in pilam spongia madefactã defũdito. Ac vbi cõcreuerit, detractis quę in imo resident sordibus, tertiò tandẽ citra aquã eliquato, & trãslatũ posteà in pilam repurgatumq; in fictile vas inijcito, quod operculatũ loco per quàm frigido reponito.

De seuo hircino, ouillo & ceruino.
Cap. LXXXVIII.

Hircinum, ouillũ, insupérq; ceruinũ seuũ ita curare oportet: Ex his quodlibet sumito, quale antè dictũ est, & lotũ, tunicis, vt in suilli mentione dictũ est, exemptis, indito pilæ vti subigatur & mollescat, atque affusa paulatim aqua fricato, dũ neque sanguinolẽtum quicquam excernatur, neque pinguitudo supernatet, sed illa nitida limpidáq; spectetur. Postmodũ vbi in fictilem ollam conieceris, ac insuper aquam addideris vt superemineat, leui prunæ indito & agitato. Vbi verò totũ liquatum fuerit, ac translatum in aquam refrixerit, iterum in loto fictili eliquato, & quæ antè diximus

A Τρόπος θεραπείας τοιοῦτος· μετὰ τὸ ἐξυμενισθῆναι τὸ στέαρ λεαίνεται, καὶ εἰς λοπάδα ἐμβληθὲν τήκεται, ἁλὸς ὀλίγου καὶ λεπτοῦ* προσεμπλασθέντος· εἶτα διὰ ῥάκους λινοῦ διυλισθὲν ἀποτίθεται. ἁρμόζει δὲ τὸ τοιοῦτον εἰς τὰ ἄκοπα.

Περὶ στέατος ὑείου καὶ ἀρκείου.
Κεφ. πζ'.

Tota στέατος tractatio in antiquis libris vno capite comprehensa est. Goup.

B Ὕειον δὲ καὶ *ἄρκειον θεραπεύεται οὕτως· λαβὼν τὸ πρόσφατον καὶ κατάπιμελον, οἷόν ἐστι τὸ νεφριαῖον, εἰς ὕδωρ δαψιλὲς ὄμβριον ὡς ὅτι ψυχρότατον ἐξυμένισον, καὶ τρῖβε ταῖς χερσὶν ἐπιμελῶς ἀνατρίβων αὐτὸ καὶ οἱονεὶ* ἀναψύχων· εἶτα ἑτέρῳ ὕδατι πολλάκις
C ἀποκλύσας, δὸς εἰς χύτραν κεραμέαν τὸ διπλάσιον χωροῦσαν· ἐπιχέας τε ὕδωρ ὡς ὑπερέχειν τοῦ στέατος, θὲς ἐπὶ κούφης ἀνθρακιᾶς, καὶ κίνει σπάθῃ. ὅταν δὲ τακῇ, διηθήσας αὐτὸ δι' ἠθμοῦ εἰς ὕδωρ καὶ ἐάσας ψυχθῆναι, πάλιν ἐστραγγισμένον ἐπιμελῶς ἀπόδος εἰς τὴν χύτραν προεκπεπλυμένην, ἐπιχέας τε ὕδωρ τῆξον
D πρᾴως. καὶ καθελὼν, μικρόν τε ἐάσας τὴν τρύγα ὑποστῆναι, κατάχεε εἰς θυίαν νενοτισμένην σπόγγῳ. ὅταν δὲ παγῇ, ἀνελόμενος, καὶ τὸ ἐν τῷ πυθμένι *πρὸς ἀκαθαρσίαν ἀφελὼν, τῆξον ἐκ τρίτου χωρὶς ὕδατος, καὶ κατεράσας εἰς θυίαν, καθαρί-
E σας τε ἔμβαλε εἰς κεραμοῦν ἀγγεῖον, καὶ πωμάσας ἀπόθου εἰς κατάψυχρον τόπον.

Περὶ στέατος τραγείου καὶ προβατείου καὶ ἐλαφείου. Κεφ. πη'.

Τράγειον δὲ καὶ προβάτειον, ἔτι δὲ καὶ ἐλάφειον, θεραπευτέον οὕτω· λαβὼν, οἷον προείρηται, στέαρ οἱουδηποτοῦν αὐτῶν καὶ πλύνας, ἐξυμενίσας τε ὡς προεί-
F ρηται ἐπὶ τοῦ ὑείου, δὸς εἰς θυίαν μαλάττειν, καὶ τρῖβε κατ' ὀλίγον ὕδωρ ἐπιχέων, ἄχρις ἂν μήτε αἱμάλωψ ἐκκρίνηται, μήτε λίπος ἐπιπλέῃ, λαμπρόν τε γίνηται. λοιπὸν ἐμβαλὼν αὐτὸ εἰς κεραμέαν χύτραν, καὶ προσεπιδοὺς ὕδωρ ὥς
G τε ὑπερέχειν, θὲς ἐπὶ κούφης ἀνθρακιᾶς καὶ κίνει. ὅταν δὲ τακῇ ἅπαν, κατεράσας αὐτὸ εἰς ὕδωρ καὶ ψύξας, πλύνας τε τὴν χύτραν, ἐκ δευτέρου τῆκε, καὶ τὰ αὐτὰ

τοῖς προειρημένοις ποίει. τὸ δὲ τελευταῖον χωρὶς ὕδατος τήξας, εἰς κεκολισμένην θυίαν ἀπήθησον, καὶ ψυχθὲν ἀπόθετον, ὡς ἐλέγετο ἐπὶ τοῦ ὑείου.

Περὶ στέατος βοείου. Κεφ. πθʹ.

Καὶ τοῦ βοείου δὲ στέατος ἐξυμενιστέον τὸ νεφριαῖον καὶ θαλάττῃ πελαγίᾳ πλυτέον· εἶτα εἰς ὅλμον ἐμβλητέον καὶ κοπτέον ἐπιμελῶς, ἐπιρραινομένης τῆς θαλάττης· ὅταν δὲ διαλυθῇ ἅπαν, ἐμβλητέον αὐτὸ εἰς χύτραν κεραμέαν, καὶ θάλασσαν ἐπιχυτέον ὅσον ὑπερέχειν μὴ ἧττον σπιθαμῆς, ἑψητέον τε ἄχρις ἂν τὴν ἰδίαν ὀσμὴν ἀποβάλῃ. εἶτα πρὸς μίαν μνᾶν Ἀττικὴν τοῦ στέατος, κηροῦ Τυρρηνικοῦ ὁλκὰς τέτταρας ἐμβλητέον καὶ διηθητέον· ἀφαιρετέον δὲ τὴν προσκαθημένην ἐν τῷ πυθμένι ἀκαθαρσίαν, καὶ εἰς λοπάδα καινὴν ἀποθετέον. εἶτα εἰς ἥλιον καθ' ἡμέραν κομιστέον περιεσκεπασμένον, ὅπως ἀπολευκανθῇ, καὶ δυσωδίαν ἀποβάλῃ.

Περὶ στέατος ταυρείου, παρδαλείου, καὶ λεοντείου. Κεφ. ϟʹ.

Τὸ δὲ ταύρειον θεραπευτέον οὕτω. (V. non habet.) [λαβὼν καὶ τοῦδε τὸ πρόσφατον καὶ νεφριαῖον] ἔκπλυνον ποταμίῳ ῥεύματι, ἐξυμενίσας τε* δὶς εἰς χύτραν κεραμέαν καινὴν, ἁλὸς ὀλίγον προσεμπάσας, καὶ τῆκε· εἶτα εἰς ὕδωρ διαυγὲς ἀπηθήσας, ὅταν ἀρχὴν λαμβάνῃ πήξεως, ταῖς χερσὶ πάλιν ἐκτρίβων σφοδρῶς πλῦνον, τοῦ μὲν ἀποχεομένου ὕδατος, τοῦ δὲ ἐπιχεομένου, (V. τοῦ δ' ἐκπλυνομένου καὶ ἐκχεομένου) ἄχρις ἂν πλυθῇ καλῶς· καὶ πάλιν εἰς χύτραν ἐμβάλλων ἕψε μετ' οἴνου ἴσου εὐώδους. ὡς δ' ἂν ζέσῃ δὶς, ἄρας ἀπὸ τοῦ πυρὸς τὴν χύτραν, ἔασον νυκτερεῦσαι τὸ στέαρ ἐνθάδε· τῇ δὲ ἐχομένῃ ἐάν τι τῆς δυσωδίας ὑπολίπηται, ἀνελόμενος τὸ προειρημένον εἰς ἑτέραν χύτραν καινὴν, προσεπίχεε οἶνον εὐώδη· καὶ τὰ αὐτὰ τοῖς προειρημένοις ποίει, ἕως ἂν ἅπασαν τὴν δυσωδίαν ἀποβάλῃ. τήκεται δὲ καὶ χωρὶς ἁλῶν ἐπ' ἐνίαις διαθέσεσι, ἐν αἷς οὗτοι ἐναντιοῦνται· γίνεται μέντοι τὸ οὕτω σκευασθὲν οὐκ ἄγαν λευκόν. ὡσαύτως δὲ καὶ παρδάλειον σκευαστέον καὶ λεόντειον,

(Quid. ἥ, ἕσαν)

similiter facito. Tum vbi tertiò citra aquam liquefeceris, in pilam liquore perfusam excolato, refrigeratúmque, vti de suillo dictum est, recondito.

De seuo bubulo. Cap. LXXXIX.

Bubulo quoq; seuo renibus maximè detracto eximendæ pelliculæ, ipsúmque aqua marina ex alto petita eluendum: mox in pilam coniectum diligenter tundendum aspersa maris aqua. Cùm verò totum dissolutum fuerit, in fictilem ollam immittendum, & affusa aqua marina quæ non infra dodrantem superemineat, coquendum, donec proprium odorem amiserit. Deinde ad singulas seui Atticas minas, ceræ Tyrrhenicæ quaternæ drachmæ inijciendæ. Excolatum, detracta quæ in fundo residet immunditie, in ollam nouam reponẽdum: tandem opertum Soli quotidie exponendum, vt putido odore abolito ad candorem reducatur.

De adipe taurino, pantherino ac leonino. Cap. XC.

Taurinum verò seuum sic curari debet: Hoc quoque recens ac renibus euulsum profluente amnis aqua abluito, detractísque tunicis in ollam fictilem nouam indito, & insperso exiguo sale liquefacito: deinde in aquam pellucidam excolato. Ac vbi concrescere cœperit, iterum manibus valdè confricando eluito, aqua subinde effusa refusáq;, dum probè lotum fuerit. Rursum in ollam coniectum cum pari modo vini odorati decoquito. Et cùm secundò efferbuerit, sublata ab igni olla ibidem seuum pernoctare sinito. Postridie siqua graueolentia superfit, in alteram ollam nouam translatũ odorato vino perfundito, ac eadem quę priùs facito, donec omne odoris virus euanuerit. Liquatur & sine sale, ad nonnullos præsertim affectus, quibus sal aduersari solet: sed ita præparatum non magnopere albescit. Eodem quoq; modo pãtherina & leonina,

aprugna, camelina & equina, hísq; similia pinguia præparari oportet.

Quomodo pingue odoramentis imbuendum sit. Cap. XCI.

Vitulinum autem ac taurinum pingue, nec non ceruinum, atque etiam huius animalis medulla odoramentis imbuuntur hunc in modum: Pingue quod odoratum reddi debet, demptis membranis quo diximus modo elotum, ac vino odorato ᐧnulla maris aqua diluto feruefactum tandem ab igne tollito, ac inibi pernoctare sinito. Tùm altero eiusdem generis vino ac eadem qua priùs mẽsura affuso, ipsum colliquato, & accuratè defæcato: mox nouem eius heminis iunci Arabici drachmas septem adijcito. Quòd si ipsum flagrantioris odoris fieri voles, quadraginta floris eiusdem drachmas superaddito, cum palmæ, cassiæ & calami totidẽ singulorũ drachmis: aspalathi & xylobalsami ana drachma vna: adde & cinnamomi, cardamomi, nardi, ana vnciá vná. Omnia verò ᐧminutiùs cõtũdãtur: deinde affuso vino odorato vas operculatum supra carbones firmiter collocato, ac ter omnia conferuefacito, túmque vas ab igni semotum pernoctare sinito. Postridie vino effuso, nouóque generis eiusdẽ addito, ter simili modo conferuefacito atque dimittito. Manè verò exempto pingui vinum effundito, & abluto vase, purgatóq; quod imo subsidens hæserat, ipsum eliquato: postremò excolatum ad vsus recondito. Hoc eodem modo imbuitur odoramentis quod anteà curatum est. Verùm antedicta pinguia in sequentẽ modum priùs inspissari par est, quò faciliùs odoramentorum vires in se recipiant. Itaque assumens quodcunque horum volueris, cũ vino feruefacito, simul immisso myrti ramulo, serpyllo ac cypero, insupérque aspalatho exactiùs tuso. Aliqui tamen ad hunc vsum vno duntaxat horum contenti sunt. Cũ autẽ tertiò efferbuerit, leniter exemptũ & linteo trãsfusum, odoramẽtis, vti demõstratũ est, imbuito. Sed & adipes ita quoq; priùs inspissantur. Adipẽ quẽcunq; volueris recentem, sanguinis expertem,

[Left margin notes: [illegible] — [illegible]]

A ᐧσυάγρειον τε καὶ καμήλιον καὶ ἵππειον καὶ τὰ ὅμοια.

Πῶς τὸ στέαρ ἀρωματιστέον. Κεφ. ϛα.

ᐧἈρωματιστέον δὲ στέαρ μόσχειον καὶ ταύρειον, ἔτι δὲ ἐλάφειον, καὶ μυελὸν τοῦδε τοῦ ζώου τὸν τρόπον τοῦτον· ἐξυμενίσας τὸ μέλλον εὐωδιάζεσθαι, καὶ πλύνας ὡς προει-
B πόμην, καὶ ζέσας οἴνῳ ἀθαλάσσῳ τε καὶ εὐώδει, εἶτα ἀνελόμενος καὶ ἐννυκτερεῦσαι ἀφεὶς· ᐧἕτερον οἶνον ἐκ τοῦ αὐτοῦ γένους ἐπιχέων, τοσοῦτον τῷ πλήθει ὅσος ἦν ὁ ἔμπροσθεν δοθείς, καὶ τήξας ἀφυλίσας τε ἐπιμελῶς, πρὸς κοτύλας ἐννέα τοῦ στέατος ἔμβαλε σχοίνου Ἀραβικῆς ὁλκὰς
C ζ΄. ἐὰν δὲ εὐωδέστερον ποιῆσαι ἐθέλῃς, τοῦ ἄνθους ὁλκὰς μ΄. προσαπόδος δὲ καὶ φοίνικος καὶ κασσίας καὶ καλάμου τὰς ἴσας ὁλκάς· ἀσπαλάθου τε καὶ ξυλοβαλσάμου ἀνὰ ὁλκὴν μίαν· μίξον δὲ καὶ κινναμώμου καὶ καρδαμώμου καὶ νάρδου ᐧἀνὰ οὐγγίαν μίαν· πάντα δὲ ἔστω ὁλοσχε-
D ρέστερα κεκομμένα. εἶτα ἐπίχει οἶνον εὐώδη, καὶ ὑπόθες ἐπ᾽ ἀνθράκων πεπωματισμένον τὸ ἀγγεῖον, καὶ σύζεσον τρίς, ᐧἄρας τε ἀπὸ τοῦ πυρὸς ἔασον ἐννυκτερεῦσαι αὐτό· τῇ δὲ ἐχομένῃ ἀπόχεε τὸν οἶνον, καὶ ἄλλον ἐπιδοὺς τοῦ αὐτοῦ γένους, *σύζευξον ὁμοίως ἕως τρίς, καὶ ἄφες.
E πρωῒ δὲ ἀνελόμενος τὸ στέαρ, ἀπόχει τὸν οἶνον· ἐκπλύνας τε τὸ ἀγγεῖον καὶ καθάρας τὸ πρὸς τῷ πυθμένι καὶ τήξας διϋλίσας τε αὐτό, ἀπόθου καὶ χρῶ. ἀρωματίζεται δὲ καὶ τὸ τεθεραπευμένον τὸν αὐτὸν τρόπον. προστύφεται δὲ τὰ προειρημένα στέατα πρὸς τὸ ῥᾳδίως δέξασθαι
F τὴν τῶν ἀρωμάτων δύναμιν οὕτω· λαβὼν αὐτῶν ὅ, τι ἂν ᐧβούλοιο, ζέσον ἅμα οἴνῳ, συγκαθεὶς μυρσίνης κλάδον, ἕρπυλλόν τε καὶ κύπειρον, ἔτι δὲ ἀσπάλαθον ὁλοσχερέστερον κοπέντα. τινὲς δὲ ἑνὶ τούτων ἀρκοῦνται ᐧτῇ χρήσει. ὅταν δὲ εἰς τρίτον ἀναζέσῃ, ἀνελόμενος πρᾳέως
G καὶ δι᾽ ὀθόνης ὑλίσας, ἀρωμάτιζε ὡς δεδήλωται. ἔτι δὲ καὶ οὕτω πρόστυφε τὰ στέατα· κόψας ὅ, τι ἂν αὐτῶν ἐθέλῃς, πρόσφατον δὲ καὶ ἀμιγὲς αἵματος,

Hæc verba quæ ad capitis finem sequuntur, non leguntur in antiquis codicibus, & habêtur tamẽ apud Serapionẽ. Hoc caput & quod proximè sequitur, non habêtur apud Oribasium.

V. sic ἕτερον οἶνον ἀπὸ τοῦ αὐτοῦ γένους ἐπιχέας τοσοῦτον πλήθει, ὅσος &c.

V. addit καὶ κασσίας

His caret vetus exemplar vsque ad καὶ ἄφες.

V. [illegible]

V. non habet.

τά τε ἄλλα ἔχον ἃ πολλάκις εἴρηται), ἔμβαλε εἰς λοπάδα καινήν· ἐπιχέας τε οἴνου λευκοῦ εὐώδους παλαιοῦ, ὡς ὑπερέχειν δακτύλους ὀκτώ, σύζεσον ἐλαφρῷ χρώμενος πυρί, ἕως τὴν σύμφυτον ὀσμὴν ἀποβάλῃ, καὶ μᾶλλον οἰνίζῃ. εἶτα καθελὼν τὸ ἀγγεῖον καὶ ψύξας, ἀνελοῦ στέατος μνᾶς β΄. καὶ βαλὼν εἰς λοπάδα, προσεπιδοὺς τε τοῦ αὐτοῦ οἴνου κοτύλας δ΄. καὶ λωτίνου καρποῦ, (οὗ τοῖς ξύλοις οἱ αὐλοποιοὶ χρῶνται), κεκομμένου, μνᾶς δ΄. ἕψε πυρὶ κούφῳ διηνεκῶς κινῶν. ὅταν δὲ τὴν στεατώδη ἀποφορὰν ἀποβάλῃ πᾶσαν, διυλίσας αὐτὸ ψῦχε. καὶ λαβὼν ἀσπαλάθου κεκομμένου μνᾶν μίαν, ἀμαρακίνου δὲ ἄνθους μνᾶς τέτταρας, οἴνῳ φύρασον παλαιῷ, καὶ ἔασον μίαν νύκτα πιεῖν. τῇ δὲ ἐχομένῃ εἰς χύτραν κεραμέαν τριχοινιαίαν καινὴν καθεὶς αὐτὰ καὶ τὸ στέαρ. προσαποδοὺς δὲ καὶ χοὸς ἥμισυ οἴνου, καὶ σύζεσον ἅπαντα ὁμοῦ. ὅταν δὲ πάντων τῶν συμμιγμάτων τὴν δύναμιν καὶ τὴν ὀσμὴν ἀπολάβῃ τὸ στέαρ, καθελὼν αὐτὸ καὶ διυλίσας, *τῆξον καὶ ἀπόθου. ἐὰν δὲ εὐωδέστερον ποιῆσαι θέλῃς, μίσγε σμύρνης τῆς λιπαρωτάτης ὁλκὰς η΄. οἴνῳ διειμένας πολυετεῖ. Τὸ δὲ ὀρνίθειον καὶ χήνειον στέαρ οὕτως ἂν εὐωδιασθῇ· λαβὼν οἱουτινος αὐτῶν τεθεραπευμένου κοτύλας δ΄. καὶ καθεὶς εἰς ὀστρακίνην χύτραν, πρόσμιξον ἐρυσισκήπτρου καὶ ξυλοβαλσάμου, ἔτι δὲ φοίνικος ἐλάτης καὶ καλάμου ὁλοσχερῶς κεκομμένου ἀνὰ < ιβ΄. ἐπιδοὺς τε οἴνου Λεσβίου παλαιοῦ κύαθον α΄. θεὶς ἐπ᾽ ἀνθρακιᾶς καὶ σύζεσον τρίς. εἶτα ἀνελόμενος ἀπὸ τοῦ πυρὸς τὸ ἀγγεῖον, καὶ ἐάσας ψυγῆναι τὰ ἐν αὐτῷ ἡμέραν μίαν καὶ νύκτα, τῇ ἐχομένῃ τῆξον αὐτά, καὶ διὰ ῥάκους λινοῦ καὶ καθαροῦ *χύλισον εἰς καθαρὸν ἀγγεῖον. ὅταν δὲ παγῇ, ἀνελόμενος κόγχῳ τὸ προειρημένον εἰς κεραμεοῦν ἀγγεῖον βάλε καινόν, καὶ πωμάσας στεγανῶς, ἀπόθου ἐν καταψύχρῳ τόπῳ. χειμῶνος δὲ ταῦτα δραστέον· ἐν γὰρ θέρει οὐ πήγνυται. τινὲς δὲ πρὸς τὴν σύστασιν αὐτῶν καὶ τὴν πῆξιν, βραχὺ κηροῦ Τυρρηνικοῦ μίσγουσι. τῷ δὲ αὐτῷ τρόπῳ ἀρωματίζεται καὶ τὸ ὕειον, ἄρκειόν τε καὶ τὰ ὅμοια.

In aliis cod. hæc verba sic legit Goupyl. ὡς ἂν τὴν δύναμιν καὶ τὴν ὀσμὴν τῶν συμμάτων. Sed vulgatam scripturam retinendam esse sensus ostendit.
V. τῶν συμμάτων omissa.

A aliásque habentem notas quas sæpe retulimus vbi contuderis, in ollam nouam inijcito: & infuso vino albo odorato vetere quod digitorum octo altitudinem superet, igni lento conferuefacito, donec odorem natiuum deposuerit, ac vinum potiùs redoleat. At vbi deposito vase refrixerit, duas adipis minas eximito, B & in ollam mittito, adijcitóque vini eiusdem heminas quatuor, seminis loti (eius inquam, cuius ligno tibiarum artifices vtuntur) tusi minas quatuor, ac lento igni identidem agitando coquito. Cùm autem adiposam graueolentiam omnem penitus deposuerit, excolatum refrigerari finito. Tùm sumito C aspalathi tusi minam vnam, amaracini floris minas quatuor, ac vino vetere subigito, finitóque noctem vnam combibere. Postridie in ollam fictilem nouam tricongialem ea simúlque adipem demittito, & addito vini dimidio congio simul omnia feruefacito. Pòst vbi spissamentorũ omnium vim & o- D dorem adeps asciuerit, igni detractum excolatúmque refrigerato ac reponito. Quòd si odoratiorẽ reddere volueris, myrrhæ pinguissimæ drachmas octo vino multorum annorum dilutas ammisceto. Gallinaceum autem & anserinum adipem ita possis odoribus imbuere. Cuiusuis eorũ curati heminas qua- E tuor sumito, & olla testacea excipito: ac erysisceptri, xylobalsami, insupérq; palmę elatæ, & calami exactè tusi ana drachmas XII admisceto, adiectóque vini Lesbij veteris cyatho vno prunis admoueto, ac ter cõferuefacito: mox vase sublato ab igne, quæ in eo sunt diem vnam noctémque refrigerari finito. F Postridie liquata per pannum lineum mundum in vas nitidum excolato. Vbi verò coierit adeps, concha exemptũ in fictile vas nouum conijcito, quod arctè operculatum loco perquàm frigido reponito. Cæterùm hæc hyberno tempore peragẽda sunt: neque enim æstate G adeps cõcrescit. Sunt qui quò faciliùs omnia coeant atq; cõcrescant, ceræ Tyrrhenicæ momentum admiscent. Eadem verò arte suillus adeps & vrsinus, cæteríque id genus odoramentis imbuuntur.

Quomodo adeps sampsuchi odore imbuatur. Cap. XCII.

Porrò sampsuchi odore adeps imbuitur hoc modo: Bene curati adipis, præsertímque taurini, minam vnam sumito, & sampsuchi maturi accuratè contusi sesquiminam misceto, atque insperso largiore vino offas conformato, quas in vase operto repositas pernoctare sinito. Matutino in fictilem ollam iniectas affusa aqua leuiter coquito: cúmque suum odorem adeps exuerit, ipsum excolatum ac probè operculatum noctem totam quiescere sinito. Postero die pastillum eximito, ac detersa sorde quæ fundum petierat, iterum sampsuchi contusi, vti dictum est, sesquiminam aliam adijcito, similitérque in offas cogito. Alijs quoque quæ antè diximus peractis, decoquito & colo traijcito: ac detracta si qua fundo hæsit spurcitia, loco perfrigido reponito.

De adipe anserino & gallinaceo. Cap. XCIII.

At si quis incuratum adipem anserinum, gallinaceum, aut vitulinum à putredine tueri velit, ita faciendum est. Ex his assumptum recentem quemuis adipem diligenter eluito, & supra cribrum in vmbra perflandum aëri exponito: ac vbi siccatus fuerit, in linteum mundum inijcito, & manibus vehementer exprimito: dein lino traiectum vmbroso in loco suspendito, & post multos dies noua charta inuolutũ loco perfrigido recondito. In melle quoq; asseruata pinguia imputria permanent.

Adipum vis. Cap. XCIIII.

Vim habent adipes omnes excalfaciendi, molliendi atque rarefaciendi. Taurinus tamen adeps, itémque bubulus ac vitulinus quodammodo astringunt: ad hos proximè accedit leoninus, quem aiunt etiam insidiantibus resistere. Elephantinus verò ac ceruinus peruncti, serpentes fugant. At caprinus astringentior: qua ex cau-

A Πῶς σαμψυχίζεται τὸ στέαρ. Κεφ. ϟβʹ.

Σαμψυχίζεται δὲ στέαρ οὕτω· λαβὼν τοῦ καλῶς τεθεραπευμένου ὅσον μνᾶν μίαν (ἔστω δὲ μᾶλλον ταύρειον) καὶ σαμψύχου ὡραίμου τεθλασμένου ἐπιμελῶς μνᾶν μίαν ἥμισυ μῖξον, καὶ μαγίδας ἀ-
B νάπλασον, ἐπιρραίνων δαψιλέστερον οἶνον, εἶτα ἀποθέμενος αὐτὰς εἰς ἀγγεῖον καὶ σκεπάσας, ἔασον νυκτερεῦσαι. πρωῒ δὲ εἰς κεραμέαν χύτραν ἐμβαλὼν, καὶ ὕδωρ ἐπιχέας, ἕψε κούφως. ὅταν δὲ τὴν ἰδίαν ὀσμὴν ἀποβάλλῃ τὸ στέαρ, διϋλίσας αὐτὸ καὶ ἐάσας μεῖναι ὅλην τὴν νύκτα πεπωμα-
C σμένον καλῶς, τῇ ἐπιούσῃ ἀνελόμενος τὸν τροχίσκον, καὶ *προσαποψύξας τὴν ἐν τῷ πυθμένι ῥυπαρίαν, μῖξον πάλιν σαμψύχου κεκομμένου, ὡς εἴρηται, ἄλλην μνᾶν μίαν ἥμισυ, καὶ ὡσαύτως ἀνάπλασον μαγίδας, ποιῶν καὶ τὰ ἄλλα ἃ προείρηται. ἐπὶ πᾶσι δὲ ἑψήσας καὶ διϋλίσας,
D ἀφελών τε εἴ τις ἐν τῷ πυθμένι ῥυπαρία ὑπάρχει, ἀπόθου ἐν καταψύχρῳ τόπῳ.

Περὶ Στέατος χηνείου καὶ ὀρνιθείου. Κεφ. ϟγʹ.

ΕΙ δὲ ἀθεράπευτον στέαρ ἢ χήνειον ἢ ὀρνίθειον ἢ μόσχειον θέλῃ τις ἄσηπτον διατηρῆσαι, οὕτω ποιητέον αὐτό· λαβὼν πρόσ-
E φατον ὁποῖον αἰ *βούλει, ἔκπλυνον ἐπιμελῶς, καὶ διαψύξας ἐπὶ κοσκίνου ἐν σκιᾷ, μετὰ τὸ ξηρανθῆναι ἔμβαλε εἰς ὀθόνην καθαρὰν, καὶ ταῖς χερσὶν ἐκπίεσον *βιαίως, εἶτα λίνῳ διείρας κρέμασον ἐν τόπῳ σκιερῷ· μετὰ δὲ ἡμέρας πολλὰς καινῷ ἀποδήσας χάρτῃ, ἀπόθου ἐν καταψύχρῳ
F τόπῳ. ἄσηπτα διαμένει καὶ ἐν μέλιτι ἀποτεθέντα.

V. ἂν

Alter hoc loco ἐρρωμένως, eodē sensu. Goup.

Στεάτων δύναμις. Κεφ. ϟδʹ.

Hoc caput coniunctum est cum superioribus in antiquis libris. Goup. Ald. [illegible] sed male.

*Δύναμιν δὲ ἔχει τὰ στέατα πάντα θερμαντικὴν, μαλακτικὴν, *ἀραιωτικήν. τὸ μέντοι ταύρειον στύφει πως, καὶ τὸ βόειον, καὶ τὸ μόσχειον· καὶ τὸ λεόντειον δὲ ἀναλογεῖ
G τούτοις· φασὶ δὲ αὐτὸ καὶ ἀντιφάρμακον τοῖς ἐπιβουλευομένοις εἶναι. τὸ δὲ ἐλεφάντειον καὶ ἐλάφειον, ἑρπετὰ διώκει χριόμενον. τὸ δὲ αἴγειον, στυπτικώτερον· ὅθεν

δυσεντερικοῖς δίδοται σὺν ἀλφίτῳ καὶ ῥοῒ A
καὶ τυρῷ καθεψόμενον, ἐγκλύζεταί τε μετὰ πτισάνης χυλῷ. ὡσαύτως δὲ καὶ φθισικοῖς ἐν ῥοφήμασιν ὁ ἐξ αὐτῶν ζωμὸς, καὶ τοῖς κανθαρίδας πεπωκόσιν ὠφελίμως δίδοται. τὸ δὲ τράγειον διαφορητικώτατον ὂν, βοηθεῖ ποδαγρικοῖς, φυραθὲν σὺν αἰγὸς σπυράθοις καὶ κρόκῳ, καὶ ἐπιτιθέμενον· καὶ τὸ B
προβάτειον δὲ ἀναλογεῖ τούτῳ. ὕειον δὲ ἀναλογεῖ τοῖς περὶ ὑστέρας καὶ ἕδραν· ὃ καὶ πυρικαύστοις ἁρμόζει. τὸ δὲ ταριχηρὸν ὕειον ὡς ἔτι παλαιότατον, θερμαντικὸν καὶ μαλακτικόν. οἴνῳ δὲ πλυθὲν ἁρμόζει πλευριτικοῖς, σὺν τέφρᾳ ἢ ἀσβέστῳ ἀναληφθὲν, καὶ πρὸς οἰδήματα καὶ φλεγμονὰς καὶ σύριγγας. τὸ C
δὲ ὄνειον φασὶν οὐλὰς ὁμοχρόους ποιεῖν. χήνειον δὲ καὶ ὀρνίθειον πρὸς τὰ γυναικεῖα, καὶ ἐπὶ ῥήξεις χειλῶν, καὶ *προσώπων ἐπιμελείας, καὶ ὠταλγίας ἁρμόζει. τὸ δὲ ἄρκειον δοκεῖ τριχοφυὲς εἶναι ἀλωπεκιῶν, καὶ χιμετλιῶσιν ἁρμόζει· τὸ δὲ τῆς ἀλώπεκος στέαρ, πρὸς ὠταλγίας. τὸ δὲ τῶν ποταμίων ἰχθύων D
ὀξυδερκὲς ἐγχριόμενον, ἀποτακὲν ἐν ἡλίῳ, καὶ μέλιτι μιγέν. τὸ δὲ τῆς ἐχίδνης, πρὸς *ἀμβλυωπίας, ἔτι δὲ ὑποχύσεις ἐνεργεῖ, μιγὲν κεδρίᾳ καὶ μέλιτι Ἀττικῷ, καὶ ἐλαίῳ παλαιῷ ἴσον. ἐκτιλθείσας δὲ τὰς ἐν μασχάλῃ τρίχας, πρὸς τὰς ῥίζας καταχρισθὲν καθ' ἑαυτὸ πρόσφατον, ἐξιτήλους ποιεῖ. E

In alt. scriptū est περὶ ὄψιν sed vulgata scriptura melior est. Goup.

V. ἀμβλυώσεις

Περὶ Μυελῶν. Κεφ. ϟε'.

ΜΥΕΛΩΝ δὲ κράτιστός ἐστιν ἐλάφειος, εἶτα μόσχειος, καὶ μετὰ τοῦτον ταύρειος, εἶτα αἴγειος καὶ προβάτειος. συνίσταται δὲ θέρους τοῦ συνεγγίζοντος τῷ φθινοπώρῳ. ἐν γὰρ τοῖς ἄλλοις καιροῖς, αἱμαλωπὶς καὶ οἱονεὶ σὰρξ εὔθρυπτος ἐν τοῖς ὀστέοις εὑρίσκεται. F
ἔστι δὲ δύσγνωστος, ἐὰν μή τις αὐτὸν *ἐξοστεΐσας ἴδῃ, καὶ ἀποθῆται. ἅπαντες δέ εἰσι μαλακτικοί, ἀραιωτικοί, *θεραπευτικοί, πληρωτικοὶ ἑλκῶν. ὁ δὲ ἐλάφειος περιχρισθεὶς καὶ θηρία διώκει. θεραπεύεται ὁ πρόσφατος μαλαχθεὶς ὡς στέαρ *περιχεομένου ὕδατι ἐκλεγομένων τῶν ὀστέων, G
εἶτα δι' ὀθόνης ὑλισθεὶς, καὶ ὡσαύτως πλυθεὶς, ἄχρις ἂν τὸ ὕδωρ καθαρὸν γέ-

Vetus scriptura est, & quæ adhuc est in antiquis libris ἐξοστεΐσας. Goup.

ſa cum polenta, rhoë & caſeo decoctus dyſentericis exhibetur, & cum ptiſſanæ ſucco infunditur. Ipſorum quoque ius phthiſicis in ſorbitione prodeſt, ac ijs etiamnum qui cantharidas hauſerunt vtiliter datur. Hircinus porrò, vt qui validiſſimè diſcutiat, podagricis auxiliatur cũ caprinis baccis & croco ſubactus & impoſitus. Sed & huic quoque ouillus proportione reſpondet. Suillus autem ad vuluæ ſediſque vitia accõmodatur: & igni quoque ambuſtis conuenit. Idem ſale conditus & quàm vetuſtiſſimus excalfacit & emollit: vino verò lotus, pleuriticis prodeſt. At cinere aut calce exceptus, tum œdematis, tum inflammationibus ac fiſtulis conuenit. Aſininum autem tradunt cicatrices corpori concolores reddere. Porrò anſerinus & gallinaceus muliebribus malis conueniũt, nec non etiam ad labiorum rimas, ad curandam faciei cutem, & contra aurium dolores. Vrſinus verò alopecijs capillos reſtituere creditur, ac pernionibus quoque ſubuenit. At vulpinus medetur auriũ doloribus. Fluuiatilium autem piſcium adeps inunctis oculis claritatem affert, ſi quidem in ſole liquatus mellique admiſtus fuerit. Viperinus verò cõtra oculorum hebetudines ac ſuffuſiones etiam efficax eſt, additis cedriæ, mellis Attici & olei veteris æquis partibus. At pilos abolet alis euulſos, ſi recens ac per ſe ad radicũ veſtigia illinatur.

De Medullis. Cap. XCV.

EX medullis laudatiſſima eſt ceruina: mox vitulina: poſt hãc taurina, deinde caprina & ouilla. Colliguntur verò æſtatis ea parte quæ autumno proxima eſt: aliis enim anni temporibus ſanguinis concrementum, & veluti caro friabilis in oſſibus reperitur: ſed neque facilè dignoſcitur, niſi ab eo qui ipſam oſſibus extraxerit atque repoſuerit. Omnes porrò medullæ molliunt, rarefaciunt, ad apotherapiam valent, & vlcera explent. Ceruina verò peruncta, venenatas quoque beſtias fugat. Curatur autem recens ſelectis oſſibus adipis in modum: nam & affuſa aqua primùm ſubigitur, deinde per linteũ excolatur, ac ſimiliter eluitur, donec aqua pura con-

ſpiciatur. Poſtmodũ in duplici vaſe liquatur excepta ſorde penna, ſi qua innatet, & in pilam transfunditur: poſteaquàm verò coierit, fæce quæ ſubſidet accuratè deraſa, in fictili vaſe nouo reponitur. Quòd ſi libet incuratam recondere, eadem omnia facito, quæ de gallinaceo & anſerino adipe demonſtrauimus.

De omni fellis genere. Cap. XCVI.

FEL omne recõditur hoc modo: Acceptum recens, vbi os folliculi lino præligaueris, in aquam feruentem deponito, tãdiúque dimittito, dum quis trium ſtadiorum ſpatium conficeret: dein exemptum ſiccato loco vmbroſo ac minimè humecto. Sed quod ad oculorũ medicamenta placebit adijcere, lineo filo deligatũ in lagenulam vitream quæ mel habeat, immittito, & circa lagenulæ oſculũ obligato fili principio, operculum addito atque recondito. Omnia porrò fellis genera acria ſunt & excalfaciunt: maioris tamen minoríſve efficaciæ ratione inter ſeſe differunt. Siquidem præſtantioris effectus eſſe videntur fella marini ſcorpij, piſcis qui callionymus dicitur, marinæ teſtudinis & hyænæ: itémque perdicis, aquilæ, gallinæ candidæ, & capræ ſylueſtris: quod quidẽ priuatim confert ad incipientes ſuffuſiones, caligines, argema & genarum ſcabritias. Ouillo, hircino, ſuillo, atque etiam vrſino taurinum efficacius. Omnia verò aluum ad deiectionẽ inuitant, præſertim infantibus, ſi quis eo intinctum lanæ tomentum ſedi admoueat. Priuatim taurino anginoſi cum melle perunguntur, ac ſedis vlcera etiam perſanantur, & ad cicatricem vſque perducuntur. Medetur & purulentis auribus, earúmque fracturis cũ lacte caprino aut muliebri: earundem verò ſibilo, cum porri ſucco inſtillatum. Ammiſcetur quoq; vulnerarijs emplaſtris & circumlitionibus quæ cõtra venenata parantur. Phagedænicis etiam vlceribus, ac pudendi ſcrotíque doloribus ex melle prodeſt. Lepras etiamnum ac furfures cũ nitro aut terra Cimolia exterit

A νηται. ἔπειτα ἐν διπλώματι τακεὶς, ἐπαναληφθείσης πτερῷ τῆς ἐπινηχομένης ῥυπαρίας, καὶ διυλισθεὶς εἰς θυίαν, μετὰ τὸ παγῆναι ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ καινῷ, ἀπεξυσμένης ἐπιμελῶς τῆς ὑποστάθμης. εἰ δὲ ἀθεράπευτον ἀποτίθεσθαι βούλει, ποίει πάντα, ὡς ἐπὶ τοῦ ὀρνιθείου
B καὶ χηνείου στέατος ὑπεδείξαμεν.

Περὶ Χολῆς πάσης. Κεφ. ϛϛ'.

ΧΟΛΗ πᾶσα ἀποτίθεται τοῦτον τὸν τρόπον· λαβὼν τὴν πρόσφατον, καὶ ἀποδήσας τὸ στόμα αὐτῆς λίνῳ, καθὲς εἰς ὕδωρ ζέον, διάλιπων χρόνον τοσοῦτον, ὅσον αὐτὶς τριῶν σταδίων δρόμον ἀνύσειεν. εἶτα ἐξελὼν, V. αἰτιλὰ ἐσθίει
C ξήραινε ἐν τόπῳ σκιερῷ καὶ ἀνίκμῳ. τὰς δὲ εἰς τὰ ὀφθαλμικὰ λίνῳ ἀποδήσας, βάλε εἰς βυκίον ὑελοῦν ἔχον μέλι· καὶ τὴν ἀρχὴν τοῦ λίνου περιδήσας τῷ στόματι τοῦ βυκίου, πωμάσας ἀπόθου. εἰσὶ δὲ πᾶσαι αἱ χολαὶ δριμεῖαι, θερμαντικαὶ τῷ μᾶλλόν τε καὶ ἧττον κατὰ δύναμιν ἀλλήλων διαφέρουσαι·
D δοκοῦσι δὲ ἐπιτεταμέναι εἶναι, ἥ, τε τοῦ θαλασσίου σκορπίου καὶ ἰχθύος τοῦ λεγομένου καλλιωνύμου, χελώνης τε θαλασσίας καὶ ὑαίνης· ἔτι δὲ πέρδικος καὶ ἀετοῦ, καὶ ἀλεκτορίδος λευκῆς, καὶ αἰγὸς ἀγρίας· ἰδίως ἁρμόζουσα πρὸς ἀρχομένας ὑποχύσεις καὶ ἀχλὺς, ἄργεμά τε καὶ τραχέα Ald. καλλιωνίου. V. καλλιωνύμου.
E βλέφαρα. τῆς δὲ τοῦ προβάτου καὶ τοῦ τράγου καὶ τοῦ συὸς, ἔτι δὲ ἄρκτου ἐμπρακτικωτάτη ἐστὶν ἡ ταυρεία. πᾶσαι δὲ προθυμίαν πρὸς διαχώρησιν ἐργάζονται, καὶ μᾶλλον παιδίων, εἴ τις κροκίδα βάψας προσθείη τῷ δακτυλίῳ. ἡ δὲ ταυρεία ἰδίως ἐπὶ συναγχικῶν διαχρίεται
F σὺν μέλιτι· ἀποθεραπεύει τε τὰ ἐν δακτυλίῳ μέχρις οὐλῆς. πυορροοῦντά τε ὦτα, καὶ τὰς ἐπ' αὐτῶν ῥήξεις σὺν γάλακτι αἰγείῳ ἢ γυναικείῳ ἐνσταζομένη· πρὸς δὲ συριγμοὺς, σὺν πράσου χυλῷ· εἴς τε τὰς τραυματικὰς ἐμπλάστρους μιγνυμένη, καὶ θηLacuna addi ſcribit in vet. codi ἀφλεγμάντοις
G ριακὰς περιχρίσεις· καὶ πρὸς φαγεδαινικὰ ἕλκη καὶ ὀδύνας αἰδοίου καὶ ὀσχέου, σὺν μέλιτι· πρὸς δὲ λέπρας καὶ πίτυρα, σὺν νίτρῳ ἢ γῇ Κιμωλίᾳ σμῆγμα

κράτιστον. καὶ ἡ προβατεία δὲ πρὸς αὐτὰ καὶ ἡ ἀρκτεία, ἐνδεέστεραι δὲ τυγχάνουσιν. ἐκλειχομένη δὲ ἡ ἀρκτεία ἐπιληπτικοὺς ὠφελεῖ. ἡ δὲ τῆς χελώνης πρὸς συνάγχας καὶ τὰς ἐπὶ τῶν παίδων νομὰς ἐν στόματι. καὶ ἐπιληπτικοῖς ἐντεθεῖσα ταῖς ῥισίν. αἰγὸς δὲ ἀγρίας ἰδίως νυκτάλωπας θεραπεύει ἐγχριομένη. καὶ ἡ τοῦ τράγου δὲ τὸ αὐτὸ ποιεῖ, θύμιά τε αἴρει, καὶ τὰς ἐπὶ τῶν ἐλεφαντιώντων ὑπεροχὰς καταχριομένη καταστέλλει. ἡ δὲ ὑεία πρὸς τὰ ἐν ὠσὶν ἕλκη καὶ πρὸς τὰ λοιπὰ πάντα ὠφελίμως παραλαμβάνεται.

A potentissimè. Ouillum & vrsinum contra eadem pollent, sed inefficaciora sunt: ac vrsinum quidem eclegmate seu linctu comitiales adiuuat. At verò fel testudinis valet ad anginas & in ore infantiũ nomas: idem naribus inditum comitialibus prodest. Syluestris capræ felle perunćto peculiariter lusciosi sanátur. B Hircinum idem præstat, thymiáque abolet, & luxuriantes elephanticorum extuberationes illitu reprimit. Suillum autem contra aurium vlcera cæteráque omnia vtiliter assumitur.

Περὶ Αἱμάτων. Κεφ. ϟζ'.

Quidam v.c. ita inchoat αἷμα ἐστὶν ψυχῆς ἐστ. χηνὸς καὶ ἐρίφου &c.

C ΑΙΜΑ χηνὸς καὶ ἐρίφου καὶ νήσσης ἀντιδότοις χρησίμως μίγνυται. φάσσης δὲ καὶ τρυγόνος καὶ περιστερᾶς καὶ πέρδικος, εἰς προσφάτους ὀφθαλμῶν τρώσεις καὶ ὑποδρομὰς αἵματος καὶ νυκτάλωπας ἐγχρίεται· ἰδίως δὲ τὸ τῆς περιστερᾶς, αἱμορραγίας τὰς ἐκ μηνίγγων ἐπέχει. D τὸ δὲ τοῦ τράγου καὶ αἰγὸς καὶ ἐλάφου καὶ λαγωοῦ, ὀπτὸν ἀπὸ τηγάνου λαμβανόμενον, δυσεντερίας καὶ κοιλιακὰς ῥύσεις ἐφίστησι· μετ' οἴνου δὲ ποθὲν πρὸς τοξικὰ ποιεῖ. τὸ δὲ τῶν λαγωῶν θερμὸν καταχριόμενον, ἐφηλίδας καὶ φακοὺς θεραπεύει. καὶ τὸ ἀπὸ τῶν κυνῶν δὲ ποθὲν, λυσσοδήκτοις καὶ τοξικὸν πεπωκόσιν ἁρμόζει. E τὸ δὲ τῆς χερσαίας χελώνης ποθὲν, ἐπιληπτικοῖς ἱστορεῖται ἁρμόζειν. θαλασσίας δὲ χελώνης σὺν οἴνῳ καὶ πυτίᾳ λαγωοῦ καὶ κυμίνῳ πινόμενον, ἁρμόζει πρὸς θηριοδήγματα καὶ φρύνου πόσιν. ταύρου δὲ αἷμα διαφορεῖ καὶ μαλάσσει σκληρίας καταπλασσόμενον μετὰ ἀλφίτων. F τὸ δὲ τῶν ὀχευτῶν ἵππων, σηπτοῖς μίγνυται. τὸ δὲ τοῦ χαμαιλέοντος, τρίχας ψιλοῦν ἐπὶ τῶν βλεφάρων πεπίστευται· καὶ τὸ τῶν χλωρῶν βατράχων ὁμοίως. γυναικὸς δὲ τὸ ἐπιμήνιον περιαλειφόμενον καὶ ὑπερβαινόμενον, ἀσυλλήπτους δοκεῖ ποιεῖν γυναῖκας· G ποδαγρικὰς δὲ ὀδύνας καὶ ἐρυσιπέλατα κουφίζει καταχριόμενον.

De sanguinis varijs generibus. Cap. XCVII.

SANGVIS anseris, anatis & hœdi vtiliter in antidota miscetur. Palumbi autem, turturis, columbæ ac perdicis, recentibus oculorũ vulneribus, iisdem sugillatis seu sanguine suffusis, ac lusciosis illinitur. Peculiariter verò columbæ sanguis erumpẽtem è meningibus sanguinem inhibet. Hirci autem, capræ, cerui & leporis sanguis inassatus sartagine & assumptus, dysenterias & cœliacorum profluuia sistit. In vino verò potus contra toxica efficax est. Leporinus calens adhuc illitus, faciei maculas à Solis ardore contractas & lentigines emendat. Caninus commodè propinatur à cane rabioso demorsis, iisque qui toxicum hauserint. Testudinis terrestris epotum sanguinem tradunt prodesse comitialibus. Marinæ autem testudinis cum vino, leporis coagulo & cumino potus, contra venenatarum bestiarum morsus & hausta rubetæ venena conuenit. Taurinus cum polenta impositus, duritias discutit, emollítque. At equorum admissariorum sanguis in septica seu erodentia pharmaca additur. Chamæleonis autem, similitérque viridium ranarum sanguine palpebrarũ pilos aboleri creditum est. Menstruus verò fœminæ sanguis existimatur circumlitu præstare ne concipiant mulieres, itémque si eum ipsæ supergrediantur. Cæterùm leuat illitus podagræ dolores, & erysipelata.

De fimo. Cap. XCVIII.

ARMENTALIS bouis fimus, si recens admoueatur, inflammationes ex vulneribus lenit: folijs autem inuoluitur, & cinere feruenti calefit, atque ita imponitur. Simili quoque modo applicitus vice fotus, coxēdicis cruciatus compescit. Ex aceto verò illitus, duritias, strumas & panos discutit. Priuatim verò bouis masculi fimus prolapsum vterum suffitu restituit: accēsi quoque nidore culices abiguntur. Caprarum, pręsertimque in montibus degentium, baccæ ex vino bibitæ regium morbum emendant: cum aromatibus verò potę, menses ciūt, & partus euocant. Siccæ tritæque & cum thure in vellere appositæ, fluxum muliebrem cohibent, aliásque sanguinis eruptiones ex aceto compescunt. Vstæ & cum aceto aut oxymelite illitæ, alopecijs medentur. Cum axungia verò adhibitæ, podagricis sunt auxilio. In aceto aut vino decoctę, serpentium morsibus, herpetibus, erysipelatis & parotidibus imponuntur. Quin & ischiadicis vstio earum ope administratur vtiliter hunc in modum: In eo cauo quod est inter pollicem & indicē, qua parte pollex carpo committitur, lana oleo imbuta priùs substernitur, ac deinde singulatim imponuntur fimi caprini feruentes pilulæ, donec sensus per brachium ad coxendicem perueniat, dolorémque mitiget: atque adustio eiusmodi, Arabica appellatur. At verò stercus ouillum ex aceto impositum sanat epinyctidas, clauos, thymos & pensiles verrucas: itémque ambusta igni cerato rosaceo exceptum. Aprugnum autem aridum in aqua aut vino potum, sanguinis reiectionem sistit, ac diuturnum sedat lateris dolorem: sed ad rupta & conuulsa ex aceto bibitur, luxatis verò exceptum cerato rosaceo medetur. Porrò tam asinorum quàm equorum fimum, siue crudum, siue crematum addito aceto sanguinis eruptiones cohibet. Armentinorum verò qui herba pascuntur siccum fimum, insuccatum vino, mox bibitum, à scorpione ictis magnoperè auxiliatur.

A Περὶ ἀποπάτου. Κεφ. ϟη'.

ΑΠΟΠΑΤΟΣ βοὸς νομάδος πρόσφατος ἐπιτεθεὶς, φλεγμονὰς τὰς ἐκ τραυμάτων πραΰνει. ἐνειλεῖται δὲ φύλλοις καὶ θερμαίνεται ἐπὶ θερμοσποδιᾶς, καὶ οὕτως ἐπιτίθεται. καὶ ἰσχιάδος δὲ πυρία πραϋντικὴ ἡ τοιαύτη ἐπίθεσις· σὺν ὄξει δὲ καταπλασθεῖ- B σα, σκληρίας καὶ χοιράδας διαλύει καὶ φύγεθλα. ἰδίως δὲ ἄρρενος βοὸς βόλβιτον, ὑστέρας προπεπτωκυῖαν ὑποθυμιώμενον ἀποκαθίστησι· διώκει δὲ καὶ κώνωπας θυμιαθέν. αἰγῶν δὲ σπύραθοι μάλιστα ὀρεινῶν πινόμεναι σὺν οἴνῳ, ἴκτερον ἀποκαθαίρουσι· σὺν ἀρώματι δὲ ποθεῖσαι ἔμμηνα κινοῦσι, C καὶ ἔμβρυα * ἐκβάλλουσι· ξηραὶ δὲ λεῖαι σὺν λιβανωτῷ προστεθεῖσαι ἐν ἐρίῳ, γυναικεῖον ῥοῦν ἐπέχουσι, καὶ τὰς ἄλλας αἱμορραγίας σὺν ὄξει στέλλουσι· καεῖσαι δὲ, ἀλωπεκίας θεραπεύουσι, μετ' ὄξους ἢ ὀξυμέλιτος καταχριόμεναι· σὺν ὀξυγγίῳ δὲ καταπλασσόμεναι, ποδαγρικοὺς ὠφελοῦ- D σιν. ἑψηθεῖσαι δὲ μετ' ὄξους ἢ οἴνου, ἐπιτίθενται πρὸς ἑρπετῶν δήγματα καὶ ἕρπητας, καὶ ἐρυσιπέλατα, καὶ παρωτίδας. καὶ ἐπὶ ἰσχιαδικῶν δὲ ἡ δι' αὐτῶν καῦσις ὠφελίμως παραλαμβάνεται τὸν τρόπον τοῦτον· ἐπὶ τὸ μεταξὺ μέρος τοῦ * ἀντίχειρος, συνεγγίζον δὲ τῷ καρπῷ κοῖλον, προϋποθεὶς ἔ- E ριον ἐλαίῳ βεβρεγμένον, ἐπιτίθει κατὰ μίαν σπύραθον πυρίαν, ἄχρις ἂν ἡ αἴσθησις διὰ τοῦ βραχίονος ἐπὶ τὸ ἰσχίον ἔλθῃ καὶ παύσῃ. καλεῖται δὲ ἡ τοιαύτη καῦσις Ἀραβική. ἡ προβάτων δὲ ἄφοδος σὺν ὄξει καταπλασθεῖσα, ἐπινυκτίδας, ἥλους, θύμους, ἀκροχορδόνας F ἰᾶται· πυρίκαυστα δὲ κηρωτῇ ῥοδίνῃ ληφθεῖσα. ὑὸς δὲ ἀγρίου ξηρὰ μεθ' ὕδατος ἢ οἴνου ποθεῖσα, αἵματος ἀναγωγὴν ἴσχει, καὶ χρόνιον ἄλγημα πλευρᾶς πραΰνει. ῥήγματα δὲ καὶ σπάσματα μεθ' ὄξους πινομένη· στρέμματα δὲ θεραπεύει ἀναληφθεῖσα κηρωτῇ ῥοδίνῃ. ὄνων δὲ καὶ ἡ τῶν ἵππων, G αἱμορραγίας ἵστησιν, ὠμή τε καὶ κεκαυμένη ὄξει μιγεῖσα· ἡ δὲ τῆς ἐξ ἀγέλης ὄντος * ποηφάγου, ξηρὰ χυλισθεῖσα ἐν οἴνῳ καὶ ποθεῖσα σκορπιοπλήκτοις σφόδρα βοηθεῖ.

Lacuna legit, κτείνουσι

V. inserit ἀφέδρα.

A περισσερᾶς δὲ, θερμαντικωτέρα καὶ καυστικωτέρα, χρήσιμος ὠμηλύσει μιγνυμένη· σὺν ὄξει δὲ, χοιράδας διαφορεῖ· ἄνθρακάς τε περιρρήττει σὺν μέλιτι καὶ λινοσπέρμῳ καὶ ἐλαίῳ λεανθεῖσα. πυρίκαυστά τε θεραπεύει. καὶ ἡ τῶν ἀλεκτορίδων δὲ ταῦτα ποιεῖ, ἐνδεεστέρως μὲν τοι. πλὴν

B ἰδίως πρὸς μύκητας θανασίμους καὶ κώλου ἀλγήματα ἁρμόζει, μετ' ὄξους ἢ οἴνου πινομένη. πελαργοῦ δὲ, σὺν ὕδατι ποθεῖσα ἐπιληπτικοῖς ἁρμόζειν πιστεύεται. γυπὸς ὑποθυμιαθεῖσα, ἔμβρυα ἐκτινάσσειν παραδίδοται. μυῶν, λεία σὺν ὄξει ἀλωπεκίας καταχριομένη

C θεραπεύει· σὺν λιβανωτῷ δὲ καὶ οἰνομέλιτι πινομένη, λίθους ἐκκρίνει· προστιθέμενα δὲ παιδίοις τὰ μυόχοδα, κοιλίαν πρὸς ἔκκρισιν ἐρεθίζει. κυνὸς δὲ ἡ ἐν τοῖς * κυνοκαύμασι ληφθεῖσα, ξηρὰ πινομένη μεθ' ὕδατος ἢ οἴνου, κοιλίαν ἐφίστησιν. ἡ δὲ τῶν ἀνθρώπων πρόσφατος

D καταπλασθεῖσα, ἀφλέγμαντα μετὰ τοῦ προσκολλᾶν φυλάττει τὰ τραύματα· ξηρὰ δὲ μετὰ μέλιτος διαχριομένη, ἐπὶ συναγχικῶν βοηθεῖν παραδίδοται. ἡ δὲ τοῦ χερσαίου κροκοδείλου, ἁρμόζει ἐπὶ τῶν γυναικῶν, πρὸς εὐχροιαν καὶ στίλβωσιν * τοῦ προσώπου. καλλίστη

E δέ ἐστιν ἡ * λευκοτάτη καὶ εὔθρυβής, κούφη τε ὥσπερ ἄμυλον, ταχέως τε χυλουμένη ὑπὸ ὑγροῦ· διατριβεῖσά τε * ὕποξυς καὶ ζυμίζουσα τὴν ὀσμήν. δολίζουσι δὲ αὐτὴν, ψᾶρας ὀρύζῃ τρέφοντες, καὶ τὴν ἄφοδον ὁμοίαν οὖσαν πωλοῦντες. ἕτεροι δὲ, ἄμυλον ἢ κιμωλίαν φυρῶντες, καὶ * χρώζοντες ἀγχούσῃ

F δι' ἀραιοῦ κοσκίνου, εἰς ὀλίγον ἀπηθοῦσι καὶ ξηράναντες ὡς σκωλήκια πωλοῦσιν ἀντὶ ταύτης.*

V. κυνοκαύμασι. | Sic Goup. Vulg. ... | V. χρώζοντες ἐν ὀλίγῳ ἐγχοῦντες δι' ἀραιοῦ κοσκίνου

A Columbinum, quoniam vehementiùs & excalfacit & vrit, hordeaceæ farinæ vtiliter admiſcetur, & ex aceto quidem, ſtrumas diſcutit: carbunculos verò emarginat cum melle, lini ſemine & oleo tritum: necnon etiam ambuſtis igni medetur. Gallinaceum hæc eadem, ſed inefficaciùs præſtat. Priuatim tamen

B contra lethales fungos & coli cruciatus confert, ſi ex aceto aut vino bibatur. Ciconiæ verò fimum ex aqua potum, comitialibus prodeſſe creditur. At vulterinũ ſuffumigatũ, partum excutere traditur. Murinũ autem tritum cum aceto & illitum alopecijs medetur: cum thure verò & mulſo potum, calculos expellit.

C Sed & ſubditæ infantibus muſcerdæ aluum ad deiectionem ſtimulant.] Caninum ſtercus, quod per caniculæ ardores exceptum fuerit, aridum cum vino aut aqua potum, aluum cohibet. At humanum recens impoſitũ, vulnera ab inflammatione vindicat, ſimul & agglutinat. Siccum verò cum melle per-

D unctum, anginoſis auxiliari traditur. Terreſtris autem crocodili fimum mulieribus confert ad colorandam illuſtrandámque faciem. Optimum verò quod candidiſſimum & friabile, amyli modo leue, in humore ſtatim eliqueſcẽs, quódque cum * teritur ſubacidum eſt, fer-

E mentúmque redolet. Sunt qui id vẽdant adulteratum fimo non diſſimili ſturnorum, quos oryza paſcunt. Alij amylum aut cimoliam ſubigunt, & inducto paululum anchuſæ colore per rarius cribrum in tabulas exprimunt, mox illud qualecunque eſt vermiculorum ſpecie ſiccatũ pro terreſtris crocodili ſter-

F core vendunt. [Cæterùm humanum ſtercus ſiccũ cum melle ſubactum, & gutturi impoſitum, quemadmodum & caninum, anginoſis opitulari inter arcana reperimus.]

Pl. cum teritur inter digitos fermentiſsans.

Περὶ οὔρων. Κεφ. ϙθ'.

ΟΥΡΟΝ ἀνθρώπου τὸ ἴδιον ποθὲν πρὸς ἐχίδνης δήγματα ἁρμόζει, καὶ πρὸς θανάσιμα καὶ ἀρχομένους ὑδρωπας, καὶ πρὸς * δῆξιν τῶν θαλασσίων ἐχίδνων, καὶ σκορπίου θαλασσίου, καὶ δράκοντος, ἐπαντλούμενον. τὸ δὲ κυνὸς,

De vrinis. Cap. XCIX.

HVMANAM vrinam ſuam cuique bibere prodeſt contra viperæ morſus & lethalia pharmaca,

G incipientémque hydropem. Marinorum verò echinorum, ac ſcorpionis itidẽ marini, draconiſque ictus conuenienter ea fouentur. Canina rabidi

rabidi canis morsibus perfundendis idonea est: lepras quoque & pruritus nitro addito exterit. Sed vetus achoras, furfures, psoras & feruidas eruptiones potentiùs extergit: quin & nomas, etiam genitalium, cohibet. Purulentis quoque auribus infusa, pus earum supprimit: sed & in malicorio decocta vermiculos earũ abigit. At impubis pueri absorpta vrina, orthopnoicis confert: decocta verò in æreo vase cum melle cicatrices, argema & caligines emendat. Quinetiam ex ea & ęre Cyprio paratur gluten auro ferruminando idoneum. Quod autem in vrina subsidit, erysipelata illitu mitigat. Feruefactum cum cyprino & appositum, vteri dolorem demulcet, vuluæ strangulatione vexatas leuat, genas deterget, & oculorum cicatrices *expurgat. Taurinum lotium cũ myrrha tritum & instillatum, dolores aurium lenit. Aprinum iisdem viribus prȩditum est: sed peculiariter vesicę calculos potu cõminuit & expellit. Caprinum traditur ad aquã quę cutẽ subiit cum spica nardi & aquę binis cyathis quotidie bibitum vrinas & aluum ducere: instillatum verò, aurium mederi doloribus. Cęterùm nephriticos ferunt asinino sanari.

De Lyncurio. Cap. C.

Lyncis vrinã, quã Lyncurium appellãt, simulatq; meijtur lapidescere frustrà creditum est: quare vana quoque est & inutilis quæ de eo fertur historia. Est enim quod à nõnullis vocatur succinum pterygophorõ, ideò dictum quòd pennas ad se alliciat. Id potum ex aqua stomacho aluoq; fluxione laborãti conuenit.

De Melle. Cap. CI.

PRINCIPEM locum obtinet mel Atticum, quod ab Atticæ regionis monte Hymetto, in quo prouenit, Hymettium appellatur: mox quod è Cycladibus insulis petitur: itémque quod è Sicilia, cognomine Hyblæum. Magis probatur dulcius & acre, odoratius, subflauum, minimè liquidum, sed glutinosum ac *firmum, quódque dum trahitur [ob sequacem lentitiam] in digitos veluti resilit. Porrò abstergendi vim habet, ora vasorum aperit,

A ἐπιβρόχημα κυνοδήκτοις, καὶ πρὸς λέπρας καὶ κνησμοὺς σμῆγμα σὺν νίτρῳ· τὸ δὲ παλαιὸν σμηκτικώτερον ἀχώρων, πιτύρων, ψωρῶν, ἐκζεσμάτων· νομάς τε ἐπέχει, καὶ τὰς ἐν αἰδοίοις. ἐγκλυζόμενον καὶ ὦτα πυορροοῦντα στέγνοῖ· ἐκβάλλει δὲ καὶ τοὺς ἐν αὐτοῖς σκώληκας, ἑψόμενον ἐν σιδίοις ῥόας. τὸ δὲ B τοῦ ἀφθόρου παιδὸς καταρροφούμενον, ὀρθοπνοίαις ἁρμόζει· ἑψηθὲν δὲ ἐν χαλκῷ σὺν μέλιτι, οὐλὰς καὶ ἄργεμα καὶ ἀχλὺς ἀποσμήχει· κατασκευάζεται δὲ δι' αὐτοῦ καὶ τοῦ Κυπρίου χαλκοῦ ἁρμόζουσα ἐπὶ τοῦ χρυσίου κόλλα. ἡ δὲ ὑπόστασις τοῦ οὔρου καταχρισθεῖσα, ἐρυσιπέλατα παύει· ἀναζεσθεῖσα C δὲ σὺν κυπρίνῳ καὶ προστεθεῖσα, ὀδύνην ὑστέρας παρηγορεῖ, ὑστερικῶς πνιγομένας κουφίζει, βλέφαρά τε ἀποσμήχει καὶ οὐλὰς τὰς ἐν ὀφθαλμοῖς ἀποκαθαίρει. τὸ δὲ ταύρειον σὺν σμύρνῃ λεανθὲν καὶ ἐνσταγέν, ὠταλγίας παρηγορεῖ. καὶ τὸ συάγρειον δὲ τῆς αὐτῆς ἔχεται δυνάμεως. ἰδιαίτερον δὲ τοὺς D ἐν κύστει λίθους θρύπτει καὶ ἐκκρίνει πινόμενον. αἰγὸς δέ, ὕδρωπα τὸν ὑπὸ σάρκα πινόμενον μετὰ νάρδου στάχυος καθ' ἑκάστην ἡμέραν σὺν ὕδατι κυάθων πλῆθος β΄. ἄγει οὖρα κατὰ *κοιλίαν, ἰᾶται δὲ καὶ ὠταλγίας ἐνσταζόμενον. ὄνου δέ, παραδέδοται νεφριτικοὺς ὑγιάζειν.

E Περὶ Λυγγουρίου. Κεφ. ρ΄.

Τὸ δὲ τῆς λυγγός, ὃ δὴ λυγγούριον καλεῖται, ἅμα τῷ ἐξουρηθῆναι λιθοῦσθαι *πεπίστευται· διὸ καὶ ματαίαν ἔχει τὴν ἱστορίαν. ἔστι γὰρ τὸ καλούμενον ὑπ' ἐνίων ἤλεκτρον πτερυγοφόρον. ὅπερ ποθὲν σὺν ὕδατι, στομάχῳ καὶ ῥευματιζομένῃ κοιλίᾳ ἁρμόζει.

F Περὶ Μέλιτος. Κεφ. ρα΄.

ΜΕΛΙ πρωτεύει τὸ Ἀττικόν, καὶ τούτου τὸ Ὑμήττιον καλούμενον, εἶτα τὸ ἀπὸ τῶν Κυκλάδων νήσων, καὶ τὸ ἀπὸ τῆς Σικελίας *σίμβλιον καλούμενον. ἔστι δὲ δοκιμώτερον τὸ γλυκύτερον καὶ δριμύ, εὐωδέστερον, ὑπόξανθον, οὐχ ὑγρόν, ὁλκιμον G δὲ καὶ εὔτονον, καὶ ἐν τῷ ἑλκυσθῆναι ἀνατρέχον ὡς ἐπὶ τὸν δάκτυλον. Δύναμιν δὲ ἔχει σμηκτικήν, ἀναστομωτικήν,

A ὑγρῶν παρελκυστική. ὅθεν ἁρμόζει ἕλκεσι ῥυπαροῖς καὶ κόλποις ἐγχυζόμενον. ἑψηθὲν δὲ καὶ ἐπιτεθέν, παρακολλᾷ τὰ ἀφεστῶτα σώματα, λειχῆνάς τε θεραπεύει ἑψόμενον μετὰ στυπτηρίας ὑγρᾶς καὶ καταχριόμενον· ἤχους τε τοὺς ἐν ὠσὶ καὶ ἀλγήματα σὺν ἁλσὶν ὀρυκτοῖς λείοις ἐνσταζόμενον χλιαρόν. καὶ

Addit Marcellus ex quorundā exemplariū fide καὶ ἤχους ἐν ὠσί. Al. ex Marc. ὀρυκτοῖς

B φθεῖρας καὶ κόνιδας φθείρει καταχριόμενον· λειποδέρμους τε τοὺς μὴ ἐκ περιτομῆς ἀποκαθίστησι, μαλασσομένης τῆς πόσθης ἐν μέλιτι, μάλιστα ἀπὸ βαλανείου ἐφ' ἡμέρας λ'. ἀποκαθαίρει δὲ καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις, καὶ τὰ περὶ βρόγχον καὶ παρίσθμια καὶ συνάγχας διαχριόμενον καὶ ἀναγαργαριζόμενον θεραπεύει· κινεῖ δὲ καὶ οὖρα, καὶ βηξὶν ἁρμόζει, καὶ

C τοῖς ὑπὸ ἑρπετῶν δηχθεῖσι· καὶ πρὸς μήκωνος πόσιν μετὰ ῥοδίνου θερμὸν λαμβανόμενον· καὶ πρὸς μύκητας καὶ λυσσοδήκτους ἐκλειχόμενον ἢ πινόμενον· ἔστι μέντοι τὸ ὠμόν, φυσῶδες κοιλίας, καὶ βηχὸς ἐρεθιστικόν, ὅθεν ἀπηφρισμένῳ δεῖ χρῆσθαι. πρωτεύει δὲ τὸ ἐαρινόν, εἶτα τὸ θερινόν· τὸ δὲ χειμερινὸν παχύτερον ὂν D

D χεῖρον, καὶ * ἐξανθισμοὺς ποιοῦν.

V. παχύτερον χεῖρον καὶ ἐξανθισμοὺς ποιοῦν.

Tria hæc sequētia capita in veteri codice cum superiore coniuncta sunt.

Περὶ Μέλιτος ἐν Σαρδωνίᾳ. Κεφ. ρβ'.

Τὸ δὲ ἐν Σαρδωνίᾳ γεννώμενον μέλι, πικρὸν διὰ τὴν τοῦ ἀψινθίου νομήν· ἁρμόζει δὲ πρὸς ἐφήλιδας καὶ σπίλους τοὺς ἐν προσώπῳ καταχρισθέν.

Περὶ Μέλιτος Ποντικοῦ. Κεφ. ργ'. E

Γεννᾶται δὲ καὶ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ κατά τινας καιροὺς διά τινων ἀνθῶν ἰδιότητα μέλι, ὃ τοὺς φαγόντας ἐξίστησι μετὰ ἐφιδρώσεως. βοηθοῦνται δὲ πήγανον ἐσθίοντες καὶ τάριχος, καὶ οἰνόμελι πίνοντες, ὁσάκις ἂν ἐμέσωσι τὰ αὐτὰ προσφερόμενοι. ἔστι δὲ δριμύ, καὶ πταρμοὺς κατὰ τὴν ὄσφρησιν κινοῦν. θε- F ραπεῦον ἔφηλιν, καταχρισθὲν μετὰ κόστου. μετὰ δὲ ἁλός, πελιώματα αἴρει.

Περὶ Σακχάρου Μέλιτος. Κεφ. ρδ'.

ΚΑΛΕΙΤΑΙ δέ τι καὶ σάκχαρον εἶδος ὂν μέλιτος ἐν Ἰνδίᾳ πεπηγότος καὶ τῇ εὐδαίμονι Ἀραβίᾳ, εὑρισκόμενον ἐπὶ τῶν καλάμων, ὅμοιον τῇ συστάσει ἁλσί, καὶ θραυόμενον ὑπὸ τοῖς ὀδοῦσι καθάπερ οἱ ἅλες. ἔστι δὲ

humores euocat: qua ratione in sordida vlcera sinúsque commodè infunditur. Decoctū atque impositū, disiunctas diuulsásve partes agglutinat: lichenibus quoque medetur, coctū cū liquido alumine & illitum. Itémque aurium sonitui & dolori cum sale fossili trito tepidum instillatur: pediculos ac lendes illitum e- B necat: verpis seu curtis glādem quę citra circuncisionē nudata sit in integrum restituit, si melle præputiū à balneo potissimū ad dies triginta emolliatur: depurgat quę pupillis tenebras offundunt: gutturis etiamnum ac tōsillarum inflammationibus & anginis medetur, seu illitum, seu etiā gargarizatum. Vrinas quoque ciet, tussique auxiliatur, & iis quos serpētes momorderint: itémque contra haustum meconium, si cū rosaceo calidū assumatur. Quin & cōtra fungorum maleficia & rabiosi canis morsus delinctū potúmve proficit. Attamē crudum, aluum inflat & tussim irritat: qua de causa despumato vtendum est. Cæterùm primas tenet vernū, deinde æstiuū. Hybernum verò, quippe quod sit crassius, deterius censetur, papulísque cutem exasperat.

De Melle Sardoo. Cap. C II.

Quod in Sardinia gignitur mel, amarum est: quoniam apes inibi absinthio vescantur. Tum à Solis ardore contractis, tum & aliis faciei maculis conuenienter illinitur.

De Melle Pontico. Cap. C III.

Heracleæ in Ponto quibusdā anni temporibus ex propria quorundam florum vi mel conflatur, quod quidē eos qui edēre de mentis statu dimouet, cū sudoris copiosi profusione. Sed iuuantur, si rutā & salsamenta esitarint, mulsúmque ebiberint, eadémque toties resumpserint, quoties vomitione reiicientur. Acre autem est, & olfactu sternutamenta mouet. Cum costo illitum, maculas à sole contractas emendat, at cum sale, sugillata tollit.

De Saccharo. Cap. C IIII.

G EST & quoddā mellis cōcreti genus, quod saccharum nominatur, quódque in India & fœlici Arabia in arundinibus reperitur, consistentia sali simile, ac dentibus etiam salis modo fragile. Est

illud aluo idoneum & stomacho vtile, si aqua dilutum bibatur: vexatę verò vesicæ renibúsque auxiliatur: quin & illitum ea discutit quæ pupillis tenebras offundunt.

A κοιλίαν, εὐστόμαχον, διεθὲν ὕδατι καὶ ποθὲν· ὠφελοῦν κύστιν κεκακωμένην καὶ νεφρούς· καθαίρει δὲ καὶ τὰ περὶ κόρας ἐπισκοτοῦντα ἐπιχριόμενον.

De Cera. Cap. CV.

CERA optima est subfulua, subpinguis, odorata & halitum quadantenus melleũ referens, insupérque pura & natione Pōtica aut Cretica. Secundum locum obtinet exalbida & suapte natura pinguis. Cãdida verò redditur hoc modo: In eo genere quæ cãdidior puriórque fuerit cõcisã in ollã nouã trãsfundito, & affusa quanta satis sit aqua marina ex alto petita coquito, insperso etiamnũ nitri momẽto. Cũq; iterũ tertióve efferbuerit, remota olla refrigerari sinito. Tũ verò cerę pastillũ eximito, derasaq; sorde si qua fortè adhæsit, alia addita aqua marina secundò coquito: cúmque cera denuò, vti demonstratum est, inferbuerit, vas ab igne summoueto, ac nouę ollulę fundũ priùs frigida madefactum leniter in cerã demittito, paululũ duntaxat suspẽsa manu intingẽs, vt ipsius q̃ minimum detrahatur, quò facilius per se cõcrescat. Sublato fundo orbiculum primum auferto, iterumq; vasis imum aqua refrigeratũ in cerã immittito, idẽque tantisper facito, dum cerã totã exceperis. Tandem filo lineo traiectos orbiculos ita suspendito, vt ne inter se cõtingãt, ac interdiu quidẽ ipsos assiduè ad solem irrorato, noctu verò Lunæ exponito, dum perfectè albescant. Quòd si cerã candidissimã fieri volueris, identidem eã recoquito: cętera verò omnia eodẽ modo peragito. Nec desunt qui pro marina ex alto petita, in muria acerrima semel aut iterũ antedicto modo decoquunt: deinde laguncula tenui ac rotunda ansam habente eximũt, posteà orbiculos super dẽsa herba dispositos insolant, donec cãdidissima euaserit. Præcipiunt verò munus id vere obeundum, quando sol remissa vehementia humidum rorem subministrat, vt ne videlicet cera liquescat. Porrò vim habet cera omnis excalfaciendi, emolliendi, ac vlcera mediocriter explendi. Additur etiam in sorbitiones dysentericis: ac eius deglutita

Περὶ Κηροῦ. Κεφ. ρε'.

ΚΗΡΟΣ ἄριστός ἐστιν ὁ ὑπόκιρρος καὶ ὑπολίπαρος, εὐώδης τε καὶ ποσὴν μελιτώδη ἀποφορὰν ἔχων, ἔτι δὲ καθαρὸς καὶ

B ὢν Ποντικὸς ἢ Κρητικός. ὁ δὲ ἔκλευκος, τῇ φύσει δὲ λιπαρός, δευτερεύει. λευκαίνεται δὲ κηρὸς οὕτω. καταχνίσας αὐτοῦ τὸ λευκὸν καὶ καθαρὸν, ἔμβαλε εἰς χύτραν καινὴν, καὶ ἐπιχέας θαλάσσης πελαγίας τὸ αὔταρκες, ἕψε βραχὺ νίτρον προσεμπάσας· ὅτε δὲ ἀνα- V. addit [illegible]

C ζέσει δὶς ἢ τρίς, καθελὼν τὴν χύτραν καὶ ἐάσας ψυχθῆναι, αἶρε τὸν τροχίσκον, καὶ ἀποξύσας εἴ τις περὶ αὐτὸν ὑπάρχει ῥυπαρία, ἕψε ἐκ δευτέρου ἄλλο θαλάσσιον ὕδωρ ἐπιδούς· ἀναζέσαντος δὲ πάλιν τοῦ κηροῦ ὡς δεδήλωται, ἀνελοῦ τὸ ἀγγεῖον ἀπὸ τοῦ πυρὸς, καὶ λαβὼν καινοῦ χυτριδίου τὸν πυθμένα, προνενοτισμένον ὕδατι

D ψυχρῷ, καθιεὶς πράως εἰς τὸν κηρὸν, ἀκροθιγῶς ἐμβάπτων, πρὸς τὸ ἐλάχιστόν τι αὐτοῦ ἀφέλκεσθαι, καὶ καθ' ἑαυτοῦ πήγνυσθαι. ἀνελόμενος δὲ, τὸν πρῶτον κυκλίσκον ἀφαιροῦ, καὶ ἐκ δευτέρου καθίει τὸν πυθμένα ψύχων ὕδατι. καὶ τὸ αὐτὸ ποίει, ἕως ἂν ἅπαντα ἀναλάβῃς. λοιπὸν λίνῳ διείρας τὰ κυκλί- V. δεῖ δὲ ἐμβάπτειν, sed scholion est.

E σκια διεστῶτα ἀπ' ἀλλήλων κρέμασον. ἡμέρας μὲν εἰς ἥλιον συνεχῶς ἐπινοτίζων αὐτὰ· νυκτὸς δὲ ὑπὸ τὴν σελήνην τίθει, ἕως ἂν λευκὰ γένηται· εἰ δὲ ἄγαν τις θέλει λευκὸν ποιῆσαι, τὰ μὲν λοιπὰ ὡσαύτως ἐνεργείτω, ἑψέτω δὲ πλεονάκις. τινὲς δὲ ἀντὶ πελαγίας θαλάσσης, ἐν ἅλμῃ δριμυτάτῃ ἕψουσι τὸν

F προειρημένον τρόπον ἅπαξ ἢ δίς· εἶτα ἀναιροῦνται λαγηνίῳ λεπτῷ καὶ περιφερεῖ, λαβὴν ἐν ἑαυτῷ ἔχοντι· εἶτα κυκλίσκια ἐπὶ πόας πυκνῆς ἐπιθέντες ἡλιάζουσιν, ἕως ἂν λευκότατος γένηται. παραινοῦσι δὲ ἔαρος ἐπὶ τοῦτο ἔρχεσθαι, ὅτι καὶ ὁ ἥλιος τῇ σφοδρότητι ἀνεῖται, καὶ νοτίδα παρέχει, πρὸς V. [illegible]

G τὸ μὴ τήκεσθαι. Δύναμιν δὲ ἔχει πᾶς κηρὸς θερμαντικὴν, μαλακτικὴν, πληρωτικήν τε μετρίως· μίγνυται δὲ καὶ ἐν ῥοφήμασιν ἐπὶ τῶν δυσεντερικῶν· καταπινό-

μενος δὲ μεγέθει κεγχρεῖα δέκα, οὐκ ἐᾷ τυροῦσθαι ἐπὶ τῶν τιθηνουσῶν τὸ γάλα.

Περὶ Προπόλεως. Κεφ. ρϛʹ.

Πρόπολιν παραληπτέον τὴν ξανθὴν καὶ εὐώδη καὶ στυρακίζουσαν, μαλακήν τε ἐν τῷ ὑπερξήρῳ, καὶ μαστίχης τρόπον ἐφελκομένην. ἔστι δὲ θερμαντικὴ ἄγαν καὶ ἐπισπαστική, καὶ σκολόπων ἑλκυστική. ἀρήγει δὲ καὶ βηξὶ παλαιαῖς ὑποθυμιωμένη. αἴρει δὲ καὶ λειχῆνας ἐπιτιθεμένη. εὑρίσκεται δὲ περὶ τοῖς στόμασι τῶν σμηνίων φύσεως κηρώδους.

Orib. σύγκαυ[illegible]

Περὶ Πυρῶν. Κεφ. ρζʹ.

Πυροὶ πρὸς ὑγιείας χρῆσιν ἄριστοι, οἱ πρόσφατοι καὶ τελείως ἠκμακότες τῇ χρόᾳ μηλίζοντες· εἶτα μετὰ τούτους οἱ τριμηνιαῖοι, λεγόμενοι δὲ ὑπό τινων σιτάνιοι. ὠμοὶ οὖν βρωθέντες, ἕλμινθας στρογγύλας γεννῶσι. μασηθέντες δὲ καὶ καταπλασθέντες, ὠφελοῦσι κυνοδήκτους. ὁ δὲ ἐκ τῆς σεμιδάλεως αὐτῶν γινόμενος ἄρτος, εὐτροφώτερός ἐστι τοῦ συγκομιστοῦ. ὁ δὲ ἐκ τῶν σιτανίων ἀλεύρων, κουφότερος καὶ εὐανάδοτος. τὸ δὲ ἐξ αὐτῶν ἄλευρον, σὺν ὑοσκυάμου χυλῷ καταπλάσσεται πρὸς νεύρων ῥευματισμούς, καὶ πρὸς ἐμπνευματώσεις ἐντέρων. σὺν ὀξυμέλιτι δὲ φακοὺς αἴρει. τὸ δὲ πίτυρον σὺν ὄξει δριμεῖ ἑψηθέν, λέπρας ἀφίστησι καταπλασσόμενον θερμόν, καὶ πάσης φλεγμονῆς ἐν ἀρχῇ κατάπλασμα σύμφορον. μετὰ δὲ πηγάνου ἀφεψήματος ἑψηθέν, μαστοὺς σπαργῶντας παύει, καὶ ἐχιοδήκτοις ἁρμόζει, καὶ στροφουμένοις. ἡ δὲ ἐκ τῶν ἀλεύρων ζύμη, θερμαντικὴ οὖσα καὶ ἐπισπαστική, ἰδίως τὰ ἐν πέλμασι λεπτύνει, καὶ τὰ ἄλλα φυμάτια, καὶ δοθιῆνας σὺν ἁλσὶν ἐκπέσσει καὶ ἀναστομοῖ. ἔστι δὲ τὸ τῶν σιτανίων πυρῶν ἄλευρον, ἰοβόλοις ἁρμόζει καταπλαττόμενον ἐν ὄξει ἢ οἴνῳ. ἑψηθὲν δὲ τρόπον κόλλης καὶ ἐκλειχόμενον, αἱμοπτοϊκοὺς ὠφελεῖ. καὶ πρὸς βῆχας, καὶ ἀρτηρίας τραχυσμούς, σὺν ἡδυόσμῳ καὶ βουτύρῳ ἑψηθὲν ποιεῖ. καὶ ἡ ἐξ αὐτῶν τῶν πυρῶν γῦρις ἑψηθεῖσα σὺν μελικράτῳ, ἢ ὑδρελαίῳ, πᾶσαν διαφορεῖ φλεγμονήν. καὶ ὁ ἄρτος σὺν μελικράτῳ ἑφθὸς καὶ ὠμὸς καταπλασσόμενος, πᾶσαν φλεγμονὴν παραμυθεῖται,

ΣΚΟΡΟΔΟΝ τὸ μέν ἐστιν ἥμερον καὶ κηπευτόν, καὶ τοῦτο ἐν Αἰγύπτῳ μονοκέφαλόν ἐστιν ὥσπερ τὸ πράσον, γλυκύ, ἐμπόρφυρον, μικρόν. τὸ δὲ λοιπὸν πολυκέφαλον, λευκόν. καλοῦσι δὲ τὰς ἐν αὐτῷ ῥάγας ἀγλῖθας. ἔστι δὲ καὶ ἄλλο ἄγριον, ὀφιόσκορδον καλούμενον. Δύναμιν δὲ ἔχει δριμεῖαν, θερμαντικήν, δηκτικήν, ἐκκριτικὴν φυσῶν, καὶ κοιλίας ταρακτικήν, ξηραντικὴν στομάχου, δίψης ποιητικὴν καὶ ἐμπνευματώσεως, ἑλκωτικὴν ἐπιφανείας, ὀμμάτων ἀμβλυωτικήν. [τὰ αὐτὰ δὲ ποιεῖ καὶ τὸ ὀφιόσκορδον βιβρωσκόμενον, ὃ καὶ ἐλαφόσκορδον λέγει]. βιβρωσκόμενον ἕλμινθας πλατείας ἐξάγει, καὶ οὖρα κατάγει, ἐχιοδήκτοις τε καὶ αἱμορροοῦσιν ἁρμόζει ὡς οὐδὲν ἕτερον, λαμβανομένου οἴνου συνεχῶς, ἢ σὺν οἴνῳ λεανθὲν καὶ ποθέν. καταπλάσσεται δὲ

A Subduntur verò pro balanis corticibus nudatæ & oleo immissæ. At succus ex melle inunctus oculorum hebetudinibus, argemis, nubeculis & incipientibus suffusionibus auxiliatur. Anginosi itidem eo perunguntur. Sed & menses ciet atque pellit, ac infusus caput per nares expurgat. Canis morsibus cum sale ruta & melle imponitur. B Cum aceto autem in sole perunctus, vitiligines sanat: & cum pari spodio, scabras lippitudines sedat. Varos quoque cum sale reprimit. Contra calceamentorum attritus cum adipe gallinaceo vtilis est. Valet etiamnum ad alui profluuium, & auditus grauitatem auriúmque sonitus emendat. C Ad purulentas aures, iísdémque interceptam aquam eliciendá prodest. Quin & alopecijs affrictus celeriùs quàm alcyonium pilos euocat. Porrò cæpa copidiùs sumpta, capitis dolores ciet, coctáque potentiùs vrinas pellit. Largiùs verò per aduersam valetudinem esitata, quantumuis cocta lethargum D accersit. Cæterùm cocta & cum vua passa aut fico imposita panos seu tubercula maturat & rumpit.

De Allio. Cap. CLXXXII.

ALLIVM quoddam est satiuum & hortense: quod quidem in Ægypto, porri modo, singulari capite E reperitur, dulce, paruum ac purpurascens: alibi verò multiplici capite seu nucleo coagmentatum visitur, atque cádidum: ac eiusmodi quidé nucleos seu spicas, agithas Græci nominát. Est & aliud syluestre, quod ophioscorodon, quasi anguinum allium, appellatur. Vim porrò acrem obtinet allium, excalfacit, mordet, F flatus pellit, aluum turbat, stomachum exiccat, sitim gignit, inflationemq; facit, summá corporis cuté exulcerat, & oculorum aciem esu hebetat. Eadem præstat esitatum ophioscorodon, quod & elaphoscorodon, quasi ceruinum allium, nuncupatur. Sed & latas quoque tenias in cibo pellit alliú, vrinásque detra- G hit: morsis à vipera & hæmorrhoo maximè si quid aliud confert, dum modò continuò pòst vinum superbibatur, aut ipsum è vino teratur ac in potioné sumatur. Quin & in cos-

V. interponit ὁ χυλὸς
V. cæteris caret: V. caret vsque ad τῶν ὑδάτων.
Drag. ἔστι δὲ καὶ κεφαλαλγὲς, πλεονάζον δὲ ἐν νόσοις ληθάργους ποιεῖ. ἑψηθὲν δὲ οὐρητικώτερον γίνεται.
Add Αλ. ἑφθόν
Lacuna in cod. vet. hoc caput ita legit. Σκόροδον τὸ μέν τι ἐστὶν ἥμερον καὶ κηπευτὸν, ὅπερ ἐν τῇ Αἰγύπτῳ διεί... μονοκέφαλον καὶ λευκὸν, τὰς ῥάγας ἀγλῖθας καλοῦσιν. ἔστι δὲ καὶ ἄλλο ἄγριον ὀφιόσκορδον καλούμενον, τῇ ἐν τῇ ἐπιφανείᾳ ἑλκωτικὸν ὀμμάτων. Βιβρωσκόμενον δὲ ἕλμινθας πλατείας ἐξάγει καὶ οὖρα ἄγει. Δύναμιν δὲ ἔχει δριμεῖαν τοῦ σκόρδου, θερμαντικὴν, ἐκκριτικὴν φυσῶν &c.
Orib. λευκὸν καὶ λεπτόν
Vulg. exemp. omittunt vsque ad καλοῦσιν.
Al. μέγα πολυκέφαλον
Vetus omittit vsque ad δύναμιν.
V. Goupyli δύναμις δὲ αὐτοῦ δριμεῖα, & sic deinceps.
Vulg. exempl. carent.
Paris. φυσῶδες
Vulg. exempl. ποιητικὸν, ἐμπνευματώσεως ἑλκωτικὸν καὶ ἐπιφανείας.
Sic vet. quem secutus est Ruell.
V. Goupyli συμβαίνει ἐκβιβρωσκόμενα
Conclusa non habentur in vulgatis exemplaribus. Pro his verò Cataeuz. exemp. Ελαφοσκόροδον, ὃ δὲ ἀγριοσκόροδον, διαφέρομεν ὀλίγον κερβίτου μ. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι χωρίοις, ἐμφερὲς τῷ ὀφιοσκορόδῳ. δύναμιν δὲ ἔχει δριμεῖαν, θερμαντικὴν, δηκτικὴν, φυσώδη, κοιλίας ταρακτικὴν, ξηραντικὴν στομάχου καὶ ποιητικὴν δίψους.
Rectius forsasse αἱμορροοδήκτοις, vel ὑπὸ αἱμορροῦν δηχθεῖσι.

dẽ vsus, & cõtra canis rabiosi morsus vtiliter imponitur. In cibo verò sumptum contra mutationes aquarũ proficit, [fauces expediẽdo, easdémque asperas leniẽdo] voci splẽdorem affert, veterẽ tussim crudum coctúmve in cibo lenit. Potum autẽ cum origani decocto, pediculos ac lendes enecat. Combustum ac melle subactum illitúmque, oculorũ sugillationibus & alopecijs medetur: sed in alopecijs curandis vnguentũ prætereà nardinũ additur. Cũ sale verò & oleo sanat papularũ eruptiones. Vitiliginem quoque, lichenas, lentigines, vlcera capitis manantia, furfures ac lepras cum melle eximit. At cum thure & tęda decoctũ ac in ore detentum, dentium dolorem imminuit. Cum ficulneis foliis & cumino, cõtra muris aranei morsus imponitur. Comæ decoctũ fœminarum desessionibus additum, menses secundásque partus extrahit. In eundem quoque vsum suffumigatur. Cæterùm factum ex eo & oliua nigra intritum, quod myttoton vocant, esu vrinam cit, ora venarum patefacit, ac hydropicis quoque est vtile.

De Scordopraso. Cap. CLXXXIII.

NASCITVR Scordoprason porri magnitudine, allij & porri qualitatum particeps: quapropter mixtas quoque vires obtinet, eadẽ præstans quę allium pariter ac porrum, sed efficacia minore. Coctum id porri modo dulcescit, & in olerum vicem transit.

De Sinapi. Cap. CLXXXIIII.

SINAPI seu napy eligito non magnoperè aridum, & valdè rufum atque plenũ, quódque fractum internè viride ac veluti succosum & glaucum conspiciatur. Tale siquidẽ recẽs ac tempestiuum habetur. Ad calfaciendum, attenuandum, attrahendúmque efficax est. Commanducatum autem valet ad pituitam capitis eliciendam. At succus ex aqua mulsa, contra tonsillarum præduros tumores, veteréisque & callosas arteriæ scabritias gargarizatu prodest. Ipsum verò sinapi tritum & naribus admotum sternutamenta ciet. Comitialibus quoque auxiliatur, & vuluæ stragulatu oppressas

A πρός τε ταῦτα καὶ ἐπὶ τῶν λυσσοδήκτων ὠφελίμως. βιβρωσκόμενον δὲ καὶ πρὸς τοὺς ξενισμοὺς τῶν ὑδάτων ἁρμόζει, ἀρτηρίας λαμπρύνει, καὶ βῆχας χρονίας παρηγορεῖ, ὠμόν τε καὶ ἑφθὸν ἐσθιόμενον· φθεῖρας δὲ καὶ κόνιδας φθείρει σὺν ἀφεψήματι ὀριγάνου πινόμενον. καὲν δὲ καὶ μέλιτι V. in margine, λαμπάδας σὺν γάλακτι.
B φυραθέν, ὑπώπια καὶ ἀλωπεκίας ἰᾶται καταχριόμενον. ἐπὶ δὲ τῶν ἀλωπεκιῶν σὺν ναρδίνῳ μύρῳ * καὶ ἁλσὶ καὶ ἐλαίῳ, ἐξανθήματα θεραπεύει· ἀφίστησι δὲ καὶ ἀλφοὺς καὶ λειχῆνας καὶ φακούς· ἀχῶράς τε καὶ πίτυρα καὶ λέπρας σὺν μέλιτι. μετὰ δαδίου δὲ καὶ λιβανωτοῦ ἑψηθέν, ὀδοντ-
C αλγίας διακρατούμενον ἐν τῷ στόματι κουφίζει· Al. διακλυζόμενον, sed mendosè. μυγαλῆς τε ἐστὶ κατάπλασμα σὺν συκῆς φύλλοις καὶ κυμίνῳ. τῆς δὲ κόμης τὸ ἀπόζεμα, ἐγκάθισμα ἐμμηνίων καὶ δευτέρων ἀγωγόν· πρὸς τὸ αὐτὸ δὲ καὶ ὑποθυμιᾶται. τὸ δὲ ἐξ αὐτοῦ καὶ τῆς μελαίνης ἐλαίας γινόμενον τρῖμμα, καλούμενον δὲ
D * μύρτον, οὔρησιν κινεῖ καὶ ἀναστομοῖ· χρήσιμον δὲ καὶ ὑδρωπικοῖς ἐστίν. Al. μυττωτόν

Περὶ Σκορδοπράσου. Κεφ. ρπγʹ.

ΣΚΟΡΔΟΠΡΑΣΟΝ φύεται ὡς πράσον μέγα, μετέχον τῆς τοῦ σκόρδου καὶ τοῦ πράσου ποιότητος· ὅθεν καὶ τὴν δύναμιν μικτὴν ἔχει, ποιοῦν ὅσα καὶ τὸ σκόρδον
E καὶ τὸ πράσον· ἀμβλυτέρως μέντοι. λαχανεύεται δὲ εἰς βρῶσιν ὡς τὸ πράσον ἑψόμενον καὶ ἀπογλυκαινόμενον.

Περὶ Σινήπεως. Κεφ. ρπδʹ.

ΣΙΝΗΠΙ ἢ νάπυ, ἐκλέγου τὸ μὴ κατάξηρον καὶ κατάπυρρον, ἁδρόν, ἀλλ' ὃ Al. σίναπι [illegible] οἱ δὲ νάπυ
F δὴ θλασθέν, ἔνδοθεν χλωρὸν ἐστὶ καὶ οἱονεὶ ἔγχυλον, γλαυκόν· πρόσφατον γὰρ καὶ ἀκμαῖον τὸ τοιοῦτον. V. non habens. Δύναται δὲ θερμαίνειν, λεπτύνειν, ἐπισπᾶσθαι, ἀποφλεγματίζειν διαμασηθέν. μιγεὶς δὲ ὁ χυλὸς αὐτοῦ " ὑδρομέλιτι, πρὸς ἀντιάδας V. μετὰ μέλιτος καὶ τὰς χρονίους τραχύτητας τῆς ἀρτηρίας ἐστὶ τυλώδεις, ἀναγαργαριζόμενος ἁρ-
G μόζει· προσαχθὲν δὲ τοῖς μυκτῆρσι λεῖον, πταρμοὺς κινεῖ· ἐπιληπτικοῖς τε βοηθεῖ, καὶ ὑστερικῶς πνιγομένας διεγείρει.

V. hisce vsque ad καταπλασθὲν caret.

Ruellius omisit.

καὶ ἐπὶ ληθαργικῶν καταπλάττεται ξυρηθείσης τῆς κεφαλῆς· μιγὲν δὲ σύκοις καὶ ἐπιτεθὲν ἄχρι φοινίξεως, ἁρμόζει πρὸς ἰσχιάδας καὶ σπλῆνας, καὶ καθόλου εἰς πᾶν χρόνιον ἄλγημα, ὅπου μετάγειν τι ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν βουλόμεθα, παρὰ τὸ ἑτερεσπαδείας λόγῳ θεραπεύει καὶ ἀλωπεκίας καταπλασθέν, πρόσωπα δὲ καθαίρει, καὶ ὑπώπια αἴρει σὺν μέλιτι ἢ στέατι ἢ κηρωτῇ· σὺν ὄξει δὲ πρὸς λέπρας καὶ λειχῆνας ἀγρίους περιχρίεται· πίνεται δὲ καὶ πρὸς περιόδους ξηρόν, ὡς ἄλφιτα ἐπιπασσόμενον τῷ πόματι. ἐπισπαστικοῖς τε ἐμπλάστροις καὶ ψωρικοῖς μίγνυται χρησίμως· δυσηκοΐαις τε καὶ ἤχοις λεῖον ἐπιτιθέμενον (C) τῇ ἀκοῇ μετὰ σύκου ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτοῦ σὺν μέλιτι ἁρμόζει πρός τε ἀμβλυωπίας καὶ τραχέα βλέφαρα ἐγχριόμενος· χυλίζεται δὲ ἔτι χλωρὸν τὸ σπέρμα, καὶ τὸ ἀποθλιβὲν ξηραίνεται ἐν ἡλίῳ.

A excitat. Quin & lethargicorum capiti deraso illinitur. Ficis autem admixtum & impositū donec rubescat locus, valet ad coxendicum cruciatus, lienes, ac in vniuersum ad quemuis diutinum dolorem, cū ex alto in summam cutem quidpiā extrahere est in animo, translato scilicet in alteram partem affectu.

B Alopecijs etiam illitum medetur, faciem purgat, & oculorum sugillata tollit, cum melle, adipe, aut cerato. Cum aceto verò, lepræ & feræ impetigines eo perunguntur. Sed & contra febriles circuitus aridum bibitur, polétæ modo potui inspersum. Emplastris quoque extrahendi vi præditis, iísque quę ad psoram

C faciunt, vtiliter ammiscetur. Succurrit & auditus grauitati incertísque sonitibus cum fico tritum, auribúsque inditum. Ipsius verò succus cum melle ad oculorum hebetudines genarúmque scabritias conuenienter inungitur. Cæterùm exprimitur recēti adhuc semine succus, atque ita in sole siccatur.

Περὶ Καρδάμου. Κεφ. ρπέ.

Al. V. κατακαρδάμου

V. ἀμφοτέρων

Al. καρδαμινόν

ΚΑΡΔΑΜΟΝ. κάλλιστον μὲν εἶναι δοκεῖ (D) τὸ ἐν τῇ Βαβυλῶνι κάρδαμον. παντὸς δὲ τὸ σπέρμα θερμαντικόν, δριμύ, κακοστόμαχον, κοιλίαν ταράσσον, καὶ ἕλμινθας ἐκτινάσσον, σπλῆνα μειοῖ, ἔμβρυα φθείρει, ἔμμηνα κινεῖ, συνουσίαν παρορμᾷ, ἔοικε δὲ σινήπει καὶ εὐζώμῳ. ἀποσμήχει λέπρας, λειχῆνας· (E) σὺν μέλιτι δὲ σπλῆνα ταπεινοῖ καταπλασσόμενον, καὶ κηρία ἀποκαθαίρει, καὶ τὰ ἐκ θώρακος ἀνάγει ἐγκαθεψόμενον ῥοφήμασιν. ἑρπετῶν τε ἐστὶν ἀντιφάρμακον πινόμενον. θυμιαθὲν δὲ ἑρπετὰ διώκει. τρίχας τε ῥεούσας ἐπέχει καὶ ἄνθρακας περιρρήττει πυοποιοῦν· σὺν ὄξει δὲ καὶ ἀλφί- (F) τοις καταπλασθέν, ἰσχιαδικοὺς ὠφελεῖ, καὶ οἰδήματα καὶ φλεγμονὰς διαφορεῖ, δοθιῆνάς τε ἐκπυοῖ σὺν ἅλμῃ καταπλασθέν. καὶ ἡ πόα δὲ τὰ αὐτὰ ποιεῖ, ἔλασσον μέντοι δύναται.

Verba hæc vsque ad finem capitis, velut annotat Goupylus, nō sunt in Orib. Interpretes tamen omnes ea reddiderunt, & Dioscoridis esse facile ex Plinio quiuis intelligere potest.

V. ἑρπετοδήκτοις

V. ἐκπύοι

De Nasturtio. *Cap. CLXXXV.*

D NASTVRTIVM optimum cōstat esse Babylonicum. Cuiusuis autē nasturtij semen excalfacit: acre est, ac stomacho inimicum: aluum turbat, lumbricos pellit, lienem imminuit, fœtus in vtero necat, menses cit ac venerē stimulat. Est ei denique natura sinapis & erucæ

E semini similis. Lepras & impetigines exterit: ex melle verò illitū lienē extenuat, fauos expurgat, & quæ intra thoracē hærent sursum educit sorbitionibus incoctū. Serpentium venenis potum resistit, atque eas suffitu fugat. Capillos fluentes cohibet, & carbunculos ad suppurationem

F perducit ac rūpit. At cum aceto & poléta illitum, ischiadicis cōfert, œdemata itidem inflammationésque discutit, ac furunculos quoque suppurat cum muria illitum. Cæterùm eadem herba præstat, sed effectu minore.

Περὶ Θλάσπεως. Κεφ. ρπς΄.

V. αἱ δὲ σύνεγγυς ... ἄγριον. alius in margine addidit ...

V. ἀνιδρωμένον.

ΘΛΑΣΠΙ βοτάνιόν ἐστι στενὸν τοῖς (G) φύλλοις ὡς δακτύλου μῆκος, πεπτωκόσιν ἐπὶ τῆς γῆς, ἀκροσχιδέσιν, ὑπολιπάροις, καυλὸν δὲ λεπτὸν ἀνίησι διασπιθα-

De Thlaspi. *Cap. CLXXXVI.*

G THLASPI herbula est angustis folijs, digitali lōgitudine, in terrā versis, in cacumine diuisis ac subpinguibus. Cauliculū autē emittit tenuem, binûm dodrantum altitu-

dine, cui pauci adnascuntur ramuli: circa verò ipsum totum fructus est, summa sui parte modicè latus: quo semen includitur exiguum, nasturtio simile, disci effigie, veluti infractum compressúmve, vnde & nomen accepit. Flos albicat. Nascitur in semitis, parietibus ac sepibus. Semen acre, excalfaciēs: bilem vtrinque tam supernè quàm infernè extrahit, acetabuli mensura potū. Prodest & ischiadicis infusum: potu sanguinē educit, internósq; abscessus rumpit. Menses quoque cit, & partus necat. Porrò alterum etiam thlaspi recenset Crateuas, quod aliqui Persicum sinapi vocant, latis folijs & radicibus magnis: quod & ipsum ischiadicorum infusionibus admiscetur.

De Draba. Cap. CLXXXVII.

DRABA herba ad cubiti altitudinem assurgit, tenuibus virgultis, & foliis ex vtroque latere ceu lepidij, sed mollioribus & candidioribus. In cacumine verò sambuci vmbellam gerit, candidis floribus præditam. Huius herba cum prissana coquitur: in Cappadocia maximè. At verò semen ipsius aridum, piperis vice obsoniis admiscetur.

De Erysimo, seu irione. Cap. CLXXXVIII.

ERYSIMON circa vrbes, domorū areas hortósque nascitur, folijs erucæ syluestris: cauliculis in lori modum sequacibus & flexilibus, floribus luteis, siliquis in cacumine corniculorum figura & gracilibus, vti fœnogræco, quibus exigua concluduntur semina nasturtij similia, feruidóque gustu. Ea si cum melle delingantur, cōtra thoracis fluxiones, purulentas excreationes ac tusses, morbum regium & ischiadem efficacia sunt. Bibitur & semen cōtra venena. Ex aqua verò aut melle illitum, prodest carcinomatis occultis, duritijs, parotidibus, ac testium mámarúmque inflammationibus. In summa attenuat & calfacit. Cæterum ad eclegmata redditur mitius & accommodatius, si aqua maceratum torreatur, aut linteo illigatum subactáque farina oblitum inassetur.

A μιαῖον· ἀποφυάδας ὀλίγας ἔχοντα καὶ περὶ ὅλον αὐτὸν καρπὸς ὑπόπλατυς ἐξ ἄκρου· ἐν ᾧ σπέρμα τι ἐμφερὲς καρδάμῳ, δισκοειδὲς, οἱονεὶ ἐντεθλασμένον, (ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχηκεν) ἄνθος δὲ ὑπόλευκον. ἐν ὁδοῖς καὶ ἐπὶ τοιχῶν καὶ ἐπὶ θριγκῶν φυόμενον· σπέρμα δριμὺ, θερ- Vet. καὶ θριγκοῖς καὶ τοίχοις, sed leue discrimen est. Drag. θριγκοῖς καὶ τοίχοις.
B μαντικόν· χολὴν ἄνω τε καὶ κάτω καθαῖρον, ποθὲν πλῆθος ὀξυβάφου· ἐγκλύζεται δὲ καὶ πρὸς ἰσχιαδικούς· ἄγει δὲ καὶ αἷμα ποθὲν, καὶ τὰς ἐντὸς ἀποστάσεις ῥήγνυσι· κινεῖ δὲ καὶ καταμήνια, καὶ ἔμβρυα φθείρει. Ἱστορεῖ δὲ Κρατεύας καὶ ἕτερον θλάσπι, ὅ τινες Περσικὸν σίναπι καλοῦσι, πλατύφυλλον καὶ
C μεγαλόρριζον· καὶ τοῦτο δὲ μίγνυται τοῖς πρὸς ἰσχιάδα διακλυσμοῖς.

Περὶ Δράβης. Κεφ. ρπζ'.

ΔΡΑΒΗ ἡ πόα πήχεως ἔχουσα ὕψος, ῥάβδους λεπτὰς. περὶ ἑκάτερα δὲ τὰ φύλλα ὥσπερ λεπιδίου, ἁπαλώτερα δὲ
D καὶ λευκότερα· ἐπ' ἄκρου δὲ σκιάδιον καθάπερ ἀκτῆς, ἔχον ἄνθη λευκά. ταύτης ἡ πόα συνέψεται τῇ πτισάνῃ, μάλιστα ἐν Καππαδοκίᾳ· ὁ δὲ καρπὸς αὐτῆς ξηρὸς ἀντὶ πεπέρεως μίγνυται τοῖς προσοψήμασιν. Fortè ἀκτῆς, Vulg. λευκά, at sic etiam Manardo legi placet.

Περὶ Ερυσίμου. Κεφ. ρπη'.

E ΕΡΥΣΙΜΟΝ φύεται περὶ τὰς πόλεις, καὶ οἰκόπεδα, καὶ κήπους· φύλλα δὲ ὅμοια εὐζώμῳ ἀγρίῳ ἔχει· καυλία ἱμαντώδη, ἄνθη μηλίζοντα. ἐπ' ἄκρων δὲ λοβοὶ κερατοειδεῖς, ἰσχνοὶ ὡς τήλιδος· ἐν οἷς σπερμάτια μικρὰ, καρδάμῳ παραπλήσια, πυρώδη κατὰ τὴν γεῦσιν. ποιοῦσι τὰ
F πρὸς θώρακος ῥευματισμὸν, ἐμπύους, βῆχας, ἴκτερον, ἰσχιάδας, ἐκλειχόμενον* σὺν μέλιτι. πίνεται καὶ πρὸς τὰ θανάσιμα φάρμακα. καταπλασσόμενον δὲ μεθ' ὕδατος ἢ μέλιτος, ὠφελεῖ καρκινώματα κρυπτὰ, σκληρίας, παρωτίδας, διδύμων καὶ μαστῶν φλεγμονάς. λεπτυνεῖ* τε καὶ κα- Ald. ἐκλειχόμενον δὲ σὺν μέλιτι πίνεται &c.
G θόλου θερμαίνει· ἐπιεικέστερον δὲ γίνεται εἰς τὰ ἐκλείγματα, ἀποβραχὲν ὕδατι καὶ φωσθὲν, ἢ ἐνδεθὲν εἰς ὀθόνιον καὶ ὀπτηθὲν στέατος περιπλασθέντος. Vulg. exempl. ἐγκλύσματα

Περὶ Πεπέρεως. Κεφ. ρπθ'.

ΠΕΠΕΡΙ δένδρον ἱστορεῖται φυόμενον ἐν Ἰνδίᾳ, βραχύ· καρπὸν δὲ ἀνίησι, κατ' ἀρχὰς μὲν προμήκη καθάπερ λοβούς, ὅπερ ἐστὶ μακρὸν πέπερι· ἔχον δὲ ἐντὸς κέγχρῳ παραπλήσιον, ὃ μέλλει ἔσεσθαι τέλειον πέπερι. ὅπερ κατὰ τοὺς οἰκείους καιροὺς ἀναπλούμενον, βότρεις ἀνίησι, κόκκους φέροντας οἵους ἴσμεν· τούτων δὲ καὶ ὀμφακώδεις, οἵτινες εἰσὶ τὸ λευκὸν πέπερι, εὔθετον μάλιστα εἰς τὰ ὀφθαλμικὰ καὶ ἀντιδότους καὶ θηριακὰς δυνάμεις. ἔστι δὲ τὸ μὲν μακρὸν ἐπιτεταμένον τῇ δήξει, καὶ ὑπόπικρον, διὰ τὸ ἄωρον, καὶ ἐπιτήδειον εἰς τὰς ἀντιδότους καὶ θηριακὰς δυνάμεις. τὸ δὲ μέλαν, ἥδιον καὶ δριμύτερον τοῦ λευκοῦ, καὶ εὐστομώτερον, καὶ μᾶλλον διὰ τὸ εἶναι ὥριμον ἀρωματίζον, εὐχρηστότερόν τε εἰς τὰς ἀρτύσεις. τὸ δὲ λευκὸν καὶ ὀμφακίζον, ἀσθενέστερον τῶν προειρημένων. ἐκλέγου δὲ τὸ βαρύτατον καὶ πλῆρες, μέλαν, μὴ σφόδρα ῥυσσόν, πρόσφατον δὲ καὶ μὴ πιτυρῶδες. εὑρίσκεται δέ τι ἐν τῷ μέλανι ἄτροφον, κενὸν καὶ κοῦφον, ὃ καλεῖται βράσμα. Δύναμιν δὲ ἔχει κοινῶς θερμαντικήν, οὐρητικήν, πεπτικήν, ἐπισπαστικήν, διαφορητικήν, σμηκτικὴν τῶν ταῖς κόραις ἐπισκοτούντων. ἁρμόζει καὶ ῥίγεσι περιοδικοῖς, πινόμενόν τε καὶ συγχριόμενον. καὶ θηριοδήκτοις βοηθεῖ. ἄγει καὶ ἔμβρυα· δοκεῖ δὲ καὶ ἀτόκιον εἶναι μετὰ συνουσίαν προστιθέμενον. βηξί τε καὶ πᾶσι τοῖς περὶ θώρακα πάθεσιν ἁρμόζει, ἔν τε ἐκλεικτοῖς καὶ ποτήμασι λαμβανόμενον. καὶ συνάγχαις ἁρμόζει, διαχριόμενον σὺν μέλιτι· καὶ στρόφους λύει πινόμενον μετὰ δάφνης φύλλων ἁπαλῶν. ἀποφλεγματίζει δὲ σὺν σταφίδι διαμασηθέν· ἀνώδυνόν τε ἐστὶ καὶ ὑγιεινόν· καὶ ὄρεξιν κινεῖ. πέψει τε συνεργεῖ μιγνύμενον ἐν βάμμασιν. ἀναληφθὲν δὲ πίσσῃ, χοιράδας διαφορεῖ. σμήχει δὲ ἀλφοὺς σὺν νίτρῳ· φώγνυται δὲ ἐπ' ὀστράκου καινοῦ ἐπ' ἀνθρά-

Lacuna ex v. c. addit λεπτόν.

Lacuna legit in v. c. ἔστι δὲ τὸ μὲν μακρὸν, διὰ τὸ ἄωρον, ἐπιτηδειότερον εἰς τὰς ἀντιδότους καὶ θηριακὰς δυνάμεις. Deest in Ald.

V. addit ἀγρίας, atque ita legit etiã Marcellus, vt & Serapio.

Marcellus ὑπνωτικόν, ἀντὶ τοῦ ὑγιεινόν, nescio qua ratione videtur legisse.

A *De Pipere.* *Cap. CLXXXIX.*

PIPER breuis arbor esse traditur in India nascens, quæ quidem fructum promit inter initia oblongum siliquarum instar; quod longum piper est. Is habet intus aliquid tenue ac milio simile, quod tandem in perfectum piper euadit. B Et ille quidem suis temporibus dehiscens pandénsque sese, racemos emittit grana ferentes, qualia nouimus: è quibus nonnulla acerba & immatura piper faciunt candidum, aptissimum remedijs oculorum, antidotis & iis medicaminibus quæ contra venenatas bestias parantur, theriaca vocant. C Est porrò longum, intensa mordacitate præditum & subamarum, quoniam immaturum: antidotis itidem & theriacis medicaminibus accommodatum. At nigrum albo suauius est, acrius, oríque gratius ac magis aromaticum, propterea quòd tempestiua maturitate collectum est: quin & ad condimenta vtilius est. D Candidum verò, quippe quod in acerbum vergat, antedictis infirmius & inefficacius est. Eligito grauissimum, plenum, nigrum, non valdè rugosum, sed recens ac minimè furfurosum. Reperitur etiamnũ quoddam in genere nigri, nutrimento defectum, cassum seu inane ac leue, quod brasma nominatur. E Vim habet communiter omne piper excalfaciendi, vrinam ciendi, concoquendi, attrahendi, discutiendi, detergendíque ea quæ pupillis tenebras offundunt. Cõuenit etiam, seu potum seu illitum, febrium rigoribus per circuitum repetentibus, ac venenatarum quoque bestiarum F morsibus auxiliatur, & partus extrahit. Creditur & statim à concubitu subditum, spem partus adimere. Quin & tussi omnibúsque pectoris vitijs linctu potúve succurrit. Anginis item conuenit cum melle perunctum, ac tormina discutit potum cum lauri foliis tenellis. Manducatum verò cum vua passa, pituitam è capite prolicit. G Dolores quoque sedat, valetudinem tuetur, & appetentiam mouet. Sed & concoctioné adiuuat ad intinctus additum. Exceptum verò pice, strumas discutit, ac vitiligines etiam ex nitro emaculat. Torretur auté fictili nouo super pru-

nis, eodem quo in cremanda lente fit modo agitatum. Cæterùm non est huius arboris radix, vt aliqui existimauere, zingiber, quemadmodum paulò post ostendemus. Attamen piperis radix costo similis est, gustantium ora calfacit, saliuámque ciet. Eadem cum aceto imposita, itémque pota, lienem imminuit. Capitis etiam pituitam elicit commanducata cum semine pedicularis herbæ, quam staphidem agriam vocant.

De Zingibere. Cap. CXC.

ZINGIBERIS sui generis planta est, quæ plurima in Troglodytica & Arabia nascitur. Huius herba virente cocta ad multa, perinde atque nos ruta, vtuntur, propotismatis ac pulmentis eam admiscentes. Radiculas habet paruas, cyperi modo, candicantes, sapore piper imitantes ac odoratas. Eligito quæ teredinem minimè senserint. A quibusdam tamen ob id condiuntur, quòd celeriter cariem sentiant, ac fictilibus in Italiam asportantur, cibis idoneæ, si modò cum suo condimento assumantur. Vim porrò habet zingiber calfacientem, concoquentem, aluum leniter emolliētem, ac stomacho etiam vtilem. Est & efficax aduersus ea quæ pupillis caliginem offundunt. In antidota quoque additur, ac in vniuersum piperis vires quadátenus æmulatur.

De Hydropipere. Cap. CXCI.

HYDROPIPER apud aquas maximè stagnantes leniterve fluentes gignitur. Caulé edit geniculatū ac solidum, circa quem alarum sunt concauitates, ac folia menthæ similia, sed maiora, delicatiora cādidioráque, gustu acria piperis modo, citra tamen vllam odoris gratiā. Fructū verò gerit in surculis paruis propè folia erumpētem, & racematim cohærentem, qui & ipse acris est. Vim habent folia cum semine imposita œdemata veteréſque duritias discutiendi, & sub oculis sugillata emendandi. Siccata verò & tusa, sali & obsonijs pro pipere admiscentur. Cæterùm radicem habet paruam, nullius in medicina vsus.

De Ptarmica. Cap. CXCII.

PTARMICA exiguus frutex est, surculos habens paruos, multos

A κιον, κινούμενον ὡς φακῆ. ἡ δὲ ῥίζα αὐτοῦ οὐκ ἔστι ζιγγίβερ, καθάπερ ἔνιοι ὑπέλαβον, ὡς αὐτίκα δηλωθήσεται· ἔοικε μέντοι κόστῳ ἡ τοῦ πεπέρεως ῥίζα, θερμαίνουσα τὴν γεῦσιν καὶ ὑγρὰ προσκαλουμένη. ταπεινοῖ δὲ σπλῆνα σὺν ὄξει καταπλασσομένη καὶ πινομένη· ἀποφλεγματίζει δὲ μετὰ σταφίδος ἀγρίας μασηθεῖσα. Ald. ὥσπερ.

B

Περὶ Ζιγγιβέρεως. Κεφ. ρϛʹ.

ΖΙΓΓΙΒΕΡΙΣ ἴδιον ἐστὶ φυτόν, γεννώμενον ἐν τῇ * Τρωγλοδυτικῇ Ἀραβίᾳ * πλεῖστον, οὗ χρῶνται τῇ χλόῃ εἰς πολλά, καθάπερ ἡμεῖς τῷ πηγάνῳ, ἕψοντες, εἰς περιποτισμοὺς καὶ ἑψήματα μιγνύντες. V. ἐλάχιστον

C * ἔχει δὲ ῥιζία μικρὰ ὥσπερ κυπείρου, ὑπόλευκα, πεπερίζοντα τῇ γεύσει, καὶ εὐώδη· ἐκλέγου δὲ τὰ ἀτερηδόνιστα. ὑπ' ἐνίων μέντοι ταριχεύεται διὰ τὸ εὔσηπτον, καὶ διακομίζεται κεραμίοις εἰς Ἰταλίαν, * εὔχρηστον εἰς βρῶσιν· λαμβάνεται δὲ μετὰ ταρίχου. Δύναμιν δὲ ἔχει θερμαντικήν, πεπτικήν, μαλακτικὴν κοιλίας ἐπιεικῶς, V. τὰ ῥίζια ὅμοια

D εὐστόμαχον. ποιεῖ καὶ πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις· μίγνυται καὶ ἀντιδότοις, καὶ καθόλου παρέοικέ πως τῇ τοῦ πεπέρεως δυνάμει.

Περὶ Ὑδροπεπέρεως. Κεφ. ρϛαʹ.

ΥΔΡΟΠΕΠΕΡΙ φύεται μὲν μάλιστα παρὰ στασίμοις ὕδασιν ἢ ἐπιεικέσι

E ῥείθροις· καυλὸν δὲ ἀνίησι γονατώδη, * στερεόν, περὶ ὃν μασχάλαι καὶ φύλλα ἐοικότα ἡδυόσμῳ, μείζονα δὲ καὶ τρυφερώτερα καὶ λευκότερα, δριμέα ἐν τῇ γεύσει ὥσπερ τὸ πέπερι, οὐ μὴν ἀρωματίζοντα· καρπὸν δὲ ἔχει ἐπὶ κλωναρίων μικρῶν * ἐκφυόμενον παρὰ τὰ φύλλα, συνεχῆ καὶ * βοτρυώδη, V. non agnoscit. Al. ἀναφυόμενον Al. καλυμμώδη, alias βοτρυώδη

F δριμὺν καὶ αὐτόν. Δύναμιν δὲ ἔχει τὰ φύλλα σὺν τῷ καρπῷ καταπλασσόμενα, οἰδήματα καὶ χρονίους σκληρίας διαφορεῖν, ὑπώπιά τε ἀποκαθαίρειν· ξηρανθέντα δὲ καὶ κοπέντα, μίγνυται ἀντὶ πεπέρεως ὄψοις καὶ προσοψήμασι, ῥίζαν δὲ ἔχει μικράν, ἄχρηστον.

G

Περὶ Πταρμικῆς. Κεφ. ρϛβʹ.

ΠΤΑΡΜΙΚΗ θαμνίον ἐστί, κλῶνας ἔχον μικρούς, πολλούς, περιφερεῖς,

A ὁμοίους ἀβροτόνῳ· περὶ οὓς φύλλα ἐπιμήκη, ἐοικότα τοῖς τῆς ἐλαίας, πολλά· ἐπ' ἄκρω δὲ ὥσπερ ἀνθεμίδος κεφάλιον μικρόν, περιφερές, δριμὺ κατὰ τὴν ὀσμήν, ἐρεθιστικὸν πταρμοῦ· ὅθεν καὶ ὠνόμασται. Δύναται δὲ καταπλασσόμενα τὰ φύλλα μετὰ τῶν ἀνθῶν, ὑπώπια αἴρειν· τὰ δὲ ἄνθη, B πταρμοὺς ἐνεργέστατα κινεῖ. φύεται δὲ ἐν ὀρεινοῖς καὶ πετρώδεσι τόποις.

Περὶ Στρουθίου. Κεφ. ρϟγ'.

ΣΤΡΟΥΘΙΟΝ γνώριμόν ἐστι, ᾧ οἱ ἐριοπλύται χρῶνται πρὸς κάθαρσιν τῶν ἐρίων. οὗ ἡ ῥίζα δριμεῖα καὶ οὐρητική· βοηθεῖ δὲ ἡπατικοῖς, βηξίν, ὀρθοπνοίαις σὺν C μέλιτι, κοχλιαρίου πλῆθος λαμβανομένη, κοιλίας τε ὑπάγει. σὺν δὲ πάνακι καὶ καππάρεως ῥίζῃ ληφθέν, λίθους θρύπτει, καὶ ἐξουρεῖν ποιεῖ· καὶ σπλῆνα ἐσκιρρωμένον τήκει· προστεθὲν δὲ ἔμμηνα ἄγει, καὶ ἔμβρυα φθείρει ἐνεργῶς. σὺν ἀλφίτῳ δὲ καὶ ὄξει καταπλασθέν, λέπρας αἴρει· D διαφορεῖ καὶ τὰ φύματα σὺν ἀλεύρῳ κριθίνῳ καὶ οἴνῳ ἑψηθέν. μίγνυται δὲ καὶ κολλυρίοις ὀξυδερκέσι καὶ μαλάγμασι· κινεῖ δὲ καὶ πταρμούς. καὶ εἰς τὰς ῥῖνας δὲ ἐγχεόμενον λεῖον μετὰ μέλιτος, καθαίρει διὰ στόματος.

Περὶ Κυκλαμίνου. Κεφ. ρϟδ'.

ΚΥΚΛΑΜΙΝΟΣ φύλλα ἔχει ὅμοια κισσῷ, πορφυρᾶ, ποικίλα, κάτωθεν δὲ E καὶ ἄνωθεν κηλίσιν ὑπολεύκοις· καυλὸν δὲ τετραδάκτυλον, γυμνόν· ἐφ' οὗ ἄνθη ῥοδοειδῆ, πορφυρίζοντα· ῥίζαν μέλαιναν γογγυλίδι παραπλησίαν, ὑπόπλατυν. ἥτις ποθεῖσα μετὰ ὑδρομέλιτος, ἄγει φλέγμα καὶ ὕδωρ κάτω· καὶ ἔμμηνα δὲ κινεῖ F πινομένη καὶ προστιθεμένη. φασὶ δὲ ὅτι ἂν ὑπερβῇ τὴν ῥίζαν ἐγκύμων γυνή, ἐξαμβλώττειν αὐτήν. ἔστι δὲ καὶ ὠκυτόκιον περιαπτομένη· πίνεται δὲ πρὸς τὰ θανάσιμα μετ' οἴνου, καὶ μάλιστα πρὸς λαγωὸν θαλάσσιον καὶ ἑρπετῶν ἐστὶν ἀντιφάρμακον καταπλασσομένη· μεθύσκει τε οἴνῳ μιχθεῖσα· καθίστησι δὲ καὶ ἴκτερον τριῶν δραχμῶν G πλῆθος, ποθεῖσα μετὰ γλυκέος ἢ μελικράτου ὑδαρέος. κατακλίνειν δὲ δεῖ ἐν οἴκῳ θερμῷ οὐ προσηνέμῳ [τὸν] πίνοντα, καὶ

V. caret.

V. caret his κηλ. ὑπολ.

V. ἐν τῷ ἄκρῳ πορφυρίζοντα, alius ioσειδῆ. mallē ῥοδοειδῆ. Samb.

V. ὠκυτόκιον

Desunt hæc in vulg. exempl.

A & teretes, abrotono similes: circa quos folia sunt oblonga, oleaginis proxima multáque, ac in cacumine capitulum vti anthemidis, paruum, rotundum, acri odore, sternutamēta ciens, vnde etiam nomen accepit. Valent folia cum floribus illita ad delenda sub oculis sugillata: flores autem sternutamenta efficacis- B simè mouent. Nascitur in montosis saxosísque locis.

De Struthio seu radicula.

Cap. CXCIII.

STRVTHIVM vulgo notum, quo fullones purgandis lanis vtuntur. Huius radix acris est, vrinámque ciet: auxiliatur iocinerosis, tussi & C orthopnœæ, sumpta cum melle cochlearis mensura, & aluum quoque subducit. Eadem cū panace & capparis radice calculos frangit, & cum vrina expellit, lienémque in scirrhum induratum liquat. Subdita verò menses trahit, & partus efficaciter enecat. Cum polenta autem & aceto illita, lepram emendat. Di- D scutit & panos, cum farina hordeacea & vino decocta. Miscetur præterea collyriis exacuendæ oculorū aciei dicatis, itémque malagmatis. Sternutamenta etiam facit, atque per os purgat trita cum melle ac naribus infusa.

De Cyclamino. Cap. CXCIIII.

CYCLAMINVS folia habet hede- E ræ similia, purpurea, varia, infra supráque maculis albicantibus distincta: caulem verò quaternum digitorum, inanem ac nudum: in cuius summo flores emicant rosarum effigie, purpurascentes. Radix nigra rapo proxima & aliquantum lata. Quæ quidē cum hydromelite pota pituitā aquosáque detrahit, ac mē- F ses pota subditáve ciet. Tradunt si prægnans mulier radicem eā transgrediatur, abortum fieri. Sed & adalligata partum accelerat. Cōtra venena, prǽsertímque leporis marini, ex vino bibitur. Imposita quoque, contra serpentiū ictus remedio est: & addita in vinum, ebrietatem re- G præsentat. Regium verò morbum discutit tribus drachmis pota cum passo aut mulsa dilutiore: Sed bibētem oportet cubiculo calido minimé que ventis exposito recumbere, pluri-

pluribus contectum stragulis, quò faciliùs exudet. Qui verò elicietur sudor, colore felleus inuenietur. Eius etiam succus cum melle naribus infunditur ad purgandum caput, & sedi in vellere subditur ad deijcienda alui excrementa. Idem illitus vmbilico & imo ventri ad coxas vsque, aluum emollit, abortúmque facit. Quin & suffusis hebetioribúsque oculis oblitus cum melle succus prodest. Miscetur & medicamentis abortum inferentibus. Idem cum aceto illitus procidua sedem restituit. Exprimitur verò tusa radice succus, & ad mellis crassitudinem decoquitur. Radix autem ipsa cutem purgat, eruptiones papularum reprimit, ac vulneribus ex aceto tũ per se, tum etiam cum melle, medetur. Lienem quoque imposita liquat & absumit. Contractas etiã à sole maculas & alopecias emendat. Sed & ipsius decoctum fotu, luxatis, podagrę, capitis vlcusculis atque pernionibus idoneum & accommodatum est. Quòd si in oleo vetere feruefacta fuerit, illito oleo cicatrix inducitur. Ipsa quoque radix excauata oleo impletur, & cineri feruenti imponitur, addito interdum cerę Tyrrhenicæ momento, vt strigmenti modo viscosus fiat illitus, perquã vtilis pernione laborãtibus. Cæterùm radix scillæ modo concisa reponitur: traditúrque etiam ad amatoria assumi tusa, ac in pastillos diuisa. Nascitur verò locis vmbrosis, maximéque sub arboribus.

De Cyclamino altera. Cap. C XCV.

Cyclaminus altera, quam nonnulli cissanthemon aut cissophyllon vocant, folia fert hederæ, sed minora: caules crassos, geniculatos, quíque circa vicinas arbores capreolorũ modo sese voluũt. Flores visuntur candidi, odorati. Fructus verò vuæ acinorum instar, corymbis hederæ similis, mollis, ac sapore aliquantulũ acris, atq; lętus: radix superuacua. Nascitur locis asperis. Huius fruct⁹ drachmę vnius põdere potus cum vini albi cyathis duob⁹ ad quadraginta dies, lienẽ liquat, ac per vrinas & aluũ absumit.

A πλείοσιν ἱματίοις περιβληθῇ ὅπως ἱδρώσῃ· ὁ δὲ ἀποκρινόμενος ἱδρὼς, χολώδης εὑρίσκεται τῇ χροιᾷ. ἐγχυματίζεται τε ὁ χυλὸς αὐτῆς μετὰ μέλιτος εἰς τὰς ῥῖνας πρὸς κάθαρσιν κεφαλῆς· καὶ τῷ δακτυλίῳ ἐν ἐρίῳ προστίθεται πρὸς κομιδὴν περιττωμάτων. καταχρισθεῖσα δὲ αὐτὴ ἐπ' ὀμφαλοῦ καὶ ὑ-

B πογαστρίου καὶ ἰσχίων, κοιλίαν μαλάσσει, καὶ ἐκτρωσμοὺς ἐργάζεται· καὶ πρὸς τοὺς ὑποκεχυμένους καὶ ἀμβλυωποῦντας ὀφθαλμοὺς ἐγχριόμενος ὁ χυλὸς σὺν μέλιτι ἁρμόζει. μίγνυται καὶ εἰς τὰ φθόρια. ἕδραν δὲ προπιπτούσας σὺν ὄξει καταχριόμενος ὁ χυλὸς καθίστησι. χυλίζεται δὲ ἡ ῥίζα κοπτομένη καὶ

C ἐκθλιβομένη, ἑψομένου τοῦ χυλοῦ ἄχρι μελιτώδους συστάσεως. ῥύπτει δὲ καὶ χρῶτα ἡ ῥίζα, καὶ ἐξανθήματα στέλλει, καὶ τραύματα μεθ' ὄξους καθ' ἑαυτήν τε καὶ μετὰ μέλιτος ἰᾶται. καταπλασσομένη δὲ καὶ σπλῆνα τήκει· ἀποκαθαίρει δὲ καὶ ἔφηλιν καὶ ἀλωπεκίας· ἁρμόζει δὲ καὶ πρὸς στρέμματα καὶ ποδάγρας, καὶ

D τὰ ἐν κεφαλῇ ἑλκύδρια καὶ χίμετλα τὸ ἀφέψημα αὐτῆς καταντλούμενον. αὐτή τε δι' ἐλαίου παλαιοῦ ἀναζεσθεῖσα, ἀπουλοῖ καταχριομένου τοῦ ἐλαίου. ἐγκοιλανθεῖσα δὲ πληροῦται τοῦ ἐλαίου, καὶ τίθεται ἐπὶ θερμοσποδιᾶς· προσεμβάλλεται δὲ ἐνίοτε καὶ κηροῦ Τυρρηνικοῦ ὀλίγον, ὡς γλοιῶδες

E γενέσθαι κατάχρισμα ἄριστον χιμετλιῶσιν. ἀποτίθεται δὲ ἡ ῥίζα τμηθεῖσα ὥσπερ σκίλλα. ἱστορεῖται δὲ καὶ πρὸς φίλτρα αὐτὴν λαμβάνεσθαι κοπεῖσαν ἀναπλασθεῖσάν τε εἰς τροχίσκους. φύεται δὲ ἐν συσκίοις τόποις, μάλιστα δὲ ὑπὸ τὰ δένδρα.

Περὶ ἑτέρας Κυκλαμίνου. Κεφ. ρϛε.

F Κυκλάμινος ἑτέρα, ἣν ἔνιοι κισσάνθεμον ἢ κισσόφυλλον καλοῦσι· φύλλα ἔχει κισσῷ ἐοικότα, ἐλάσσονα δέ. καυλοὺς παχεῖς, γονατώδεις, περιελισσομένους τοῖς παρακειμένοις δένδρεσιν ἑλικοειδῶς· ἄνθη λευκά, εὐώδη· καρπὸς δὲ ὡς ῥᾶγες σταφυλῆς, ὅμοιος κισσῷ, μαλακός, δριμὺς ἐν τῇ γεύσει

G ἠρέμα, καὶ γλίσχρος· ῥίζα ἄχρηστος. φύεται δὲ ἐν τραχέσι χωρίοις. ταύτης ὁ καρπὸς ὅσον < μία τὸ πλῆθος πινόμενος μετ' οἴνου λευκοῦ κυάθων β' ἐπὶ ἡμέρας μ', σπλῆνα τήκει δι' οὔρων καὶ κοιλίας δαπανώμενον.

Cataeut. ὑπογαστρίου

Lacuna ex vet. cod. μαλάττει

V. προπίπτουσαν

V. non legit.

Hæc vsque ad τροχίσκους in vetusto quodã codice desiderantur.

Hoc alterius cyclamini caput in quibusdam exemplaribus desideratur.

V. λευκοειδῆ

Addit Lacuna ex v. cod. λείας, γλυκεῖς Goupylus esse scribit in veteri vestigia diuersæ cuiusdam scripturæ. sed vulgatam, quippe quæ optimum habeat sensum, veram esse existimat.

πίνεται δὲ καὶ πρὸς ὀρθόπνοιαν. καὶ τὰ ἐκ τοκετῶν καθαίρει * ποθεῖσα.

V. περὶ δρακοντίας μεγάλης.

Περὶ Δρακοντίου. Κεφ. ρϟϛ'.

ΔΡΑΚΟΝΤΙΟΝ ἔχει φύλλα κισσοειδῆ, μεγάλα, σπίλους ἔχοντα λευκούς· καυλὸν δὲ ὀρθόν, δίπηχυν, ποικίλον, ὀφιοειδῆ, διαπόρφυρον τοῖς σπίλοις, βακτηρίας τὸ πάχος· καρπὸς δὲ ἐπ' ἄκρου βοτρυώδης, χρώματι τὸ μὲν πρῶτον χλοώδης, πεπανθεὶς δὲ κροκίζων, ἐπιδάκνων τὴν γεῦσιν· ῥίζα ποσῶς στρογγύλη, βολβοειδής, ὁμοία ἄρῳ, φλοιὸν ἔχουσα λεπτόν. φύεται ἐν συσκίοις περὶ φραγμοὺς καὶ αἱμασιάς. Δύναμιν δὲ ἔχει ὁ καρπὸς χυλισθεὶς καὶ ἐγχυματισθεὶς μετ' ἐλαίου εἰς τὸ οὖς, ὠταλγίαν παύειν· εἰς δὲ τὰς ῥῖνας προστιθέμενος ἐν ἐρίῳ, πολύποδα δαπανᾷν· καταχριόμενος δέ, στέλλειν καὶ καρκινώματα. ποθέντες δὲ ὅσον λ'. κόκκοι μετὰ ὀξυκράτου, ἐξαμβλώσκουσι· καὶ τὴν ὀσμὴν δέ φασι μετὰ τὸν μαρασμὸν τῆς ἀνθήσεως, τῶν ἄρτι συνειλημμένων ἐμβρύων φθαρτικὸν εἶναι. ἡ δὲ ῥίζα θερμαντικὴ οὖσα, βοηθεῖ ὀρθοπνοίαις, ῥήγμασι, σπάσμασι, βηξί, κατάῤῥῳ· καὶ τὰ ἐν θώρακι ὑγρὰ εὐανάγωγα ποιεῖ, ἑφθή τε καὶ ὀπτὴ μετὰ μέλιτος καὶ καθ' ἑαυτὴν βιβρωσκομένη. ξηρὰ δὲ λεία σὺν μέλιτι ἐκλείχεται. ἔστι δὲ οὐρητική, ὁρμάς τε πρὸς συνουσίαν ἐγείρει, πινομένη μετ' οἴνου· καὶ ἕλκη κακοήθη καὶ φαγεδαινικὰ μετὰ βρυωνίας λευκῆς σὺν μέλιτι λεανθεῖσα ἀνακαθαίρει καὶ ἀπουλοῖ. καὶ κολλύρια ἐξ αὐτῆς ἀναπλάττεται πρὸς σύριγγας, καὶ ἐμβρύων κομιδήν. φασὶ δὲ ὅτι καὶ εἰ διατρίψει τις τὰς χεῖρας τῇ ῥίζῃ, ἀπὸ ἐχίδνης ἄδηκτος μένει· ἀποκαθαίρει δὲ καὶ ἀλφοὺς σὺν ὄξει καταχρισθεῖσα. τὰ δὲ φύλλα λεῖα ἐπὶ τῶν νεοτρώτων ἀντὶ μότων ἐπιτιθέμενα ἁρμόζει· καὶ πρὸς χίμετλα, ἑψηθέντα ἐν οἴνῳ καὶ ἐπιτεθέντα· τυρός τε ἐνειλούμενος τοῖς φύλλοις, ἄσηπτος διαμένει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἁρμόζει πρὸς νεφέλια, καὶ λευκώματα καὶ ἀχλύς. λαχανεύεται δὲ ἡ ῥίζα καὶ παρὰ τοῖς ἐν ὑγείᾳ ζῶσιν, ἑφθή τε καὶ ὠμὴ ἐσθιομένη.

V. addit, λεῖον, ὀρθόν, ὡς δίπηχυ ὄν, καὶ πάχει ὡς βακτηρίας, ποικίλον κατὰ τὴν χρόαν, ὡς ὁ ὄφις δράκοντι καὶ πλεονάζει ἐν τοῖς πορφυροῖς σπίλοις, φύλλα, ὡς λαπάθου αἰτιομαλκ κεκάμμενα.

Ald. περὶ φραγμοὺς καὶ αἱμασιάς.

Alter scriptus, κατὰ τὸν μαρασμόν.

Ald. ἀνάγωγα

A Bibitur & ad orthopnœam: ac partus quoque reliquias à partu purgat.

De Dracontio seu dracunculo. Cap. CXCVI.

DRACVNCVLVS folia fert hederacea, magna, candidis B notata maculis: caulem verò rectum, duûm cubitorum, versicolorem, anguis effigie, maculis respersum purpureis, baculi crassitudine. Fructus est in summo racemosus, colore primùm quidē herbaceo, sed cùm ematuruit ad croceum vergēte, sapore mordax. Radix quadantenus rotunda, bulbosa, aro similis, te- C nui vestita cortice. Nascitur in vmbrosis, circa sepes ac macerias. Expressus è semine succus cũ oleo in aurem infusus, dolorem auris mitigandi vim habet. Naribus etiam ex vellere inditus, polypum absumit. Sed & carcinomata illitu sistit. Eius autem grana xxx si in posca bibantur, abortum inferunt. Quin D & odorem aiunt, posteaquam flaccidi flores emarcuerũt, recens conceptos fœtus enecare. At radix calfaciendi vi prædita succurrit orthopnoeæ, ruptis, conuulsis, tussi atque destillationi. Pectori etiam hærentes humores facit excreabiles, siue elixa tostáve cum melle aut per se edatur, siue ipsa trita ex melle de- E lingatur. Vrinam quoque ciet, ac venerem excitat è vino pota. Quin & vlcera maligna & phagedænica cum bryonia alba & melle trita expurgat, & ad cicatricem perducit. Ex ea quoque efformantur collyria ad fistulas, extrahendósque partus. Aiunt & qui manus radice perfricuerit, à viperæ morsu tutum & F illæsum existere. Ex aceto denique illita, vitiligines emaculat. Folia verò trita recentibus vulneribus linamentorum vice conuenienter imponuntur: itidémque pernionibus, si priùs in vino decocta fuerint. Sed & caseus folijs inuolutus à putredine seruatur immunis. Succus autem radicis ad nubeculas, G albugines, oculorúmque caligines conuenit. Ipsa verò radix etiam ad sanorum vsus, nimirum in cibos, cocta crudáq; oleris vice recipitur.

Quin & Gymnesiarum insularum, quas Baleares vocãt, incolæ coctam radicem cum melle multo placentarum loco in conuiuijs apponunt. Cæterùm radicem messibus effodi, lotámque & frustatim concisam, ac lino traiectam siccari in vmbra, atque ita recondi oportet.

De Aro. Cap. CXCVII.

ARON apud Syros lupha vocitatũ, folia emittit dracunculi, sed & minora & minùs maculosa: caulem dodrãtalem, subpurpureum ac pistilli forma, in cuius summo fructus est in croceum colorem inclinans. Radix alba, dracunculi radici proxima: quæ itidem decocta estur, quippe quæ minùs acris sit. Folia vero ad esum condiuntur, & arida per se decocta manduntur. Radix, semẽ & folia easdem cum dracunculo vires obtinent. Priuatim tamen radix cum fimo bubulo podagricis imposita prodest. Cæterùm eodem quo dracunculi radix modo reconditur, ac in summa ob mitiorem qua prædita est acrimoniam esui aptior est.

De Ari seu arisaro. Cap. CXCVIII.

ARISARVM exigua herbula est, cuius radix oliuæ magnitudinem implet. Est ea maioris quàm aron acrimoniæ: vnde illitu nomas sistit. Ex eadẽ collyria concinnantur, ad fistulas efficacia. Cæterùm imposita inditáve, cuiuslibet animalis genitale agit in perniciem.

De Asphodelo, seu hastula regia. Cap. CXCIX.

ASPHODELVS planta est plerisque omnibus cognita, folijs magni porri, caule vero leui (anthericon appellant) cuius in cacumine flos emicat. Radices subiacent oblongæ, teretes, glandibus similes, gustu acres, & calfaciẽdi vi prędıtæ. Hę bibitę vrinas mẽstruáq; cõcitãt. Medẽtur & lateris dolorib⁹, tussib⁹, cõuulsisatq. ruptis, drachmę põdere in vino potę. Vomitiones verò adiuuat asphodel⁹, lusorij tali magnitudine in cibo sumpt⁹. Vtiliter etiã trib⁹ drachmis datur à serpẽte demorsis: sed vulneribus ex morsu folia, radicem ac flores ex vino illini oportet.

A Οἱ δὲ ἐν ταῖς Γυμνησίαις νήσοις, καλουμέναις δὲ Καλλαρίσιν, ἑφθὴν τὴν ῥίζαν μιγνύντες μέλιτι πολλῷ, ἐν τοῖς συνδείπνοις ἀντὶ πλακούντων παρατιθέασιν. ἀποτίθεσθαι δὲ δεῖ τὴν ῥίζαν ἐν πυραμητῷ ὀρύξαντας καὶ πλύναντας καὶ κατατεμόντας. ἐνείραντάς τε λίνῳ καὶ ξηράναντας ἐν σκιᾷ.

B Περὶ Ἄρου. Κεφ. ρϟζ΄. — V. inscribit. περὶ δρακοντίας μικρᾶς.

ΑΡΟΝ τὸ καλούμενον παρὰ Σύροις λοῦφα, φύλλα ἀφίησιν ὅμοια τοῖς τοῦ δρακοντίου, μικρότερα δὲ καὶ ἀσπιλότερα· καυλὸν σπιθαμιαῖον, ὑπόπορφυρον, ὑπεροειδῆ. ἐφ᾽ οὗ ὁ καρπὸς κροκίζων· ῥίζα λευκὴ πρὸς τὴν τοῦ δρακοντίου, ἥτις καὶ C ἐσθίεται ἑψομένη, ἧττον οὖσα δριμεῖα. ταριχεύεται δὲ τὰ φύλλα εἰς βρῶσιν, καὶ [καθ᾽ ἑαυτὰ] ξηρανθέντα ἑψόμενα ἐσθίεται.

Vulg. exempl. μακρότερα. V. ἀσπιλωτα. V. ὑπόπυῤῥον. Sic Orib. V. ὑπομηκοειδῆ. V. quidem (λευκὴ) non habet. V. ὁ κρεμμύου λεπτοῦ. V. non habet.

Δύναμιν δὲ ἔχει ἡ ῥίζα καὶ τὸ σπέρμα καὶ τὰ φύλλα τὴν αὐτὴν τῷ δρακοντίῳ. ποιεῖ δὲ ἡ ῥίζα καταπλασσομένη σὺν βολβίτῳ ἐπὶ ποδαγρικῶν. ἀποτίθεται δὲ ὡς D ἡ τοῦ δρακοντίου. καὶ καθόλου ἐστὶ διὰ τὸ μὴ λίαν δριμὺ ἐδώδιμος.

Hęc verba non leguntur in manuscripto: sed ea exprimunt Interpretes. Al. ἰσοδριμοτέρα.

Περὶ Ἀρισάρου. Κεφ. ρϟη΄.

ΑΡΙΣΑΡΟΝ ἐστὶ μικρὸν βοτάνιον, ῥίζαν ἔχον ὡς ἐλαίας. ἔστι δὲ δριμύτερα τοῦ ἄρου· ὅθεν νομὰς ἵστησι καταπλασσομένη. κολλύριά τε πρὸς σύριγγας ἐν- E εργῆ ἐξ αὐτῆς γίνεται. φθείρει δὲ καὶ αἰδοῖον παντὸς ζώου ἐντεθεῖσα. — Ald. δριμύτερον

Περὶ Ἀσφοδέλου. Κεφ. ρϟθ΄.

ΑΣΦΟΔΕΛΟΣ φυτὸν τοῖς πλείστοις γνώριμον, φύλλα ἔχων πράσῳ μεγάλῳ ὅμοια· καυλὸν δὲ λεῖον, ἔχοντα ἐπ᾽ ἄκρου ἄνθος καλούμενον ἀνθέρικον. ῥί- F ζαι δὲ ὕπεισιν ἐπιμήκεις, στρογγύλαι, βαλάνοις ὅμοιαι, δριμεῖαι κατὰ τὴν γεῦσιν, καὶ τὴν δύναμιν θερμαντικαί. κινοῦσι δὲ καὶ οὔρησιν καὶ ἔμμηνα, ποθεῖσαι. ἰᾶται δὲ καὶ πλευρᾶς ἀλγήματα καὶ βῆχας, καὶ σπάσματα, καὶ ῥήγματα < α πλῆθος τῆς ῥίζης ἐν οἴνῳ πινομένης· ποιεῖ δὲ καὶ εὐεμεστέροις ὅσον ἀστρά- G γαλος βρωθείς· καὶ ἑρπετοδήκτοις δίδοται ὠφελίμως ὅσον < γ΄. τὸ πλῆθος. καταπλάττειν δὲ δεῖ τὰ δήγματα τοῖς τε φύλλοις καὶ τῇ ῥίζῃ καὶ τοῖς ἄνθεσι σὺν οἴνῳ.

V. πλείοσι. V. ἐπιμήκεις. V. ποθεῖσα.

καὶ τὰ ῥυπαρὰ καὶ νεμόμενα ἕλκη καὶ μαστῶν καὶ διδύμων φλεγμονὰς καὶ φύματα καὶ δοθιῆνας, συγκαθεψομένης τρυγὸς οἴνου τῇ ῥίζῃ· πρὸς δὲ τὰς προσφάτους φλεγμονὰς μετ' ἀλφίτου. ὁ δὲ χυλὸς τῆς ῥίζης προσλαβὼν οἴνου παλαιοῦ γλυκέος, καὶ σμύρνης καὶ κρόκου, συνεψηθέντων ἐπὶ τὸ αὐτό, ἄριστον γίνεται ὀφθαλμοῖς φάρμακον· καὶ πρὸς ὦτα πυορροοῦντα καθ' ἑαυτόν, καὶ σὺν λιβανωτῷ καὶ μέλιτι, καὶ οἴνῳ, καὶ σμύρνῃ χλιανθεὶς ἁρμόζει· ὀδονταλγίαις τε καθ' ἑαυτὸν ἐγχυθεὶς ὁ χυλὸς τῷ ἀντικειμένῳ ὠτίῳ, πραΰνει. καυθεῖσα δὲ ἡ ῥίζα, τῆς τέφρας ἐπιπλασσομένης, ἀλωπεκίας δασύνει. ἑψηθὲν δ' ἔλαιον ἐν κεκοιλωμέναις ταῖς ῥίζαις ἐπὶ πυρός, εἱλκωμένας χίμετλας καὶ πυρίκαυστα ἐπαλειφόμενον ὠφελεῖ, καὶ ὠταλγοῦσι βοηθεῖ, ἐγχεόμενον εἰς τὸ οὖς. ἀλφόν τε λευκὸν προσανατριφθέντα ἐν ὀθονίῳ ἐν ἡλίῳ, καταχρισθεῖσα ἡ ῥίζα σμήχει. ὁ δὲ καρπὸς καὶ τὰ ἄνθη, κατ' ἐξοχὴν σκολοπένδρων καὶ σκορπίων ἀντιφάρμακόν ἐστιν, ἐν οἴνῳ ποθέντα· καταρρήττει δὲ καὶ τὴν κοιλίαν.

Ald. συνεψηθεῖσα

Ruell. λεανθεὶς legisse videtur.

Ald. συνεψηθὲν δ' ἔλαιον κεκοιλωμένῳ.

V. [illegible] quod expressit Barbarus.

V. [illegible], al. [illegible]

V. subdit [illegible]

In v. desiderātur hæc ad finem vsque.

Περὶ Βολβοῦ ἐδωδίμου. Κεφ. σ'.

Hoc caput proximè sequenti postponitur in Aldino exemplari.

ΒΟΛΒΟΣ ἐδώδιμος γνώριμος πᾶσιν, ὃν ἐσθίομεν· εὐστόμαχος, εὐκοίλιος, πυῤῥός, καὶ ἀπὸ Λιβύης κομιζόμενος· ὁ δὲ πικρὸς καὶ σκιλλώδης, εὐστομαχώτερος, πεπτικός. πάντες δὲ δριμεῖς καὶ θερμαντικοί· καὶ πρὸς συνουσίαν παρορμῶντες, τραχύνοντες γλῶτταν καὶ παρίσθμια, πολύτροφοι, σαρκῶν θρεπτικοί, ἐμπνευματοῦντες· ποιοῦσι δὲ καταπλασσόμενοι πρὸς στρέμματα, θλάσματα, σκόλοπας, καὶ πρὸς τὰς τῶν ἄρθρων ὀδύνας, γαγγραίνας τε καὶ ποδάγρας σὺν μέλιτι καὶ καθ' ἑαυτούς. καὶ τὰ ἐπὶ τῶν ὑδρωπικῶν οἰδήματα καὶ κυνόδηκτα, ὁμοίως σὺν μέλιτι καὶ πεπέρει λείῳ καταπλασθέντες· ἐπέχουσιν ἱδρῶτας, καὶ στομάχου ὀδύνας παύουσι· καὶ πίτυρα καὶ ἀχῶρας ἀποσμήχουσι σὺν ὀπτῷ νίτρῳ. καθαίρουσι δὲ καὶ ὑπώπια καὶ ἴονθους, καθ' ἑαυτοὺς ἢ σὺν ᾠοῦ λεκύθῳ, καὶ φακοὺς σὺν μέλιτι ἢ ὄξει.

Al. [illegible]

V. caret.

Lacuna in vet. cod. legit σὺν ἑψημένῳ.

A Itē sordidis ac ac depascētibus vlceribus, mammarū ac testiū inflāmationibus, tuberculis furunculísque radix vna cum vini fæce decocta: recentibus autem inflammationibus ex polenta, auxiliatur. At ex radicis succo, additis vetere vino dulci, myrrha & croco, ita vt simul omnia decoquantur, illinendis fit B oculis vtile cum primis medicamentum. Idem ad purulentas aures per se, & cum thure, melle, vino ac myrrha tepefactus prodest: dentium verò dolores mitigat, oppositæ auriculæ per sese instillatus. Cinis autem è cremata radice, alopecias illitu densat, capillóve replet. Oleum verò in excauatis ra- C dicibus igni decoctum, exulceratis pernionibus & igni ambustis inunctione conducit, & aurium dolori infusum auri auxiliatur. Porrò vitiliginem albam, ad solem linteolo antè perfrictam, illita radix emaculat. Cæterùm semen & flores, si in vino bibantur, præ cæteris omnibus egregiè scolopendræ & scor- D pionum ictibus aduersantur: sed & violenter aluum deijciunt.

De Bulbo esculento. Cap. CC.

BVLBVS esculentus quo vescimur, vulgo cognitus est. Stomacho & aluo vtilis rufus, quíque ex E Africa defertur. Amarus verò & scillæ similis, stomacho aptior est, & concoctionem adiuuat. Bulbi autem omnes acres sunt & excalfactorij. Venerem stimulant, linguam & tonsillas exasperant, plurimum nutriunt, & carnem augēt: verùm inflationes pariunt. Illiti F verò efficaces sunt ad luxata, contusa, infixa spicula & articulorum dolores: itémque ad gangrænas & podagras, cum melle ac per se. Valent & ad hydropicorum œdemata & canum morsus, cum melle ac pipere trito similiter impositi. Sudores ijdem compescunt, stomachíque dolores mitigant. Quin G & furfures vlceráque capitis manantia cum tosto nitro abstergunt. Sub oculis sugillata varósque per se, aut ex oui luteo, itémque lētigines cum melle vel aceto, emēdant.

Pl. cum vino aut carnem [illegible]

Fractis etiam auribus vnguibúsque contusis ex poléta medentur. Ficos ijdé tollunt in calidis cineribus torrefacti,& cum vstis mænarum capitibus impositi. Cremati verò & cũ alcyonio permixti, cõtractas à sole maculas & cicatrices nigras in sole illiti emaculãt. Faciunt & ad rupta, si cum aceto elixi edantur. Cæterùm ab ipsorũ largiore cibo cauendũ,quoniã genus neruosum tẽtant.

De Bulbo vomitorio. Cap. CCI.

Bulbus,quem vomitorium vocãt, folia habet lori modo flexiliora, multóq; longiora quàm esculentus: radicem tamen bulbo similem, sed cortice nigro vestitam.Ea radix per se comesta,itémq; ipsius decoctum potum, vesicæ vitijs medentur, ac vomitiones mouent.

De Scilla. Cap. CCII.

SCILLA vim habet acrem & vrentem. Attamen assata ad plurimos vsus accõmodatur.Farina verò subacta lutóve oblinitur, & in clibanum conijcitur,aut prunis obruitur,donec ambiens crusta sufficienter intosta fuerit. Hac detracta, nisi scilla prorsus mollis ac tenera euaserit,iterum noua farina subacta lutóve obducetur, & eadẽ quæ priùs fient. Enimuerò quæ non sic assata fuerit,interaneis noxam infert,maximè si intrò sumatur. Torretur & in olla operculata,atque in furnum demissa. Ex ea verò sumitur quod intimum est meditullium, direptis exterioribus tunicis. Sed & concisa elixatur,mutata sępius aqua,tantisper dum in ipsa aqua neque amaritudo neque acrimonia percipiatur vllà. Denique & in vmbra siccatur frustatim confecta,linóque traiecta modicis interuallis, vt ne segmina seu taleolæ sese inuicem contingãt. Et his quidem scillæ segmẽtis ad oleum,vinum & acetum scilliticũ vtimur. At verò ad pedum rimas interna pars crudæ scillæ in oleo feruefacta, aut cum resina dissoluta imponitur. A vipera autẽ demorsis in aceto decocta vice cataplasmatis adhibetur. Ad singulas porrò tostæ scillæ partes adiectis octonis triti tostique salis, cochlear vnum aut alterum ieiunis exhibemus, emolliendæ alui gratia.

A πρὸς δὲ ὤτων θλάσματα σὺν ἀλφίτῳ καὶ πρὸς θλάσεις ὀνύχων· ἀφαιροῦσι δὲ καὶ σύκας ὀπτηθέντες ἐν θερμοσποδιᾷ, καὶ μετὰ μαινίδων κεφαλῶν κεκαυμένων ἐπιτεθέντες· καέντες δὲ καὶ μιγέντες ἀλκυονίῳ, ἔφηλιν καὶ οὐλὰς μελαίνας ἀποκαθαίρουσιν, ἐν ἡλίῳ καταχριόμενοι. σὺν B ὄξει δὲ ἑφθοὶ βιβρωσκόμενοι ποιοῦσι πρὸς ῥήγματα. φυλάσσεσθαι δὲ αὐτῶν τὸ πλῆθος ἐν τῇ βρώσει δεῖ διὰ τὸ ἅπτεσθαι τοῦ νευρώδους.

Περὶ Βολβοῦ ἐμετικοῦ. Κεφ. σα΄.

Βολβὸς, ὁ καλούμενος ἐμετικὸς, ἔχει τὰ φύλλα ἱμαντωδέστερα, καὶ πολλῷ μα- C κρότερα τοῦ ἐδωδίμου· ῥίζαν ἐοικυῖαν βολβῷ, περὶ ὃν φλοιὸς μέλας. αὕτη ἐσθιομένη καθ' αὑτὴν, καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενον, τὰ περὶ κύστιν ἰᾶται, καὶ ἔμετον κινεῖ. *Al. ὧν Caiac. μέγας*

Περὶ Σκίλλης. Κεφ. σβ΄.

ΣΚΙΛΛΑ δύναμιν ἔχει δριμεῖαν καὶ πυρωτικήν· πολύχρηστος δὲ γίνεται ὀπτη- D θεῖσα. στέατι δὲ ἢ πηλῷ περιπλάσσεται, καὶ δίδοται εἰς κλίβανον, ἢ ἄνθραξιν ἐγκρύπτεται μέχρις ἂν ὀπτηθῇ ἱκανῶς τὸ περικείμενον στέαρ. οὗ περιαιρεθέντος, εἰ μὴ ταχηρὰ γέγονεν, ἕτερον στέαρ ἢ πηλὸν περιπλάσαντες, τὰ αὐτὰ ποιήσομεν· ἡ γὰρ μὴ οὕτως ὀπτηθεῖσα, βλαβερὰ τὴν δόσιν, πρὸς τὰ ἐν- E τόσθια μάλιστα προσφερομένη. ὀπτᾶται δὲ καὶ ἐν χύτρᾳ πεπωμασμένῃ καὶ καθιεμένη εἰς κλίβανον. λαμβάνεται δὲ αὐτῆς τὸ μεσαίτατον τῶν ἔξωθεν περιαιρουμένων, καὶ ἕψεται δὲ ἐντμηθεῖσα ἀποχεομένου τοῦ πρώτου ὕδατος, ἑτέρου τε ἐπιχεομένου, ἄχρις ἂν μὴ πικρὸν ἢ δριμὺ γένηται τὸ ὕδωρ. καὶ F ξηραίνεται δὲ ἐν σκιᾷ τμηθεῖσα, καὶ διαιρεθεῖσα λιναρίῳ, ὡς μὴ ἅπτεσθαι ἀλλήλων τοὺς τόμους. τῇ μὲν οὖν τμητῇ, εἰς ἔλαιον, καὶ οἶνον, καὶ ὄξος σκιλλητικὸν χρώμεθα. πρὸς δὲ ῥαγάδας τὰς ἐν ποσὶ, τὸ ἔνδον τῆς ὠμῆς σὺν ἐλαίῳ ζεσθὲν, ἢ σὺν τῇ ῥητίνῃ τηχθὲν, ἐπιτίθεται. ἐχιοδήκτοις δὲ κατάπλασμα, ἑ- G ψηθεῖσα σὺν ὄξει. τῆς δὲ ὀπτῆς πρὸς ἓν μέρος τῆς σκίλλης, συνεκλεάνοντες ἁλῶν ὀπτῶν μέρη ὀκτὼ, δίδομεν κοχλιάριον ἓν ἢ δύο νήστεσι πρὸς μάλαξιν κοιλίας·

V. addit, σταλακώσιαι δὲ

Forte τακερά

Al. τμηθεῖσα διαβληθέντος λιναρίου.

Marc. ἀρωματικαὶ

A εἰς ποτήματά τε καὶ ἀρωματικὰς δυνάμεις, καὶ ἐφ' ὧν οὔρησιν κινῆσαι θέλομεν, καὶ ἐπὶ ὑδρωπικῶν, καὶ στομαχικῶν οἷς ἐπιπολάζει τὰ σιτία, καὶ ἐπὶ ἰκτέρου, στροφουμένων, βηττόντων χρονίως, ἀσθματικῶν, ἀναφορικῶν. αὐτάρκης δὲ ὁλκὴ τριωβόλου σὺν μέλιτι ἐκλειχθεῖσα. καὶ συγκαθέψεται δὲ τῷ μέλιτι, καὶ βιβρώσκεται B πρὸς τὰ αὐτά, μάλιστα πέψει συνεργοῦσα. ἄγει δὲ γλοιώδεις κατὰ κοιλίαν. ἑφθὴ δὲ πρὸς τὰ αὐτὰ ποιεῖ, ὁμοίως λαμβανομένη. φυλάττεσθαι δὲ καὶ αὐτῆς τὴν δόσιν δεῖ, ἐφ' ὧν ἕλκωσίς τις ἐστὶν ἐντός. καὶ πρὸς ἀκροχορδόνας ποιεῖ καὶ χίμετλα ἐγχριθεῖσα ὀπτή. C τὸ δὲ σπέρμα [αὐτῆς λεῖον ἀναληφθὲν ἐν ἰσχάδι ἢ μέλιτι καὶ βρωθέν,] μαλάσσει κοιλίαν. ἔστι δὲ καὶ ἀλεξιφάρμακον ὅλη πρὸ τῶν θυρῶν κρεμαμένη.

Conclusa in vetusto codice omittuntur.

In potiones quoque & aromaticas compositiones addita, ijs prodest quibus vrinã ciere volumus, itémque hydropicis & stomachicis quibus innatat cibus, regio morbo laborantibus, torminosis, tussi vetere infestatis, suspiriosis & ore sanguinem reijcientibus. Pondus verò ternûm obolorũm ex melle delingi sat est. Coquitur & in melle estúrque in eosdem vsus, concoctionem plurimùm adiuuans. Strigmenti verò in modum viscida recrementa aluo detrahit. Sed & elixa simili sumpta modo, eosdẽ præbet effectus. Veruntamen cauendus ipsius vsus ijs quibus est interna quæpiam exulceratio. Quin & tosta ad pensiles verrucas & perniones efficaciter illinitur. Ipsius verò semen tritum, carica aut melle exceptum atq; deuoratum, aluum emollit. Est & tota pro foribus suspẽsa contra malorum medicamentorum noxiam remedio.

Περὶ Παγκρατίου. Κεφ. σγ'.

Vetus his caret, οἱ δὲ καὶ οὗτω

Y. non habet.

ΠΑΓΚΡΑΤΙΟΝ, ὃ δὲ καὶ οὗτω σκίλλαν ὀνομάζουσι, ῥίζα ἐστὶ βολβῷ μεγάλῳ ὁμοία, D ὑπόπυρρος ἢ ὑποπόρφυρος, πικρὰ καὶ πυρώδης τὴν γεῦσιν· φύλλα κρίνῳ ὅμοια, μακρότερα δέ. ἔχει δὲ δύναμιν τὴν αὐτὴν τῇ σκίλλῃ, καὶ σκευασίαν, καὶ δόσιν, ποιοῦσαν ἐπὶ τῶν αὐτῶν παθῶν· ἐπιεικεστέρα μέντοι τῆς σκίλλης ἡ ταύτης δύναμις. ὅθεν καὶ χυλιζομένη ἡ ῥίζα ταύτης, μιγνυμένη τε ὀροβίνῳ ἀλεύρῳ, E καὶ ἀναπλασσομένη εἰς τροχίσκους, δίδοται σὺν ὑδρομέλιτι σπληνικοῖς καὶ ὑδρωπικοῖς ὠφελίμως.

De Pancratio. Cap. CCIII.

PANCRATIVM, quod etiam aliqui scillam (pusillam) appellãt, radice est magno bulbo simili, subrufa aut subpurpurea, amaro feruidóque gustu, folijs lilij, sed longioribus. Scillæ vires & præparationẽ eandem habet, ac eodem quoque pondere ad eosdem affectus efficaciter exhibetur. Attamen huic mitior quàm scillæ facultas inest: quò fit vt & huius radicis succus expressus ad erui farinam admixtus in pastillos digeratur: qui quidem vtiliter ex hydromelite spleneticis hydropicísque dantur.

Περὶ Καππάρεως. Κεφ. σδ'.

ΚΑΠΠΑΡΙΣ θάμνος ἐστὶν ἀκανθώδης, ἐπὶ γῆς κυκλοειδῶς ἐστρωμένος, F ἀκάνθας ἀγκιστροειδεῖς ἔχων ὡς βάτος· φύλλα στρογγύλα, μηλέᾳ κυδωνίᾳ ὅμοια· καρπὸν δὲ οἷον ἐλαίας, ὃς ἀνοιχθεὶς λευκὸν προΐεται ἄνθος· οὗ πεσόντος, εὑρίσκεταί τι οἷον βάλανος ἐπιμήκης, ὅπερ ἀνοιχθὲν ἔχει κόκκους ὡς τῆς ῥοιᾶς, μικρούς, ἐρυθρούς· ῥίζας ξυλώδεις καὶ μεγάλας, πλείστας. G φύεται πλεῖστον ἐν τραχέσι καὶ λεπτογείοις τόποις, καὶ νήσοις, καὶ οἰκοπέδοις. παρέχεται δὲ ὁ καυλὸς αὐτῆς καὶ ὁ καρ-

De Cappari. Cap. CCIIII.

CAPPARIS frutex est aculeatus, per terram in orbẽ stratus. Spinas vt rubus habet in hami modũ aduncas: folia mali coroneæ, rotunda: fructum verò oliuæ instar: qui cum dehiscens panditur, florem promit candidũ. Hoc verò dilapso nonnihil glandis oblongæ figura inuenitur, quod apertũ grana tanquam punici mali, exigua rubentiáque intra se ostendit. Radices lignosæ sunt, grandes ac numerosæ. Asperis plerunq; locis, tenuíq; solo, in insulis domorũq; areis nascitur. Porrò cau lis ipsi⁹ ac fruct⁹ cibi gra-

tia sale condiuntur. Aluum autem turbat, stomacho aduersatur, sitímque gignit. At cocta tamen si edatur, stomacho quàm cruda vtilior. Fructus drachmarum duarum pondere ex vino potus ad dies quadraginta, lienem absumit: quippe qui vrinam trahat, cruentúmq; alui excrementum educat. Epotus itidem ischiadi & paralysi succurrit, itémque ruptis & conuulsis: mēses quoque ciet, ac pituitam capite detrahit. Quin & dentium doloré sedat ex aceto decoctus, colluto inde ore. Radicis auté cortex aridus, tum ad antedicta valet, tum etiam quoduis vetus, sordidum & callosum vlcus expurgat. Spleneticis quoque cum hordeacea farina imponitur. Sed & dente demorsa radix, eius dolori auxiliatur: & cum aceto trita, vitiligines albas exterit. Denique radix foliáque trita duritias strumásque discutiunt: aurium verò vermiculos infusus succus enecat. Porrò capparis Africa, præsertímque quæ apud Marmaridas appellatos nascitur, vehemēter inflat. Apula vomitum facit: quæ autem è Rubro mari & Arabia defertur, acerrima: siquidem in ore pustulas excitat, & gingiuas osse tenus exest: quapropter est cibis inepta.

De Lepidio. Cap. CCV.

LEPIDIVM, quod aliqui gingidium vocant, herbula vulgo nota, quæ muria cum lacte conditur. Vis foliorum acris & exulcerans: quapropter ischiadi per quàm eximium est ac singulare remedium, si trita cum helenij radice ad quartā horæ partem imponatur. Lienosis simili modo prodest: ac lepras quoque tollit. Radix autem adalligata collo, dentium dolores compescere ac inhibere creditur.

De Ranunculo. Cap. CCVI.

RANVNCVLI, quod aliqui apium agreste nominant, plura quidem sunt genera: at vis tamen omnibus vna, acris scilicet ac vehemēter exulcerans. Ac vnū quidem coriandri folijs constat, sed latioribus, subalbidis & pinguibus: flore luteo, interdū purpureo. Caulis minimè crassus est, sed cubitum altus.

A πρὸς εἰς βρῶσιν. ταράττει δὲ κοιλίαν, *κακοστόμαχός τέ ἐστι καὶ διψώδης. βρωθεῖσα δὲ ἑφθὴ, εὐστομαχωτέρα τῆς ὠμῆς. ὁ μὲν οὖν καρπὸς αὐτῆς σπλῆνα τήκει, ὁλκὴ δυοῖν < μετ' οἴνου πινόμενος ἐπὶ ἡμέρας μ'. ἄγει δὲ οὖρον καὶ *διαχώρημα αἱματῶδες. ἰσχιάδι τε καὶ παραλύσει βοηθεῖ πινόμενος ὁ
B καρπὸς, καὶ πρὸς ῥήγματα καὶ σπάσματα. ἔμμηνά τε ἄγει καὶ ἀποφλεγματίζει. καὶ ὀδόντων πόνον παύει ὁ καρπὸς σὺν ὄξει ἑψόμενος καὶ διακλυζόμενος. τῆς δὲ ῥίζης ὁ φλοιὸς ξηρὸς, πρός τε τὰ προειρημένα ἁρμόζει, καὶ ἀνακαθαίρει πᾶν χρόνιον καὶ ῥυπαρὸν καὶ τετυλωμένον ἕλκος. *καταπλά-
C σσεται δὲ καὶ ἐπὶ τῶν σπληνικῶν σὺν ὠμῇ λύσει· δακνομένη τε τῷ πονοῦντι ὀδόντι βοηθεῖ· ἀλφούς τε λευκοὺς ἀποσμήχει σὺν ὄξει λεία. τὰ δὲ φύλλα καὶ ἡ ῥίζα λειωθέντα, σκληρίας καὶ χοιράδας διαφορεῖ. σκώληκάς τε τοὺς ἐν ὠσὶν ὁ χυλὸς ἐγχυματισθεὶς κτείνει. Ἡ μέντοι Λιβυκὴ κάππαρις, γινο-
D μένη δὲ κατὰ τοὺς *Μαρμαρίτας λεγομένους, ἐμπνευματοῖ ἰσχυρῶς. ἐμετικὴ δὲ τυγχάνει ἡ ἐν Ἀπουλίᾳ. ἡ δὲ ἐκ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ *Λιβύης, δριμυτάτη, φλυκταινοῦσα τὸ στόμα, καὶ *κατεσθίουσα τὰ οὖλα ἄχρι γυμνώσεως· ὅθεν πρὸς βρῶσιν ἐστὶν *ἀνεπιτήδειος.

V. καὶ στόμαχον.
V. διαχώρημα
V. hæc ad finem omittit.
Lacuna in vetustiss. codice legit [illegible]
Alias [illegible]

E
Περὶ Λεπιδίου. Κεφ. σε'.

ΛΕΠΙΔΙΟΝ, ὃ ἔνιοι γιγγίδιον καλοῦσι, γνώριμον βοτάνιον, ταριχευόμενον εἰς ἁλμαίας μετὰ γάλακτος. Δύναμις δέ ἐστι τῶν φύλλων δριμεῖα ἑλκωτική. ὅθεν ἰσχιαδικόν ἐστιν ἐπίπλασμα ἀμυντικώτατον, λεῖον σὺν ἑλενίου ῥίζῃ ἐπιτιθέμενον πρὸς *τέταρτον ὥ-
F ρας. καὶ ἐπὶ σπληνικῶν ὁμοίως· ἀφίστησι δὲ καὶ λέπρας. ἡ δὲ ῥίζα δοκεῖ ὀδόντων ἀλγήματα παραιτεῖσθαι, περιαπτομένη τῷ τραχήλῳ.

Cornarius [illegible]

Περὶ Βατραχίου. Κεφ. ϛ'.

ΒΑΤΡΑΧΙΟΝ, οἱ δὲ, σέλινον ἄγριον καλοῦσι· τούτου πλείονα μέν ἐστιν εἴδη. δύναμις δὲ μία, δριμεῖα καὶ ἄγαν ἑλ-
G κωτική. ἔχει δὲ τὸ μὲν αὐτῶν, φύλλα ὅμοια κορίῳ, πλατύτερα δὲ καὶ ὑπόλευκα καὶ λιπαρά· ἄνθος μήλινον, ἐνίοτε πορφυροῦν· καυλὸν δὲ οὐ παχὺν, [ὕψος δὲ ὅσον πήχεως.]

V. non habet clausulam vti neque quod sequitur μικρά

Lacuna legit ῥίζαν μίαν μικρὰν λελυκήν.

Orib. χνοωδέστερον. Plin. foliosius.

V. καυλότερον.

Forte Σαρδόνιον.

A ῥίζαν μικράν, λευκήν, πικράν, ἔχουσαν ἀποφύσεις ὡς ἑλλεβόρου· φύεται δὲ παρὰ ῥείθροις. Ἔστι δὲ καὶ ἕτερον εἶδος χνοωδέστερον καὶ μακροκαυλότερον, ἐντομὰς ἔχον πλείους τῶν φύλλων, πλεῖστον ἐν Σαρδονίᾳ γινόμενον, δριμύτατον, ὃ δὴ καὶ σέλινον ἄγριον καλοῦσι. καὶ τρίτον σφόδρα μικρὸν καὶ δύσοσμον,

Dodonæus restituit ὑ. χλωρόν.

Addit Ald. τὸ ἄνθος.

Cat. χλοωδέστερον.

Ruell. & Marc. inter τὰ φύλλα & καὶ οἱ καυλοὶ, καὶ τὰ ἄνθη videtur legisse. Sic & habetur in nostris Ald. cod.

B τὸ ἄνθος χρυσῷ ὅμοιον. καὶ τέταρτον ἐοικὸς τούτῳ, ἄνθος γαλακτίζον. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ οἱ καυλοὶ ἁπαλοὶ καταπλασσόμενοι, ἑλκωτικὴν καὶ ἐσχαρωτικὴν μετὰ πόνου· ὅθεν ὄνυχας λεπροὺς καὶ ψώρας ἀφίστησι, καὶ στίγματα ἐξαίρει, καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ ἀλωπεκίας, πρὸς ὀλίγον

V. addit χλιαρά.

C καταπλασθέντα. ἑψόμενα δέ, καταντλήματα χιμετλιώντων ἐστὶ χλιαρά. ἡ δὲ ῥίζα πταρμὸν κινεῖ, ξηρὰ λεία προσφερομένη τοῖς μυκτῆρσι· καὶ ὀδονταλγίας κουφίζει περιαπτομένη, θρύπτει μέντοι αὐτούς.

Περὶ Ἀνεμώνης. Κεφ. σζ.

D ΑΝΕΜΩΝΗ διττή, ἡ μὲν ἀγρία, ἡ δὲ ἥμερος· καὶ τῆς ἡμέρου, ἡ μέν τις φοινικᾶ φέρει τὰ ἄνθη· ἡ δέ, ὑπόλευκα ἢ γαλακτίζοντα, ἢ πορφυρᾶ. φύλλα δὲ κοριοειδῆ, λεπτοσχιδέστερα πρὸς τῇ γῇ· καυλία

Alter χνοώδη, quam scripturā Serapio & Hermolaus secuti sunt.

V. vsque ad δριμυτέρα οὖσα nil habet.

E χνοώδη, λεπτά, ὑφ᾽ ὧν τὰ ἄνθη ὥσπερ μήκωνος, καὶ μέσα κεφάλια μέλανα, ἢ κυανίζοντα· ῥίζα κατὰ μέγεθος ἐλαίας ἢ μείζων, οἱονεὶ γόνασι διειλημμένη. ἡ δὲ ἀγρία κατὰ πάντα μείζων τῆς ἡμέρου, καὶ τοῖς φύλλοις πλατυτέρα καὶ σκληροτέρα. πλείω τε κεφάλιον ἐπιμηκέστερον ἔχει· ἄνθος φοινικοῦν, ῥιζία λεπτὰ καὶ πλείω. ἡ δέ τις ἔχει φύλλα μέλανα, δριμυτέρα οὖσα. Δύναμιν δὲ ἔχουσι δρι-

V. quidam addit λίαν, alius, ἰσχυρῶν.

F μείας ἀμφότεραι· ὅθεν ὁ χυλὸς τῆς ῥίζης αὐτῆς ῥινὶ ἐγχυθεὶς, πρὸς κεφαλῆς κάθαρσιν ἁρμόζει. μασηθεῖσα δὲ ἡ ῥίζα, φλέγμα ἄγει· ἑψηθεῖσα δὲ ἐν γλυκεῖ καὶ καταπλασσομένη, ὀφθαλμῶν φλεγμονὰς ἰᾶται· καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς καὶ ἀμβλυωπίας ἀποσμήχει, ἀνακαθαίρει δὲ καὶ τὰ ῥυπαρὰ τῶν

V. quidam putat hæc ad finē vsq; illegitime ascripta, & expulsione quandā esse.

G ἑλκῶν. τὰ δὲ φύλλα καὶ οἱ καυλοὶ *συνεψηθέντες πτισάνῃ καὶ ἐσθιόμενα, γάλακτα ἀνάγει· ἐν προσθέτῳ δὲ ἔμμηνα ἄγει· καταπλασθέντα δέ, λέπρας ἀφίστησιν. Ἔνιοι δὲ

A Radice nititur exigua, candida & amara, adnatis ceu capillamentis, hellebori modo, fibrata: iuxta flućta nascitur. Alterum est lanuginosius, longioréque caule, pluribus foliorum incisuris, plurimum in Sardinia proueniés, acerrimum, quod etiam syluestre apium appellant. Est & tertium valde paruum & o-

B dore graui, flore aureo. Quartum simile huic, flore lacteo. Folia & caules tenelli vim habent illitu exulcerandi, & vsque adeò vrendi, vt etiam crustas cum dolore inducat. Quare scabros vngues auferūt, psoras remouent, stigmata delēt: itémque formicationes ac pensiles verrucas & alopecias ad breue tempus

C imposita tollunt. Quin & tepente eorum decocto perniones fouētur. Radix verò sicca tritáque, sternutamenta ciet, naribus admota: dentium quoque dolores appensa leuat, ipsos tamen rumpit.

De Anemone. Cap. CCVII.

D ANEMONE duûm est generū: syluestris quidem vna, satiua altera. Et in satiuæ quidem genere est, quæ phœniceos flores habeat, altera quæ candicantes, aut lacteos, aut purpureos. Harū folia coriandro similia, sed proximè terram scissa tenuiùs. Cauliculi lanuginosi, tenues, in quibus flores veluti papaueris, &

E in medio capitula nigra aut cærulea: radix oliuæ magnitudine, aut etiā maior, veluti geniculis distićta. At syluestri amplitudo prsus maior quàm satiuę, foliísque est latioribus ac durioribus: capite oblongiore, flore phœniceo, tenuib⁹ ac plurib⁹ radiculis. Est & quædam folijs nigris, quæ quidem acrior est. Vis v-

F triusque acris: qua de causa ipsius radicis succus naribus infusus valet ad purgandum caput. Commanducata verò radix, pituitam trahit. Decocta autem in passo & imposita, medetur oculorum inflammationibus: sed & cicatrices eorundē ac hebetudines emendat, sordidáque vlcera expurgat. Cæterùm fo-

G lia & caules si cum ptissana decoquantur, & in cibo sumantur, lactis fœcunditatem prĕstāt: subdita autem in pesso menstrua ciunt. Illita quoque, lepras eximunt. Sunt qui

nesciētes ab anemone syluestri distinguere argemonen dictam & papauer rhœas (de quo inter genera papaueris agemus) propter florum in puniceo colore conuenientiam, eupatorium errore ducti argemoniam appellent. Veruntamen tum argemone, tum & rhœas minùs saturato puniceo colore visuntur, & vtraque seriùs floret. Quinetiam argemone croceum gustúq; admodum acrem liquorem reddit: rhœas verò, candidiorem & acrem. Insuper vtrique intermedia sunt capitula syluestris papaueris similia, nisi quòd argemones quidem capitulum supernè latiusculum est, rhœadis autem aliquantò angustius. At anemones genera neque liquorem reddunt, neque capitula calycésve habent, sed velut asparagi cacumen. Denique & in aruis cultísve illa plerunque nascuntur.

De Argemone. Cap. CCVIII.

ARGEMONE tota quidem syluestri papaueri similis est: sed folium habet quale anemone, diuisum: floré in cauliculo puniceum: caput quale papauer rhœas, sed oblongius & summis partibus latum: radicem rotundam: liquorem verò reddit croci colore & acrem. Illita folia argema & nubeculas expurgant, inflammationésque compescunt.

De Anagallide. Cap. CCIX.

ANAGALLIDIS duo sunt genera, quæ flore distant. Nam quæ cæruleo est flore, fœmina dicitur: mas, quę phœniceo. Frutices sūt exigui, in terra iacentes, quibus folia in quadrangulis cauliculis pusilla, subrotunda, ad folia helxines accedētia: fructus rotundus. Vtraque porrò vim habet mitigādi, inflammationes arcendi, adactos corpori aculeos extrahendi, & nomas cohibendi. At succus earum capitis pituitam gargarizatu euocat, & naribus infusus dentium dolorem lenit, si in narem dolenti denti oppositam immissus fuerit. Emendat & argema cum melle Attico, & oculorum hebetudini opitulatur. Sed & morsis à vipera prodest, ex vino

A μὴ δυνάμενοι διορίζειν ἀπὸ τῆς ἀγρίας ἀνεμώνης τὴν λεγομένην ἀργεμώνην καὶ τὴν ῥοιάδα μήκωνα (περὶ ἧς ἐν τῇ μήκωσιν ἱστορήσομεν,) διὰ τὸ τῶν ἀνθῶν ὁμόχροιον, φοινικοῦν ὑπάρχον, πλανῶνται τὴν ἀργεμώνην εὐπατώριον ὀνομάζοντες. πλὴν τῆς ἀργεμώνης ἧττον βαθὺ τὸ φοινικοῦν ἐστι καὶ τῆς

B ῥοιάδος, ὀψιαίτερον δὲ αὕτη καὶ ἡ ἀργεμώνη ἀνθοῦσι. καὶ ἡ μὲν ἀργεμώνη ὀπὸν ἀνίησι κροκίζοντα, καὶ δριμὺν πρὸς τὴν γεῦσιν ἰσχυρῶς· ἡ δὲ ῥοιάς, λευκότερον καὶ δριμύν. ἀμφότεραι δὲ μεταξὺ κεφάλια μήκωνι ἀγρίᾳ παραπλήσια ἔχουσι, πλὴν τὸ μὲν τῆς ἀργεμώνης ἄνωθεν ὑπόπαχυ, τὸ δὲ τῆς

C ῥοιάδος, ὑπόστενον. αἱ δὲ ἀνεμῶναι οὔτε ὀπὸν ἀνιᾶσιν, οὔτε κωδίας ἔχουσιν, ἀλλ᾽ οἱονεὶ ἀσπαράγου ἄκρον. ἐν ἀρούραις τε τὸ πλεῖον ἐκφῦναι φύονται.

Περὶ Ἀργεμώνης. Κεφ. σή.

ΑΡΓΕΜΩΝΗ, ὅλον μὲν ἐστι ὅμοιον ἀγρίᾳ μήκωνι. τὸ δὲ φύλλον ἀνεμώνῃ

D ἔχει ὅμοιον, ἐσχισμένον, ἄνθος φοινικοῦν, κεφαλὴν δὲ ἐοικυῖαν μήκωνι ῥοιάδι, ἐπιμηκεστέραν δὲ καὶ πλατεῖαν κατὰ τὰ ἄνωθεν μέρη· ῥίζαν στρογγύλην. ὀπὸν δὲ ἀνίησι κροκίζοντα, δριμύν. καθαίρει δὲ ἄργεμα καὶ νεφέλια. καὶ φλεγμονὰς παρηγορεῖ τὰ φύλλα καταπλασσόμενα.

E Περὶ Ἀναγαλλίδος. Κεφ. σθ'.

ΤΗΣ ἀναγαλλίδος διπλοῦν εἶδος ἐστι, διαφέρον ἄνθει. ἡ μὲν γὰρ κυάνεον ἔχουσα τὸ ἄνθος, θήλεια λέγεται· ἡ δὲ τὸ φοινικοῦν, ἄρρην. θαμνία δέ ἐστι κεχυμένα ἐπὶ γῆς, φύλλα ἔχοντα ἐπὶ τετραγώνων καυλίων μικρά, ὑποστρόγγυλα

F [παρόμοια τὰ τῆς ἑλξίνης,] καρπὸν περιφερῆ· εἰσὶ δὲ ἀμφότεραι παρηγορητικαί, ἀφλέγμαντοι, σκολόπων ἐπισπαστικαί, νομῶν ἐφεκτικαί. ὁ δὲ χυλὸς αὐτῶν ἀναγαργαριζόμενος, ἀποφλεγματίζει κεφαλήν· καὶ ῥισὶν ἐγχεόμενος, ὀδόντων πόνον παύει, ἐὰν εἰς τὸν ἀντικεί-

G μενον μυξωτῆρα τῷ ἀλγοῦντι ἐμβληθῇ· καθαίρει καὶ ἄργεμα μετὰ μέλιτος Ἀττικοῦ, καὶ ἀμβλυωπίαις βοηθεῖ. ὠφελεῖ καὶ ἐχιοδήκτους μετ᾽ οἴνου

Alter ἀργεμώνην

In altero legitur eodem sensu. ὀψιαίτερον δὲ αὗται τῶν ἀνεμωνῶν.

Vulg. exempl. ἀνεμώνης

V. codex τὸ δὲ φύλλον ἀργεμώνης ἐσχισμένον.
Par. inserit ἄνθος
Par. καυλὸν

In fine v. cod. margo habet, καὶ ἑτέρα εὑρίσκεται. μικρὰ δὲ πεταλα ἐμφερῆ ποσῶς. Hoc cap in cod. vet. Crateuæ tribuitur.

V. caret conclusis.

ἐπισπαστικαί

V. caret, vsque ad ἐγχεόμενος.

Lacuna addit ex cod. v. καὶ ὑστεροπνιγικοῖς

πνιγομένοις, καὶ νεφριτικοῖς, καὶ ἡπατικοῖς. φασὶ δὲ ἔνιοι τὴν μὲν ἔχουσαν τὸ κυάνεον ἄνθος, προπιπτώσης δακτυλίου εἴσω ἄγειν τὴν ἕδραν· τὴν δὲ τὸ φοινικοῦν, ἐρεθίζειν καταπλασθεῖσαν.

V. cod. quidã in extremo cap. καὶ Κερατίας ὁ ῥιζοτόμος: ἀναγκαῖαι δὲ ἀμφότεραι τραυματικαί, ὀλίσμασιν, σκολόπων ἐλκυστικαί. Carac addit, καὶ Κρατεύας ὁ ῥιζοτόμος εἰς τὸ αὐτὸ τὰ αὐτὰ φησὶν ἀπαραλλάκτως.

Περὶ κισσοῦ. Κεφ. σι.

Κισσὸς πολλὰς ἔχει διαφορὰς τῷ εἴδει, τὰς δὲ γενικωτάτας τρεῖς. λέγεται γὰρ ὁ μέν τις λευκὸς, ὁ δὲ μέλας, ὁ δὲ ἕλιξ. ὁ μὲν οὖν λευκὸς, φέρει τὸν καρπὸν λευκόν· ὁ δὲ μέλας, μέλανα ἢ κροκίζοντα, ὃν δὴ καὶ ἰδίως Διονύσιον καλοῦσιν. ὁ δὲ ἕλιξ ἄκαρπός τε ἐστὶ, καὶ *λευκὰ ἔχει τὰ κλήματα, καὶ τὰ φύλλα *λεπτὰ καὶ *γωνιώδη καὶ *ἐρυθρά. πᾶς δὲ κισσὸς δριμὺς ἐστὶ, στυπτικὸς, τῶν νευρωδῶν ἁπτικός. ποιεῖ δὲ αὐτοῦ τὰ μὲν ἄνθη τρισὶ τοῖς δακτύλοις ληφθέντα καὶ ποθέντα ἐν οἴνῳ, πρὸς δυσεντερικούς. δὶς δὲ τῆς ἡμέρας δεῖ πίνειν. καὶ πρὸς πυρίκαυστα δὲ ἁρμόζει σὺν κηρωτῇ λεανθέντα. τὰ δὲ ἁπαλὰ τῶν φύλλων σὺν ὄξει ἑψόμενα, ἢ ὠμὰ *ἄρτῳ συλλεαινόμενα, σπλῆνα ἰῶνται. ῥινεγχυτεῖται δὲ ὁ χυλὸς τῶν φύλλων καὶ τῶν κορύμβων σὺν ἰρίνῳ, [ἢ μέλιτι, ἢ νίτρῳ,] καὶ πρὸς τὰ χρόνια τῆς κεφαλῆς ἀλγήματα ἁρμόζει, καὶ ἐπιβρέχεται σὺν ὄξει καὶ ῥοδίνῳ. ὠταλγίας δὲ καὶ πυορροοῦντα ὦτα σὺν ἐλαίῳ ἰᾶται. τοῦ δὲ μέλανος κισσοῦ ὁ χυλὸς καὶ οἱ κόρυμβοι ποθέντες, **ἀτόκους ποιοῦσι, καὶ παρακόπτουσι τὴν διάνοιαν πλεονασθέντες. λεῖα δὲ σφαιρία πέντε τῶν κορύμβων θερμανθέντα σὺν ῥοδίνῳ ἐν σιδίῳ, καὶ ἐνσταχθέντα εἰς τὸ ἀντικείμενον οὖς ἐπὶ ὀδονταλγίας, τὸ ἄλγημα πραΰνει. μελαίνουσι δὲ καὶ τὰς τρίχας οἱ κόρυμβοι. καταπλάσσεται δὲ τὰ φύλλα πρὸς πᾶν ἕλκος, ἑψηθέντα σὺν οἴνῳ. καὶ καταπλασσόμενα, καὶ κακοήθη, καὶ ἐφηλίδας θεραπεύει ὡς προείρηται ἑφθά. κινοῦσι δὲ καὶ καταμήνια ὑποτιθέντες οἱ κόρυμβοι λεῖοι. καὶ ποθέντες δὲ μετὰ τὴν κάθαρσιν < πλῆθος, ἀτόκιόν ἐστι. καὶ ὁ μόσχος δὲ τῶν φύλλων μέλιτι χρισθεὶς καὶ προστεθεὶς τῇ μήτρᾳ, ἔμμηνα ἄγει καὶ ἔμβρυα. ὁ δὲ χυλὸς *ἐνσταζόμενος ταῖς ἐν τοῖς ῥώθωσι δυσωδίαις καὶ σηπεδόνας ἐκκαθαίρει. τὸ δὲ δάκρυον αὐτοῦ ψιλοῖ τρίχας καὶ

V. μικρά

V. γωνιοειδῆ

Ald. τοῖς τρισὶ δακτ.

Deest in Ald.

Hæc v. non habet.

V. αἱμοῤῥαγοῦντα

Lacuna legit in antiquo, μελανοκάρπου

V. ἀνοίας, alius ἀγρίαν, alius ἀτοκίας.

Al. ταραχώδεις

Byzantinus codex caret.

Al. ἐνσταζόμενος.

A potus, itémque nephriticis, hepaticis, atque hydropicis. Cæterùm aiunt nonnulli impositam eam quę cæruleum edit florem, sedis procidétiam retrò agere: quæ verò phœniceum, eandem proritare.

De Hedera. Cap. CCX.

B Hedera multas in specie differentias sortitur: summas autem genere tres. Est enim candida quędam, nigra altera, tertiáque quę vocatur helix. Et candida quidem, fructum fert candidũ: nigra, quam etiam vulgus Dionysiam vocat, nigrum aut croci æmulum. At helix fructum non gignit, tenues autem habet viticulas: folia verò parua, C angulosa & rubra. Porrò hedera omnis acris est & astringés, neruosúmque genus tentat. Flores ternis digitis capti, & in vino poti, ad dysentericos faciunt: sed bis die potari oportet. Ijdem cum cerato triti, ambustis prosunt. Recentia autem molliáve folia ex aceto decocta, aut cruda cum pane detrita, lienem sa- D nant. At succus foliorum & corymborum cum irino vnguento, melle aut nitro contra veteres capitis dolores vtiliter per nares infunditur. Perfunditur & eo caput cum aceto & rosaceo. Dolentibus verò purulentísque auribus cum oleo medetur. Nigræ autem hederæ suc- E cus & corymbi epoti sterilitatem faciunt, mentémque turbant largiùs sumpti. Globosi verò corymborum acini quinque, triti calfactíque cum rosaceo in Punici cortice, & in dolore dentium contrariæ auri instillati, dolorem mitigant. Denigrant & capillum corymbi. At folia in vino cocta, omni vlcerum F generi illinuntur. Ambusta quoque, etiã maligna, & maculas à sole contractas sanant, velut antè dictum est, decocta. Mouent & menses corymbi triti ac subditi. Ijdem post purgationes fœminarũ drachmæ pondere poti, spem conceptionis adimunt. Sed & pediculus foliorum melle irrigatus, & vuluæ in- G ditus menses & partus extrahit. Succus autẽ instillatus, narium graueolentiam emendat, & earundem putrida vlcera expurgat. Hederæ verò lachryma psilothrum est: ac

illitu pediculos enecat. Radicum deniq; ſuccus in aceto potus, morſis à phalangio ſuccurrit.

De Chelidonia. Cap. CCXI.

CHELIDONIA maior caulem profert cubitalem, aut etiam altiorem, gracilem, qui quidem adnatos habet ramulos folijs refertos. Sunt autem ea ranunculi folijs ſimilia, at molliora tamen, & aliquantum colore glauco: flos verò ſecundum ſingula folia prodit, vti violæ albæ. Succus croceus eſt, acris, mordax, aliquantulum ſubamarus & graueolens. Radix ſupernè quidem ſingularis eſt, at internè in multa crocea capillamenta fibratur. Fructus ceu corniculati papaueris, tenuis, longus, coni ſeu metæ figura, in quo exigua ſemina papaueris ſeminibus maiora cócluduntur. Succus melli admixtus, & in æreo vaſe prunis decoctus, oculorum aciem adiuuat. Folijs verò, radice & fructu ineunte æſtate ſuccus exprimitur: qui quidem ſiccatus in vmbra digeritur in paſtillos. Radix cum aniſo ex vino albo pota, regio morbo medetur, itémque herpetibus, impoſita cum vino: ſed & commanducata dentium dolorem ſedat. Porrò creditur chelidoniæ nomé ſibi vendicaſſe, quòd primo ſtatim hirundinum aduentu erumpat, earundémque diſceſſu marceſcat. Sunt & qui tradiderint, ſi quis ex hirundinum pullis excæcatus fuerit, matres admota herba illius cæcitati mederi, adeóque viſum reſtituere.

De Chelidonia minore. Cap. CCXII.

CHELIDONIA minor, quam ſyluestre triticum aliqui nuncuparunt, herbula eſt pediculis ab radice pendens, ſine caule, folijs hederę figura, ſed multò rotúdioribus ac minoribus, mollib⁹ & ſubpinguibus circúdata. Radices habet ex eodé callo complures, puſillas, in granorum tritici modú aceruatim congeſtas, quarum tamên tres quatuórve in longitudiné protéduntur. Cęterùm iuxta aquas paluſtriáq; loca naſcitur. Vim acrem obtinet, & anemones modo ſummá cuté exul-

A κτείνει φθεῖρας ἐπαλειφόμενον. ὁ δὲ τῶν ῥιζῶν χυλὸς σὺν ὄξει ποθεὶς, φαλαγγιοδήκτοις βοηθεῖ.

Lacuna ex vet. cod. restituit, σὺν ὄξει ὁ χυλὸς καὶ ποθείς. V inserit, ὀδονταλγίαις

Περὶ Χελιδονίου τοῦ μεγάλου. Κεφ. σια´.

ΧΕΛΙΔΟΝΙΟΝ μέγα καυλὸν ἀνίησι πηχυαῖον, ἢ καὶ μείζονα, ἰσχνὸν, ἔχοντα παραφυάδας φύλλων μεστάς. B φύλλα ὅμοια βατραχίῳ, τρυφερώτερα μέντοι τὰ τοῦ χελιδονίου καὶ ὑπόγλαυκα τὴν χρόαν. καὶ παρ᾽ ἕκαστον φύλλον ἄνθος ὥσπερ τὸ λευκόϊον. χυλὸς δὲ κροκώδης, δριμὺς, δηκτικὸς, ποσῶς ὑπόπικρος καὶ δυσώδης· ῥίζα ἄνωθεν μέν ἐστι μία, κάτωθεν δὲ πλείονες, C κροκοειδεῖς τὴν χρόαν. καρπὸς δὲ ὥσπερ τῆς κερατίτιδος μήκωνος, λεπτὸς, μακρὸς ὡς κῶνος, ἐν ᾧ σπερμάτια μείζονα μήκωνος. Τούτης ὁ χυλὸς μιγεὶς μέλιτι καὶ ἑψηθεὶς ἐν χαλκῷ ἐπ᾽ ἀνθράκων, ἁρμόζει πρὸς ὀξυδορκίαν. χυλίζεται δὲ τὰ φύλλα καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς ἀρχομένου θέρους, καὶ ξηραίνεται ἐν σκιᾷ καὶ ἀναπλάσσεται. D ἡ δὲ ῥίζα πινομένη σὺν ἀνίσῳ καὶ οἴνῳ λευκῷ, ἰκτερικοὺς θεραπεύει καὶ ἕρπητας καὶ καταπλασσομένη σὺν οἴνῳ. ὀδονταλγίας τε παύει διαμασσωμένη. δοκεῖ δὲ ὠνομάσθαι χελιδόνιον, ἐπειδὴ ἅμα ταῖς χελιδόσι φαινομέναις ἀναφύεται, ληγούσαις δὲ συμπαρακμάζει. E τινὲς δὲ ἱστόρησαν ὡς ἐάν τις τυφλωθῇ τῶν τῆς χελιδόνος νεοσσῶν, αἱ μητέρες προσφέρουσαι τὴν πόαν, ἰῶνται τὴν πήρωσιν αὐτοῦ.

Ita v.c. ac vulgata exemplaria his κροκ. τὴν χρόαν carent.

Lacuna legit in vet. cod. τινὲς δὲ προσιστόρησαν, ὅτι ἐὰν τυφλώσῃ τις τοὺς τῆς χελιδόνος νεοσσοὺς, αἱ μητέρες προσφέρουσαι τὴν πόαν ἰῶνται τὴν πήρωσιν αὐτῶν.

Περὶ Χελιδονίου τοῦ μικροῦ. Κεφ. σιβ´.

Χελιδόνιον τὸ μικρὸν, ὃ δὲ πυρὸν ἄγριον ἐκάλεσαν, F βοτάνιόν ἐστιν ἐκ μόσχων ἀπηρτισμένον, ἄκαυλον, φύλλοις κισσοειδέσι, περιφερεστέροις δὲ μᾶλλον καὶ μικροτέροις, καὶ τρυφεροῖς, καὶ ὑπολιπάροις περιεχόμενον· ῥίζας δὲ ἔχει ἐκ τοῦ αὐτοῦ μικρὰς, πολλὰς, ὥσπερ πυροὺς σεσωρευμένας. τρεῖς δὲ εἰσιν G ἢ τέσσαρες αὐτῶν μακραὶ πεφυκυῖαι. φύεται δὲ παρ᾽ ὕδασι καὶ τέλμασιν. ἔχει δὲ τὴν δύναμιν δριμεῖαν, παραπλησίαν ἀνεμώνῃ, ἑλκοῦσαν τὴν ἐπιφά-

Ald. πύρινον.

Alius quidam, λειμώνιον. V. ἔχουσαν

A νειδιώ· ψώρας τε καὶ ὄνυχας λεπροὺς ἀφίστησιν. αἱ δὲ ῥίζαι χυλωθεῖσαι, χρήσιμοι εἰς ῥινεγχυσίαν μετὰ μέλιτος πρὸς κάθαρσιν κεφαλῆς.

Περὶ Ὀθόννης. Κεφ. σιγ'.

Quidam codices vetusti vsque ad ἔχει δέ, omnino cæteris carent.

*ὈΘΟΝΝΑ· οἱ μὲν φασὶ τῆς μεγάλου χελιδονίου χυλὸν εἶναι· οἱ δέ, γλαυκίου· οἱ δέ, *τῆς κερατίτιδος μήκωνος τῶν ἀνθέων χυλόν. B ἔνιοι δὲ μίγμα ἀναγαλλίδος τῆς κυανέας καὶ ὑοσκυάμου καὶ μήκωνος χυλῶν. οἱ δέ, βοτάνης Τρωγλοδυτικῆς τινός, ἣ ὡς Ὀθόννα καλεῖται, εἶναι χυλόν· γεννᾶσθαι δὲ αὐτὴν καὶ ἐν τῇ κατ' Αἴγυπτον Ἀραβίᾳ. C ἔχει δὲ τὰ φύλλα εὐζώμῳ ἐμφερῆ, πολύτρητα ὥσπερ σητόκοπα, ψαφαρά, *ὀλιγόφυλλα. ἄνθος δὲ φέρει κρόκινον, πλατύφυλλον· ὅθεν ἔδοξαν ἀνεμώνης αὐτὸ τινὲς εἶδος εἶναι. χυλίζεται δὲ καὶ εἰς τὰ ὀφθαλμικὰ ὅπου δεῖ ἀποκαθαίρειν, δάκνουσα, καὶ πάντα τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποσμήχουσα. D φασὶ δέ τινα καὶ ὑγρασίαν ἀπορρεῖν τῆς βοτάνης, ἣν πλύνοντες καὶ χωρίσαντες τὴν λίθον, ἀναπλάσσουσι τροχίσκους πρὸς τὰ αὐτά. ἔνιοι δὲ φασὶν αὐτὴν λίθον εἶναι Αἰγύπτιον ἐν τῇ Θηβαΐδι γεννώμενον, χαλκόχροον, μικρὸν τῷ μεγέθει, δάκνοντα τὴν γεῦσιν μετὰ πυρώσεως καὶ στύψεως.

Hæc verb. sic leguntur in veteri: τῆς κερατίτιδος μήκωνος χυλόν, οἱ δέ. Sed vulgatam scripturam Goupylus meliorem esse censet.

Cæteræ. ἀργύχυλα

E

Περὶ Μυὸς ὤτων. Κεφ. σιδ'.

ΜΥΟΣ ὦτα, οἱ δὲ μυὸς ὠτίδα καλοῦσιν, ἀνίησι καυλοὺς ἀπὸ μιᾶς ῥίζης πλείονας, ὑπερύθρους τὰ κάτωθεν καὶ κοίλους· φύλλα δὲ ἐπιμήκη καὶ στενά, ῥάχιν * ἐπηρτημένην ἔχοντα, F μελανίζοντα, ἀνὰ δύο πεφυκότα ἐκ διαστημάτων, εἰς ὀξὺ ἀπολήγοντα. ἐκφύεταί τε λεπτὰ καυλία ἐκ τῶν μασχαλῶν ἐφ' ὧν ἀνθύλλια κυανίζοντα μικρά, ὡς τὰ τῆς ἀναγαλλίδος· ῥίζα δὲ δακτύλου τὸ πάχος, ἔχουσα πολλὰς ἀποβλαστήσεις. G " καθόλου δὲ ἐστὶν ὁμοία ἡ πόα τῷ σκολοπενδρίῳ. λειοτέρα δὲ καὶ ἐλάσσων. ταύτης ἡ ῥίζα καταπλασθεῖσα *αἰγίλωπας ἰᾶται. τινὲς δὲ καὶ τὴν ἀλσίνην μυὸς ὠτίδα καλοῦσιν.

Mathioli exemplar, ῥάχιν ἐπὶ μέσῳ ἔχ.

Vetus hanc partem non legit: alij continue legunt.

Sic Ruellij codex at Par. αἰγίλωπα.

cerat: psoras item & scabros vngues eximit. Succus verò radicibus expressus, addito melle, ad purgandum caput naribus vtiliter infunditur.

De Othonna. Cap. CCXIII.

OTHONNAM aiunt nonnulli maioris Chelidoniæ succum esse, quidam glaucij: alij floribus corniculati papaueris expressum succum: alij anagallidis cæruleæ hyoscyami & papaueris succorum misturam esse contendunt. Alij denique Troglodyticæ cuiusdam herbæ succum, quæ Othonna vocetur: nascique eam in eo Arabiæ tractu, qui ad Ægyptum spectat. Habet hæc folia erucæ proxima, crebrò perforata, & tanquam à tineis pertusa, squalore obsita, pauca: quare quidam anemones speciem esse existimauerunt. Ex ea succus expressus oculorum medicamentis conuenit, vbi expurgare opus est. Mordet enim, & quæcunque oculis caliginem offundunt absterget. Tradunt & humorē quendam ex herba emanare, qui elotus, semotis lapillis, in pastillos ad eadem digeratur. Aliqui tamen affirmant lapidem Ægyptium esse, in Thebaïde nascentem, æreo colore, exigua magnitudine, gustu cum feruore quodam & astrictione mordaci.

De Myosotide, seu muris auricula. Cap. CCXIIII.

MVRIS auricula, quam myosotida vocant, caules promit ab vna radice plures, aliquatenus infernè rubētes & concauos: folia oblonga, angusta, dorsi spinam elatam & eminulam habentia, nigricantia, per interualla assiduè geminata, & in mucronem desinētia. Prodeunt verò ex alis tenues cauliculi, in quibus flosculi cęrulei, parui, vt anagallidis. Radix digitali est crassitudine, multis fibrata capillamentis. Est denique, vt semel finiam, herba scolopendrio similis, sed læuior ac minor. Huius radix imposita ægilopas sanat. Sunt & qui alsinē myosotida vocitent.

De Isatide satiua, seu glasto. Cap. CCXV.

ISATIS satiua, qua lanarum infectores vtuntur, folium habet plantagini simile, verùm pinguius nigriúsque: caulem verò altitudine duos excedentem cubitos. Imposita folia œdema quoduis atque tubercula discutiunt, cruentáque vulnera glutinant. Erumpentem quoque sanguinem sistunt, & phagedænas, herpetas, erysipelata ac putrescentia vlcera sanant.

De Isatide syluestri. Cap. CCXVI.

Isatis syluestris, antedictæ similis est, sed folia fert maiora, quæ ad lactucæ folia accedunt: caules verò tenuiores, multifidos, quadantenus rubentes, è quorum cacumine folliculi multi linguarum figura dependent, in quibus semen: florem denique luteum ac tenuem. Eadem quæ & supra dicta præstat, sed præterea lienosis tam pota quàm imposita auxiliatur.

De Telephio. Cap. CCXVII.

TELEPHIVM portulacæ simile est & foliis & caule: alas verò binas habet singulis foliorum geniculis inhærentes: ramuli seni septeníve à radice fruticant, folijs referti cæruleis, crassis, lentis atque carnosis: flores denique lutei sunt aut candidi. Vere nascitur in vitibus locísque cultis. Folia ad senas horas imposita, vitiliginem albam sanant: verùm posteà hordeaceam farinam adhibere oportet. Tollunt & vitiligines alphos dictas, ex aceto in sole illita: sed vbi inaruerint, abstergi ea oportet.

Libri secundi finis.

A Περὶ Ἰσάτιδος ἡμέρου. Κεφ. σιε'.

ΙΣΑΤΙΣ ἥμερος, ᾗ οἱ βαφεῖς χρῶνται, φύλλον ἔχει ἀρνογλώσσῳ ἐμφερές· λιπαρώτερον δὲ καὶ μελάντερον, καυλὸν δὲ ὑπὲρ δίπηχυν. Δύναται δὲ τὰ φύλλα καταπλασσόμενα πᾶν οἴδημα διαφορεῖν, καὶ φύματα, καὶ ἔναιμα τραύματα
B κολλᾶν. αἱμορραγίας τε στέλλειν, καὶ φαγεδαινικὰ, καὶ ἕρπητας, ἐρυσιπέλατά τε καὶ σηπεδόνας θεραπεύειν.

V. caret.

V. addit, [illegible]

Margo: [illegible]

Περὶ Ἰσάτιδος ἀγρίας. Κεφ. σις'.

Ἰσάτις ἀγρία, παραπλησία οὖσα τῇ πρὸ αὐτῆς, φύλλα ἔχει μείζονα πρὸς τὰ τῆς θρίδακος. καυλοὺς δὲ λεπτοτέρους, πο-
C λυσχιδεῖς, ὑπερύθρους, ἔχοντας ἐξ ἄκρου ὥσπερ θυλάκια γλωσσοειδῆ πολλὰ ἀποκρεμάμενα, ἐν οἷς τὸ σπέρμα. ἄνθος μήλινον, λεπτόν. Δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς, ὠφελοῦσα καὶ σπληνικοὺς πινομένη καὶ καταπλασσομένη.

Epitome addit, [illegible]

D Περὶ Τηλεφίου. Κεφ. σιζ'.

ΤΗΛΕΦΙΟΝ, τοῦτο καὶ τοῖς φύλλοις καὶ τῷ καυλῷ ἔοικεν ἀνδράχνῃ· μασχάλας ἔχει δύο παρ' ἕκαστον γόνυ τῶν φύλλων ἐμφυομένας. ἀφ' ὧν κλωνία ϛ'. ἢ ζ'. ἀπὸ τῆς ῥίζης πλήρη φύλλων κυανοειδῶν, παχέων τε καὶ γλίσχρων καὶ σαρκωδῶν,
E ἄνθη μήλινα ἢ λευκά. φύεται δὲ ἐν ἀμπελῶσι καὶ τόποις ἐργασίμοις ἔαρος. θεραπεύει δὲ καταπλασσόμενα τὰ φύλλα ἐπὶ ὥρας ἓξ λεύκας· δεῖ δὲ μετὰ ταῦτα ὠμηλύσει χρῆσθαι. αἴρει δὲ καὶ ἀλφοὺς ἐπιχριόμενα σὺν ὄξει ἐν ἡλίῳ. δεῖ μέντοι μετὰ τὸ ἀποξηρανθῆναι αὐτὰ ἀπο-
F ψᾶν.

V. [illegible]

Addit Matthioli codex [illegible]

Alter non habet hanc vocem neque etiam eā Plinius expressit.

V. tantum λευκά. Sed vulgatam scripturam rectiorem vult esse Goupylus, quia in telephio flores lutei spectentur.

Τέλος τοῦ βιβλίου δευτέρου.

ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ Περὶ ὕλης ἰατρικῆς λόγος τρίτος.

PEDACII DIOSCORIDIS ANAZARBÆI De medica materia Liber tertius.

IANO ANTONIO SARACENO, LVGDVNÆO, INTERPRETE.




ΕΝ μὲν τοῖς πρὸ τούτου βι- A
βλίοις, φίλτατε Ἄρειε, πα-
ρεδώκαμεν περὶ ἀρωμά-
των, καὶ μύρων, καὶ ἐλαίων,
καὶ δένδρων, καὶ τῶν ἀπ' αὐτῶν καρπῶν
τε καὶ δακρύων, ἔτι τε ζώων καὶ σιτηρῶν καὶ
λαχάνων, καὶ τὴν δριμύτητα κεκτημένων
βοτανῶν. ἐν δὲ τούτῳ τρίτῳ ὑπάρχον- B
τι, περὶ ῥιζῶν καὶ χυλισμάτων καὶ βοτα-
νῶν καὶ σπερμάτων, συμφύλων τε καὶ
φαρμακωδῶν ἐπελευσόμεθα.

Περὶ Ἀγαρικοῦ. Κεφ. α'.

ἈΓΑΡΙΚΟΝ ῥίζα φέρεται σιλφίῳ
ἐμφερής, οὐ πυκνὴ τὴν ἐπιφάνειαν
ὥσπερ τὸ σίλφιον, ἀραιὰ δέ ἐστιν ὅλη. ἔστι
δὲ τὸ μὲν αὐτοῦ, ἄρρεν· τὸ δέ, θῆλυ· ὧν διαφέ- C
ρει τὸ θῆλυ ἔχον κτηδόνας εὐθείας ἐντός.
τὸ δὲ ἄρρεν, περιφερές ἐστι καὶ πανταχόθεν
συμφυές. γεῦσις δ' ἀμφότερα ὅμοια· κα-
τ' ἀρχὰς μὲν γλυκάζοντα, εἶτα ἐκ τῆς ἀνα-
δόσεως ἔμπικρα. γεννᾶται δὲ ἐν τῇ Ἀγα-
ρίᾳ τῆς Σαρματικῆς. λέγουσι δὲ οἱ μέν, φύε-
σθαι ῥίζαν· οἱ δὲ τινές, ἐν τοῖς στελέχεσι τῶν δέν-
δρων ἐκ σήψεως γίνεσθαι, ὥσπερ οἱ μύκη- D
τες. γεννᾶται δὲ καὶ ἐν τῇ κατὰ τὴν Ἀσίαν
Γαλατίᾳ καὶ Κιλικίᾳ ἐπὶ τῶν κέδρων,
εὔθρυπτον μέντοι καὶ ἀσθενές. Τὴν μέν τοι
δύναμιν ἐστι στυπτικὸν, θερμαντικὸν· ποιοῦν
πρός τε στρόφους καὶ ὠμότητας, ῥήγματά
τε καὶ πτώματα. ὀβολῶν δὲ δυοῖν πλῆ-
θος διδόμενον μετ' οἰνομέλιτος, ἀπυρέτοις·
πυρέσσουσι δέ, ἐν μελικράτῳ. καὶ ἡπατικοῖς E
δὲ καὶ ἀσθματικοῖς, καὶ ἰκτερικοῖς καὶ δυ-
σεντερικοῖς, καὶ νεφριτικοῖς καὶ δυσου-
ροῦσι καὶ ὑστερικαῖς πνιξί, καὶ καχεκτικοῖς

Quidam. αἰσθό. σιος.
Vulg. ἐχεία
Marc. ῥίζαν.
V. δένδρων. Sic Orib.
Mar. σπάσματα.
Marc. λειπεντερικοῖς
V. καρεν.



PRIORIBVS quidem libris, amantissime Arere, de aromatis, vnguétis, oleis, arboribus, earúmque fructibus & lachrymis: deindéque de animalibus, cerealibus, oleribus & acrimonia præditis herbis egimus. In hoc verò tertio de radicibus, succis, herbis & seminibus tú naturæ nostræ familiaribus, tum etiam medicamentosis disseremus.

De Agarico. Cap. I.

AGARICVM radix fertur silphij similis, non tamen densa summa facie, veluti silphium, sed tota rarior. Duo eius genera: mas inquá, & fœmina. Præfertur verò fœmina, quæ quidem rectas intus habet pectinum modo venas & quasi diuisuras. Mas autem rotundus est, & vndique congener ac sui similis. Sed est similis vtrique gustus: scilicet initio dulcis, mox vbi diffundi per os cœperit, in amaritudinem transit. Gignitur in Sarmatię regione, quæ Agaria dicitur. Sunt verò qui plantæ radicem esse affirment: alij vti fungos ex putredine nasci in arborum caudicibus. Nascitur & in Galatia Asiæ & Cilicia in cedris, sed friabile & infirmius. Porrò Agaricum astringendi calfaciendiq; vim habet: estq; efficax contra tormina, cruditates, rupta & casus ab alto. Datur verò binis obolis ex vino mulso febrim non sentientibus: febricitantibus autē, in aqua mulsa: itémque hepaticis, suspiriosis, arquatis, dysentericis, nephriticis, ægrè meientibus, ab vtero strangulatis, atque fœdo pallore decoloratis

drachmæ pődere exhibetur: phthisicis autem ex passo: ac lienosis in aceto mulso. A stomachicis vero per se ita vt est, manditur ac deuoratur citra vllius liquoris sorbitionem: ac simili quoque modo datur acidum ructantibus. Sistit & sanguinis reiectiones, ternis obolis ex aqua sũptum. Facit & ad coxendicum articulorúmque dolores & comitiales morbos, si cum aceto mulso pari pődere assumatur. Menses quoque ciet, ac inflatione vteri vexatis mulieribus pari modo vtiliter exhibetur. Soluit & rigorem horrorémve, datum ante febrilium accessionum initia. Sed & aluũ purgat drachma vna aut altera, si cum aqua mulsa bibatur. Est & venenis pro antidoto, drachmæ vnius pondere cum diluta vini potione sumptum. Quin & serpentium ictibus ac morsibus tribus obolis ex vino potum auxiliatur. In summa internis omnibus vitijs subuenit, pro virium & ætatis ratione propinatum, his ex aqua, illis è vino, alijs ex aceto mulso, aliis denique ex aqua mulsa.

De Rha. Cap. II.

RHA, quod aliqui rheon vocant, prouenit in iis quæ supra Bosphorum sunt regionibus, ex quibus etiam affertur. Radix foris nigra, cẽtaurio magno similis, sed minor ac intus rubicundior, sine odore, laxa seu fungosa & aliquantum leuis. Optimum habetur quod teredines non sensit, si gustatu cum astrictione remissa lentescat, & commaducatum, colorẽ reddat pallidum, & quodammodo ad crocum inclinãtem. Id epotum facit ad inflationes, stomachi imbecillitatem, & omne genus dolores, ad conuulsiones, spleneticos, hepaticos, nephriticos, torminosos, itémque aduersus vesicæ & pectoris vitia, distensiones hypochődriorum, icterinos affectus, ischiadas, sanguinis excreationes, suspiria, singultus, dysenterias & cœliacorum affectus, contra febrium circuitus & venenatorum morsus. Dabis verò ad singulos affectus, eodem quo agaricũ pondere & cum eisdem liquoribus: scilicet febri carentibus, in vino mulso: febricitantibus autem, ex aqua mulsa: phthisicis, ex passo:

A < α΄ διδόμενον· φθισικοῖς δὲ μετὰ γλυκέος· σπληνικοῖς δὲ μετ' ὀξυμέλιτος· καὶ στομαχικοῖς ὡς ἔστι διαμασώμενον καὶ καταπινόμενον, μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. ὁμοίως δὲ καὶ ὀξυρεγμιῶσιν. ἵστησι δὲ καὶ αἵματος ἀναγωγάς, ὁλκὴ τριωβόλου μεθ' ὕδατος λαμβανόμενον. ποιεῖ καὶ πρὸς ἰσχίων B καὶ ἄρθρων ἀλγήματα, καὶ ἐπιληψίας, μετ' ὀξυμέλιτος λαμβανόμενον τὸ ἴσον πλῆθος. ἄγει δὲ καὶ ἔμμηνα, καὶ ταῖς ἐμπνευματουμέναις ὑστέραις γυναιξὶν ὠφελίμως τὸ ἴσον δίδοται. λύει δὲ καὶ ῥίγους πρὸ τῆς ἐπισημασίας διδόμενον. καθαίρει δὲ καὶ κοιλίαν < α΄, ἢ β΄. μετὰ μελικράτου πινό- C μενον. ἔστι δὲ καὶ θανασίμων ἀντίδοτον μετὰ κράματος < μιᾶς ὁλκὴ λαμβανόμενον. καὶ πρὸς ἑρπετῶν δὲ πληγὰς καὶ δήγματα, ὁλκὴ τριωβόλου μετ' οἴνου πινόμενον βοηθεῖ. καὶ καθόλου πρὸς τὰ ἐντὸς πάντα πάθη ἁρμόζει, πρὸς δύναμιν καὶ ἡλικίαν διδόμενον, οἷς μὲν μεθ' ὕδατος, οἷς δὲ D μετ' οἴνου, οἷς δὲ μετ' ὀξυμέλιτος " ἢ μελικράτου.

V. addit πολλάκις

Περὶ Ῥᾶ. Κεφ. β΄.

ΡΑ, ὃ δὲ ῥῆον καλοῦσι, " γεννᾶται ἐν τοῖς ὑπὲρ Βόσπορον τόποις, ὅθεν καὶ κομίζεται ". ῥίζα ἔξωθεν μέλαινα, κενταυρείῳ τῷ μεγάλῳ ἐοικυῖα, μικροτέρα μέν τοι καὶ E ἐνερευθεστέρα, ἄοσμος, χαύνη, ὑπόκουφος. ἔστι δὲ αὐτοῦ κράτιστον τὸ ἀτερηδόνιστον, ἔγλισχρόν τε κατὰ τὴν γεῦσιν μετὰ ἀμυδρᾶς στύψεως, διαμασηθέν τε ἔνωχρον καὶ χρονίζον πως τῷ χρώματι. Ποιεῖ δὲ πινόμενον πρὸς ἐμπνευματώσεις, στομάχου ἀτονίαν, ἄλγημα παντοῖον, σπάσματα, F σπληνικούς, ἡπατικούς, νεφριτικούς, στροφουμένους, καὶ τὰ περὶ κύστιν καὶ θώρακα, καὶ ὑποχονδρίων ἐντάσεις, καὶ τὰ περὶ ὑστέραν πάθη, ἰσχιάδας, αἵματος πτύσεις, ἄσθματα, λυγμούς, δυσεντερίας, κοιλιακὰς διαθέσεις, καὶ περιόδους, καὶ θηρίων δήγματα. δίδοται δὲ ὁμοίως τῷ ἀγαρικῷ πρὸς ἕ- G καστον πάθος, τῇ αὐτῇ ὁλκῇ, καὶ ὑγροῖς χρώμενος· μετ' οἰνομέλιτος μέν, ἀπυρέτοις· πυρέσσουσι δέ, μετὰ μελικράτου· φθισικοῖς, μετὰ γλυκέος,

Alter, ὃ δὲ ῥῆον.
V. πολλοὶ δὲ ῥαποντικόν. Sed ab aliquo fortè ista irrepserunt, Vulg. exemp. carent.

Dodon. ἐνερευθὲς legendum putat

V. addit μάλιστα τὰ ἔξω.

Lacuna scribit addi in v.c. καὶ ῥήγματα quod non omisit Plin. de rhacomate (sic enim vocat) agens lib. 27. cap. 12.

V. delet. V. his vsque ad ἀρεῖ caret. itidemque Serapio.

σπληνικοῖς μετ' ὀξυμέλιτος· στομαχικοῖς ὡς ἔστι διαμασώμενον καὶ καταπινόμενον, μηδενὸς ὑγροῦ ἐπιρροφουμένου. αἴρει δὲ καὶ πελιώματα καὶ λειχῆνας, μετ' ὄξους καταχρισθέν. καὶ φλεγμονὰς πάσας διαφορεῖ χρονίας, σὺν ὕδατι καταπλασσόμενον. ἡ δὲ ἀνωτάτω αὐτοῦ δύναμις, στυπτικὴ μετὰ ποσῆς θερμασίας.

A splenetícis ex aceto mulso. At à stomachicis ita vt est mandetur, ac citra sorbitionem vllam deuorabitur. Tollit quoque liuétia, lichenásque cum aceto illitum: atque inflammationes omnes veteres ex aqua impositum dissipat. Cæterùm summa ipsius vis, astringens est cum aliquanto calore.

B

Περὶ Γεντιανῆς. Κεφ. γ'.

De Gentiana. Cap. III.

Dalech. καὶ μάλιστα τὰ κατ' ἄκρον κείμενα μικρότερα. V. ὑπεσχισμένα μικρῶς

Dod. κοῦφον legisse videtur.

Aliqui cod. omittunt παχ. πικραί. V. ἀκρωτηρίοις, idem.

Dod legit ξηραντικήν.

Alter, καὶ στρέμματα, quæ lectio sensum rei conuenientem Goupylo habere videtur. alius τρίμματα.

V. κωνείου.

ΓΕΝΤΙΑΝΗ δοκεῖ μὲν ὑπὸ πρώτου εὑρῆσθαι Γέντιδος τοῦ Ἰλλυριῶν βασιλέως, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔσχηκεν. ἧς τὰ φύλλα τὰ μὲν πρὸς τῇ ῥίζῃ, καρύᾳ ἢ ἀρνογλώσσῳ ὅμοια, ὑπέρυθρα· τὰ δὲ ἐν μέσῳ τῷ καυλῷ, καὶ μάλιστα τὰ κατ' ἄκρον, ἐσχισμένα μικρῶς. καυλὸς δὲ κενός, λεῖος, τὸ πάχος δακτύλου, τὸ δὲ ὕψος δίπηχυς, γόνασι διειλημμένος, ἐκ διαστημάτων μειζόνων περιεχόμενος τὰ φύλλα· καρπὸν δὲ ἔχων ἐν κάλυξι πλατὺν, κοῦφον, ἀχυρώδη, πρὸς τὸν τοῦ σφονδυλίου· ῥίζαι μακραί, ὅμοιαι ἀριστολοχίᾳ τῇ μακρᾷ, παχεῖαι, πικραί. γεννᾶται δὲ ἐν ὑψηλοτάταις ἀκρωρείαις, καὶ συσκίοις τόποις καὶ ἐνύδροις. Δύναμιν δὲ ἔχει ἡ ῥίζα θερμαντικήν, στυπτικήν· βοηθεῖ δὲ θηριοδήκτοις ποτιζομένη < β'. τὸ πλῆθος, μετὰ πεπέρεως καὶ πηγάνου, καὶ οἴνου. τοῦ δὲ χυλίσματος ὅσον < α'. καὶ πρὸς ὀδύνας πλευρῶν, καὶ πτώματα, ῥήγματά τε καὶ σπάσματα. εὐθετεῖ καὶ ἡπατικοῖς καὶ στομαχικοῖς, πινομένη μετ' ὕδατος. ἐκβάλλει δὲ ἔμβρυα ἡ ῥίζα ὡς κολλύριον προστεθειμένη. ἔστι δὲ καὶ τραυματική, ἐπιτιθεμένη ὡς τὸ λύκιον, νεμομένων τε ἑλκῶν ἴαμα, καὶ μάλιστα τὸ χύλισμα, καὶ ὀφθαλμῶν ἐπίχρισμα φλεγμαινόντων. μίγνυται δὲ καὶ εἰς τὰ δριμέα τῶν κολλυρίων τὸ χύλισμα ἀντὶ μηκωνίου. ἔστι δὲ καὶ ἀλφῶν σμηκτικὴ ἡ ῥίζα. χυλίζεται δὲ θλασθεῖσα καὶ βραχεῖσα ἐν ὕδατι ἐπὶ ἡμέρας ε'. εἶτα ἑψηθεῖσα ἐν τῷ ὕδατι, ἄχρις ἂν ὑπερέχωσιν αἱ ῥίζαι, καὶ μετὰ τὸ ψυχῆναι τὸ ὕδωρ διηθεῖται δι' ὀθονίου· καὶ ἕψεται ἄχρις ἂν γένηται μελιτῶδες τῇ συστάσει.

GENTIANA primùm inuenta creditur à Gentio Illyriorū Rege, à quo etiam cognomentum habuit. C Huius folia, quę quidem proximè radicem sunt, iuglandi plantaginíve similia, subrubentia: quæ verò in medio sunt caule, maximéq; quæ circa cacumen, paulùm dissecta. Caulis inanis, læuis, digiti crassitudine ac binûm cubitorum altitudine, geniculis distinctus, & maioribus ex interuallis folliis circundatus. (folium. vel.) D Semen verò habet in calycibus latū, leue, acerosum, quod ad sphōdylij semen accedit. Radix longa qualis aristolochiæ longæ, crassa & amara. Nascitur in celsissimis montium iugis, locis vmbrosis aquosísque. Vis radici excalfactoria & detergens. Contra venenatarum bestiarum morsus duabus drachmis E cum pipere & ruta ex vino pota auxiliatur. Extracti succi drachma ad laterum dolores, casus è sublimi, rupta & conuulsa prodest. Hepaticis quoque & stomachicis pota cum aqua subuenit. Radix collyrij modo subdita, partus eiicit: impositáque vt lycium vulneraria est, & cuniculatim depascentibus vlceribus medetur: F præcipuè verò succo, qui quidem oculis etiam inflammatione laborantibus illinitur. Miscetur & succus acrioribus collyriis pro meconio. Sed & radix vitiligines alphos dictas absterget. Porrò extrahendi succi ratio hæc est: Contusa radix ad dies quinque aqua maceratur, G posteà in eadem tantisper decoquitur, dum extent emineántque radices: ac vbi refrixit aqua, linteo excolatur, móxque discoquitur ad mellis crassitudinem,

fictilíque vase reconditur.

De Aristolochia rotunda. Cap. IIII.

ARISTOLOCHIA ex eo nomen accepit, quòd optimè puerperis opitulari credatur. In eius generibus quædam est rotunda, quæ fœmina vocatur. Folijs hæc est hederaceis, cum acrimonia odoratis, subrotundis, mollibus, cum multis ab vna radice germinibus. Sunt verò prælonga quasi sarmenta: flores cādidi pileolorū similitudine, in quibus quod rubicundum est grauiter olet.

De Aristolochia longa. Cap. V.

Longa autem Aristolochia mascula appellatur & dactylitis: folijs quàm rotunda oblongioribus, ramulis tenuibus, fermè dodrantalibus: flore purpureo, graueolente, qui vbi defloruit, pyro similis euadit. Rotundæ radix in orbem rapi modo conglobatur. Longæ verò, digiti crassitudinem implet, dodrātalis aut etiam maior. Ambæ colore intus buxeo, gustu amaræ ac virosę.

De Aristolochia Clematitide.

Cap. VI.

Est etiamnum tertia longa, quæ etiam clematitis, quasi sarmentosa seu sarmentitia, vocatur, ramulos habens tenues, folijs refertos subrotundis, minori semperuiuo similibus: flores rutæ: radices longiores, tenues, crasso aromáque redolente cortice vestitas: quæ priuatim vnguentariis ad vnguentorum spissamenta conducunt. Porrò cæteris quidem venenis resistit rotunda. At longa contra serpentes & venenata drachmæ pondere ex vino bibitur, atque etiam imponitur. Pota, pipere & myrrha additis, purgamēta omnia post partum in vtero relicta, menses & partus eiicit. Eadem quoque efficit subdita in pesso. Sed & rotunda ad eadem ad quæ & antedicta est efficax. Ex abūdanti verò suspiriis, singultibus, horroribus, lieni, ruptis, conuulsis & lateris doloribus, pota cum aqua auxiliatur. Extrahit & imposita aculeos ac spicula, ossiúmque squamas remouet. Vlcera quoque putrida emarginat, sordidáque expurgat, & caua cum iride ac melle explet.

A καὶ ἀποτίθεται ἐν ὀστρακίνῳ ἀγγείῳ.

Περὶ Ἀριστολοχίας στρογγύλης. Κεφ. δʹ.

ΑΡΙΣΤΟΛΟΧΙΑ ὠνόμασται μὲν ἀπὸ τοῦ δοκεῖν ἄριστα βοηθεῖν ταῖς λοχοῖς. ἔστι δὲ ἡ μὲν στρογγύλη, θήλεια καλουμένη. φύλλα δ' ἔχει κισσοειδῆ, εὐώδη μετὰ δριμύτητος, ὑποστρόγγυλα, ἁπαλά, B παρὰ πολλοῖς βλαστοῖς ἐν μιᾷ ῥίζῃ. τὰ δὲ κλήματα ἐπιμήκη. ἄνθη λευκά, οἱονεὶ πιλίσκοις. τὸ δ' ἐν αὐτοῖς ἐρυθρὸν, δυσῶδες.

Par. λοχείαις.
V. delet
V. ἐκ μιᾶς ῥίζης
V. ὑπομήκη.

Περὶ Ἀριστολοχίας μακρᾶς. Κεφ. εʹ.

Ἡ δὲ μακρὰ ἀριστολοχία ἄρρην καλεῖται καὶ δακτυλῖτις, φύλλα ἔχουσα ἐπιμηκέστερα τῆς στρογγύλης· κλωνία λεπτά, C ὡς σπιθαμῆς τὸ μέγεθος. ἄνθος πορφυροῦν, δυσῶδες, ὅπερ ἐξανθῆσαν ἀπίῳ παραπλήσιον γίνεται. ῥίζα δὲ τῆς μὲν στρογγύλης, περιφερής, γογγυλίδι ὁμοία. ἡ δὲ τῆς μακρᾶς, δακτύλου ἔχει τὸ πάχος, σπιθαμιαία ἢ καὶ μείζων. ἀμφότεραι δὲ τὰ πολλὰ πυξοειδεῖς ἔνδοθεν, πικραί τε τὴν γεῦσιν καὶ βρωμώδεις.

V. vsque ad γίνε[ται] caret

D Περὶ Ἀριστολοχίας κληματίτιδος. Κεφ. ϛʹ.

Ἔστι δέ τις καὶ τρίτη μακρά, ἥτις καὶ κληματῖτις καλεῖται, κλωνία ἔχουσα λεπτά, φύλλοις ὑποστρογγύλοις, ἀειζώου *μικροῦ ἐοικόσι περίπλεα, ἄνθη ἐοικότα πηγάνῳ· ῥίζας μακροτέρας, λεπτάς, φλοιὸν ἐχούσας παχὺν καὶ ἀρωματίζοντα, E ἰδίως χρησιμευούσας μυρεψοῖς εἰς τὰς τῶν μύρων στύψεις. ποιεῖ δὲ πρὸς μὲν τὰ ἄλλα φάρμακα ἡ στρογγύλη, πρὸς δὲ τὰ ἑρπετὰ καὶ θανάσιμα ἡ μακρά. < αʹ. ὁλκὴ πινομένη μετ' οἴνου καὶ καταπλαττομένη· καὶ τὰ ἐν μήτρᾳ συνιστάμενα πάντα λόχια καὶ ἔμμηνα καὶ ἔμβρυα F ἐκβάλλει, ποθεῖσα μετὰ πεπέρεως καὶ σμύρνης. καὶ ἐν πεσσῷ δὲ προστεθεῖσα, τὰ αὐτὰ δρᾷ. ἡ δὲ στρογγύλη ποιεῖ μὲν πρὸς ἃ καὶ ἡ προειρημένη. ἐκ περισσοῦ δὲ βοηθεῖ ἄσθματι, λυγμῷ, ῥίγει, σπληνί, ῥήγμασι, σπάσμασιν, ἀλγήμασι πλευρᾶς, ποθεῖσα μεθ' ὕδατος. ἀνάγει δὲ καὶ σκόλοπας, ἀκίG δας. λεπίδας ὀστῶν καταπλασσομένη ἀφίστησι· καὶ σηπεδόνας περιχαράσσει, καὶ τὰ ῥυπαρὰ περικαθαίρει ἕλκη· καὶ τὰ κοῖλα πληροῖ σὺν ἴρεδι καὶ μέλιτι.

V. στρογγύλοις μικροῖς.
Oribas. μακροτέρας.
Lacuna ex v.c. σπασμοῦ

σμήχει δὲ καὶ οὖλα καὶ ὀδόντας. δοκεῖ δὲ καὶ ἡ κληματῖτις πρὸς τὰ αὐτὰ ποιεῖν· ἐλαττοῦται μέντοι τῇ δυνάμει τῶν προειρημένων.

Περὶ Γλυκυῤῥίζης. Κεφ. ζ.

V. θάμνος.

ΓΛΥΚΥΡΡΙΖΑ γεννᾶται πλείστη ἐν Καππαδοκίᾳ, καὶ Πόντῳ· ἔστι δὲ θαμνίσκος, ῥάβδους ἔχων διπήχεις, περὶ οὓς τὰ φύλλα πυκνά, ἐοικότα σχίνῳ, λιπαρὰ καὶ κολλώδη ἁπτομένῳ. τὸ δὲ ἄνθος ὑακίνθῳ ὅμοιον· καρπὸς δὲ πλατάνου σφαιρίων μέγεθος, τραχύτερος, λοβοὺς ἔχων ὡς φακοῦ, πυῤῥούς, μικρούς. ῥίζαι μακραί, πυξοειδεῖς ὡς γεντιανῆς, ὑπόστρυφνοι, γλυκεῖαι· χυλίζονται ὥσπερ τὸ λύκιον. ποιεῖ δὲ τὸ χύλισμα πρὸς τραχύτητας ἀρτηρίας· δεῖ δὲ ὑποτιθέντας τῇ γλώττῃ ἀποχυλίζειν· ἁρμόζει δὲ καὶ πρὸς καῦσον στομάχου, καὶ πρὸς τὰ ἐν θώρακι καὶ ἥπατι· ψωριάσεις τε κύστεως καὶ νεφρίτιδας πινόμενον μετὰ γλυκέος· ἄδιψόν τε ἐστὶν ἀποχυλιζόμενον, καὶ τραυματικὸν περιχριόμενον, καὶ στομαχικὸν διαμασώμενον. καὶ τὸ ἀφέψημα δὲ τῶν ῥιζῶν προσφάτων πρὸς τὰ αὐτὰ ἁρμόζει. ἡ δὲ ῥίζα ξηρὰ λειοτριβηθεῖσα, πτερυγίοις καταπαστὸς ἐστὶν ἐπιτήδειος.

V. μακροὺς retinet. Ita & Orib.
Catac. legit πυξοειδεῖς
V. addit ἔξωθεν.
Al. addunt τὸ πρῶτον
Addit Lacuna ex v.c. γλαύκιον δ
Addit Matthioli cod. μέσον δὲ θερμοῦ καὶ ψυχροῦ
V. addit κατὰ χρῶτα
Vulg. καταπλαστός

Περὶ Κενταυρίου τοῦ μεγάλου. Κεφ. η.

ΚΕΝΤΑΥΡΙΟΝ τὸ μέγα, (οἱ δὲ νάρκην καλοῦσι,) φύλλα ἔχει καρύᾳ βασιλικῇ ὅμοια, περιμήκη, χρώματι χλωρὰ ὡς κράμβης, τὸ δὲ περιφερὲς αὐτῶν ἐντετμημένον ὥσπερ πρίων· καυλὸν δὲ ἔχει ὡς λαπάθου δίπηχυν, ἢ καὶ τρίπηχυν, παραφυάδας ἀπὸ τῆς ῥίζης ἔχοντα πολλάς, ἐφ' ὧν κεφαλαὶ ὅμοιαι μήκωσιν, ὑπομήκεις ἐν τῷ περιφερεῖ. ἄνθος κυανίζον· καρπὸς δὲ ὅμοιος κνίκῳ, ἐγκείμενος ὥσπερ ἐν ἐριώδεσι τοῖς ἄνθεσι· ῥίζα παχεῖα, στεῤῥά, βαρεῖα, περὶ πήχεις δύο, μεστὴ χυλοῦ, δριμεῖα μετὰ ποσῆς στύψεως καὶ γλυκύτητος, ὑπέρυθρος. φιλεῖ δὲ λιπαρὰν γῆν, εὐήλιον, καὶ δρυμοὺς καὶ γεώλοφα· πλεονάζει δὲ ἐν Λυκίᾳ καὶ Πελοποννήσῳ, ἐν Ἤλιδι καὶ Ἀρκαδίᾳ καὶ Μεσσηνίᾳ, καὶ περὶ Φολόην καὶ Λυκίαν καὶ Σμύρνην. ἁρμόζει δὲ ἡ ῥίζα ῥήγμασι, σπάσμασι, πλευ-

V. omisit ποσῆς στύψ. καὶ
V. ἐρυθρός.
Addunt nonnulli veteres, ὅμοιος δὲ τῷ χυλὰς ἐρυθρός: quam lectionem Hermolaus secutus est.

Gingiuas denique ac dentes extergit. Creditur & clematitis ad eadẽ pollere: sed efficacia tamen cedit antedictis.

De Glycyrrhiza. Cap. VII.

GLYCYRRHIZA, seu dulcis radix, plurima gignitur in Cappadocia & Ponto. Est verò frutex exiguus, ramis binûm cubitorum altitudine: circa quos folia sunt densa, lentisci, pinguia tactúque glutinosa. Flos est hyacinthi: fructus platani pilularum magnitudinis, asperior, qui siliquas habet lentiũm modo rufas, & paruas: radices longæ, buxei coloris, vti gentianæ, subacerbæ ac dulces: è quibus succus lycij modo elicitur. Est verò spissatus hic succus ad arteriæ scabritias efficax: verùm oportet vt linguæ subditus eliquescat. Sed & æstuanti stomacho ac thoracis & iocineris vitijs conuenit: necnon ad vesicæ scabiẽ ac renum vitia vtiliter ex passo bibitur. Idem eliquatus sitim sedat, illitúsque vulneribus accommodatur, atque commanducatus prodest oris affectibus. Quin & recentium radicum decoctum ad eadem conuenit. Arida verò radix ad leuorem detrita, pterygijs commodè inspergitur.

De Centaurio maiore. Cap. VIII.

CENTAVRIVM magnum, quod aliqui narcen appellãt, folia habet nucis iuglandis, oblonga, viridi brassicæ colore, serrata in ambitu: caulem verò, ceu rumicis, binũ aut etiam ternûm cubitorum, multis ab radice adnatis, in quibus capita ceu papaueris, in rotunditate longiuscula: flos cæruleus: ac semen cnico simile, veluti laneis floccis quibusdam inuolutum. Radix est crassa, solida, grauis, ad bina cubita, succi plena, cum quadam astrictione ac dulcedine acris, rubescens. Amat solum pingue & apricum, ac syluas & colles. Cæterùm copiosè nascitur in Lycia, Peloponneso, Helide, Arcadia & Messenia, atque circa Pholoen, Lyciã & Smyrnã. Cõuenit porrò radix ruptis, cõuulsis, pleu

riticis, dyspnœę, veteri tussi & sanguiné excreantibus: ac siquidē absit febris, in vino: sin minùs, ex aqua drachmis duabus trita exhibetur. Similiter quoque ad tormina & vuluæ dolores. Sed & derasa & in collyrij formam vuluæ subdita, mēses atque partus extrahit. Eadē succus etiamnum præstat. Est & illa vulneraria: siquidem recens tusa, aut, si arida fuerit, antè macerata, deindéque tusa, vulnera colligat & conglutinat. Quin & tusam si quis simul cum carnibus coquat, carnes ipsæ cohærescent. Cæterum Lyciæ incolæ succum ipsius exprimunt, quo pro Lycio vtuntur. Vocata autem fuit Panacea, quoniam inflammationes omnes sedat, ictuúmque impetus lenit: atque calculosos, quibúsque subtillum est lotium iniectione sanat. Legitur verò paulò ante Solis exortum, serena tempestate, per quam pleniora perfectioráque sunt omnia.

A ἐπιληπτικοῖς, δυσπνοίᾳ, βηχὶ παλαιᾷ· αἱμοπτοϊκοῖς ἀπυρέτοις μεθ' οἴνου· πυρέσσουσι δὲ, μεθ' ὕδατος < β'. πλῆθος τῆς ῥίζης λείας διδομένης· πρὸς στρόφους ὁμοίως καὶ ὑστέρας ἀλγήματα. ἄγει δὲ καὶ ἔμμηνα καὶ ἔμβρυα [V. non habent.] εἰς σχῆμα κολλυρίου ξυσθεῖσα καὶ προστεθεῖσα τῇ ὑστέρᾳ. ὅ, τε χυλὸς τὰ αὐ-
B τὰ ποιεῖ· ἔστι δὲ καὶ τραυματική, ὑγρὰ μὲν κοπεῖσα, ξηρὰ δὲ προβραχεῖσα καὶ οὕτω κοπεῖσα. συνάγει γὰρ καὶ κολλᾷ· καὶ τὰ ἑψόμενα δὲ κρέα συνάγει, ἐάν τις αὐτὴν κόψας συνεψήσῃ. οἱ δὲ ἐν Λυκίᾳ αὐτὴν χυλίζοντες, χρῶνται αὐτῇ ἀντὶ Λυκίου. ἐκλήθη δὲ Πανάκεια, ἐπειδὴ πάντα τὰ [Hæc ad finē vsque accreuere.]
C φλεγμαίνοντα πάθη παύει, καὶ κρούσματα πληγῶν, στραγγουρίας τε παύει ἐν ἐνέμασι, [In vtroque vetusto codice addi testatur Goupylus hoc loco, ...] καὶ λιθιῶντας. συνάγεται δὲ τοῦ ἡλίου μέλλοντος ἀνατέλλειν, ὥρᾳ ἀγνῇ ὅτε πληρέστερα ἅπαντα. [... quæ scriptura ab Hermolao recepta est.]

De Centaurio minore.

Cap. IX.

Centauriū paruū seu tenue, quod aliqui limnæū quasi palustre vocāt, quoniā humecta riguáve amet loca, herba est hyperico aut origano similis: cuius caulis dodrante altior est & angulosus: flores ad lychnidis florum similitudinē è puniceo colore in purpuram vergunt: folia minuta, quadantenus longiora, veluti rutæ: semen tritico simile: radix pusilla, læuis & superuacua. Herba ipsa virens contusa & imposita, vulnera glutinat, vetera vlcera purgat & ad cicatricem perducit. Bilem autem humoréque crassos per aluum exigit, si decocta deuoretur. Ius verò decocti ischiadicis conueniēter infunditur: trahit enim sanguinem, dolorémque leuat. At succus oculorum medicamentis perquàm vtilis: quippe qui quę pupillis caliginem offundunt vna cum melle discutiat. Vuluæ subditus menses & partus extrahit: peculiariter verò neruorum vitiis epotus prodest. Succi autem extrahendi ratio hæc est: Legitur herba semine prægnās & diebus quinque (aqua) perfunditur, deindéque coquitur, dum aquæ supereminéat: mox vbi refrixit,

Περὶ Κενταυρίου τοῦ μικροῦ.

Κεφ. θ'.

D Κενταύριον τὸ μικρὸν, ὅ τινες λιμναῖον καλοῦσιν, ἐπειδὴ ἐνίκμους φιλεῖ [Addit Lacuna ex v. c. καὶ ...] τόπους. πόα ὑπερικῷ ἢ ὀριγάνῳ παραπλήσιός ἐστι, καυλὸν ἔχουσα ὑπὲρ σπιθαμὴν, γεγωνιωμένον. ἄνθη ἐν τοῖς φοινικῷ ὑποπόρφυρα πρὸς τὰ τῆς λυχνίδος φύλλα μικρὰ, ὑπομήκη ὥσπερ [Corn. ..., quo modo habetur apud Pliniū.] [V. ...]
E πηγάνου· καρπὸς ὅμοιος πυρῷ· ῥίζα μικρὰ, ἄχρηστος, λεία. Αὕτη κοπτομένη χλωρὰ καὶ καταπλασσομένη, τραυμάτων ἐστὶ κολλητική, ἀνακαθαρτικὴ ἑλκῶν παλαιῶν καὶ ἀπουλωτική· ἀφεψηθεῖσα δὲ καὶ καταπινομένη, ἄγει κατὰ κοιλίαν χολώδη καὶ παχέα. ἔγκλυσμά τε τὸ ἀφέ- [Quidam addunt, ... quas voces agnoscit Marcellus.] [Catac... quo modo legit Cornarius.]
F ψημα αὐτῆς, ἐστὶ τοῖς ἰσχιαδικοῖς ἁρμόδιον· ἄγον αἷμα καὶ κουφίζον. ὁ δὲ χυλὸς πρός τε τὰ ὀφθαλμικὰ εὔχρηστος, ἀποκαθαίρων τὰ ἐπισκοτοῦντα ταῖς κόραις σὺν μέλιτι· καὶ ἐν προσθέτῳ ἔμμηνα ἄγων καὶ ἔμβρυα· ποθεὶς δὲ, ἁρμόζει [V. quidam addit, ...] τοῖς περὶ τὰ νεῦρα πάθεσιν ἰδίως. Χυ- [Brito. καὶ ...]
G λίζεται δὲ ἡ πόα συλλεγομένη ἐγκύμων οὖσα σπέρματος, καὶ ἀποβρεχομένη ἡμέρας ε'. εἶτα ἕψεται ἄχρις ἂν ὑπερέχοι τὸ ὕδωρ. ἔπειτα τούτου ψυχθέντος,

[left margin:] ...

ὑλίζεται δι' ὀθονίου θλιβείσης τῆς πόας, καὶ A πάλιν ἕψεται μέχρι μελιτώδους συστάσεως. ἔνιοι δὲ χλωρὰν ἐγκύμονα αὐτὴν κόψαντες, ἐκθλίβουσι τὸν χυλὸν, καὶ βαλόντες εἰς κεραμεοῦν ἀγγεῖον ἀκόνιτον, ἐν ἡλίῳ συστρέφουσι, κινοῦντες ἀεὶ ξύλῳ. καὶ τὸ περιεπιπηγνύμενον ἀεὶ ξύοντες, καὶ τῷ ὑγρῷ μισγοντες, σκεπάζοντές τε νυκτὸς ἐ- B πιμελῶς· ἡ γὰρ δρόσος κωλυτικὴ τῆς τῶν ὑγρῶν χυλῶν συστάσεως καθέστηκεν. ὅσα μὲν οὖν ἐκ ξηρῶν τῶν ῥιζῶν ἢ τῶν βοτανῶν ἐγχυλίζεται, ἑψόμενα σκευάζεται, ὡς ἡ γεντιανή. ὅσα δὲ ἐκ φλοιῶν ὑγρῶν ἢ ῥιζῶν ἢ βοτανῶν ἐκθλιβομένων, ἐν ἡλίῳ συστρέφονται, ὡς προείρηται. οὕτω καὶ ἡ C θαψία καὶ μανδραγόρα καὶ ὄμφαξ, καὶ τὰ ὅμοια τούτοις χυλίζεται. λύκιον μέντοι καὶ ἀψίνθιον καὶ ὑποκισθὶς καὶ τὰ ὅμοια τούτοις, ἑψόμενα συστρέφονται ὃν τρόπον προείρηται.

Ald. ὀμφάκι

V. ista reiiciunt.

G Defertur & è Creta alterum dictamni genus, folio sisymbrij: at ramis maioribus, in quib⁹ flos emicat syluestris origani, niger ac mollis,

Odor foliorum inter sisymbrium & saluiam medius, iucundissimus. Ad eadem ad quæ & antedictum efficax, sed minùs nares ferit. Miscetur & emplastris ac theriacis compositionibus.

De Saluia. Cap. XL.

SALVIA, quam Græci elelisphacon, alij elaphoboscon, alij denique sphagnon nominant, frutex est oblongus, ramis numerosis, virgas habens quadrangulas & albicantes: folia mali cotoneæ effigie, sed longiora, asperiora crassioráque, & attritarum vestium modo, ita parum villosa, vix vt quisquam villos animaduertat, subalbida, vehemẽter odorata, sed virosa: semen summis in caulibus syluestri hormino simile gerit: in asperis nascitur. Foliorum ramorúmque decoctũ vim habet epotum vrinas mensésque ciendi, partus extrahendi, & pastinacæ marinæ ictibus auxiliandi. Capillos quoque denigrat saliua, vulnerariáque est, & sanguinis cohibendi vi prædita: ac denique fera repurgat vlcera. Sed & folia ac ipsi etiam rami, si in vino decoquantur, genitalium pruritus fotu sedant.

De Menta satiua. Cap. XLI.

MENTA ab odoris suauitate hedyosmos Græcis dicta, quã alij mintham vocant, cognita herbula est. Calfaciendi, astringendi atque exiccandi vi prædita: quamobrem sistit sanguinem ipsius succus ex aceto potus, teretésque lumbricos enecat, & venerem stimulat: singultus, vomitiones cholerámque sedant bini ternive ramuli cum acidi granati succo epoti. Discutit & abscessus, si cum polenta adhibeatur, & imposita fronti dolores capitis leuat: mammas distentas & nimio lacte turgentes compescit. Cum sale verò, canum morsibus imponitur. Succus autem aurium doloribus cum aqua mulsa subuenit. Porrò mulieribus ante coitum subdita, conceptioni resistit, & asperam linguam affricta læuigat. Coire lac densaríque in caseum non patitur, si illi folia immergantur. In summa stomacho vtilis est, & condimentorum misturæ familiaris.

Grato menta mensas odore percurrit in rusticis dapibus. Pl. lib. 19. cap. 8.

A ὀσμὴ δὲ τῶν φύλλων μεταξὺ σισυμβρίου καὶ ἐλελισφάκου, ἡδίστη. ποιεῖ δὲ πρὸς ὅσα καὶ ἡ πρὸ αὐτῆς, ἧττον πληκτικὴ ὑπάρχουσα· μίγνυται δὲ καὶ ἐμπλάστροις καὶ θηριακαῖς.

Περὶ Ἐλελισφάκου. Κεφ. μ'.

ἘΛΕΛΙΣΦΑΚΟΝ, οἱ δὲ ἐλαφόβοσκον, οἱ δὲ σφαγνὸν, θάμνος ἐστὶν ἐπιμήκης, πολύκλωνος, ῥάβδους τετραγώνους
B
καὶ ὑπολεύκους ἔχων. φύλλα δὲ μηλέᾳ κυδωνίᾳ ἐοικότα, ἐπιμηκέστερα μέντοι καὶ τραχύτερα, καὶ παχύτερα, λελεπτυσμένα ὥσπερ τὰ ἀνατετριμμένα τῶν ἱματίων δασέα, ὑπόλευκα, σφοδρῶς εὐώδη, βρωμώδη· καρπὸν δὲ ἐπ' ἄκρων τῶν καυλῶν
C
ὥσπερ ὁρμίνου ἀγρίου ἔχει. φύεται δὲ ἐν τραχέσι χωρίοις. Δύναμιν δὲ ἔχει τὸ ἀφέψημα τῶν φύλλων καὶ τῶν κλάδων οὖρα ἄγειν πινόμενον, καὶ ἔμμηνα [καὶ ἔμβρυα κατασπᾶν, καὶ τρυγόνος πληγαῖς ἀρήγειν.] μελαίνει δὲ καὶ τρίχας. [καὶ τραυματική,
D
ἐστὶ ἴσχαιμος,] καὶ ἀποκαθαρτικὴ τῶν θηριωδῶν ἐστιν ἑλκῶν. ποιεῖ δὲ σὺν οἴνῳ τὸ ἀφέψημα τῶν φύλλων καὶ τῶν κλάδων αὐτῶν προσκλυζόμενον, τοῖς περὶ τὰ αἰδοῖα κνησμοῖς.

Περὶ Ἡδυόσμου ἡμέρου. Κεφ. μα'.

ἩΔΥΟΣΜΟΣ, οἱ δὲ, μίνθην, γνώριμον
E
βοτάνιον. Δύναμιν ἔχον θερμαντικὴν, στυπτικὴν, ξηραντικήν· ὅθεν αἷμα ἵστησι πινόμενος ὁ χυλὸς αὐτοῦ μετ' ὄξους· καὶ ἕλμινθας κτείνει στρογγύλας, ἀφροδίσιά τε ἐρεθίζει, καὶ λυγμοὺς καὶ ἐμέτους, καὶ χολέρας παύει δύο ἢ τρία κλωνάρια σὺν ῥοᾶς ὀξείας χυλῷ ποθέντα. διαφορεῖ δὲ καὶ ἀποστήματα
F
μετ' ἀλφίτου καταπλασθέν. καὶ κεφαλαλγίας παρηγορεῖ ἐπιτεθὲν τῷ μετώπῳ· μαστῶν τε περιτάσεις καὶ σπαργώσεις πραΰνει· σὺν ἁλσὶ δὲ τοῖς κυνοδήκτοις καταπλάσμα. ὠταλγίαις δὲ ὁ χυλὸς σὺν μελικράτῳ ἀρήγει· γυναιξὶ δὲ πρὸ τοῦ πλησιάζειν προστιθέμενον, ἀσυλληψίαν ἐργάζεται· γλῶσσάν τε τραχεῖαν περιτριβόμενον λεαίνει·
G
καὶ γάλα ἀτύρωτον φυλάσσει ἐναποκλυσθέντων αὐτῷ τῶν φύλλων. καὶ καθόλου ἐστὶν εὐστόμαχον καὶ ἀρτυματῶδες.

Al. ἐπιμηκέστερα δὲ καὶ [illegible] τραχέα λελεπτυσμένα

V. τῶν ἱματίων ὑπόλευκα [illegible]

Caret [illegible]

V. his caret.

V. caret.

Quidam addũt, [illegible]

V. quid. addit, [illegible]

V. [illegible] τοῦ μετώπου

V. ἀλγοῦσι

V. [illegible]

Matth. codex [illegible]

V. addit, [illegible]

Hoc caput coniunctum est cum superiore in v. cod. Goup. V. caret conclusis.

Περὶ Ἡδυόσμου ἀγρίου. Κεφ. μβ'. A

Τὸ δὲ ἄγριον Ἡδύοσμον γίνεται δασύτερον τοῖς φύλλοις, καὶ πάντη μεῖζον σισυμβρίου, ἐν ὀσμῇ δὲ βρωμωδέστερον, καὶ ἧττον εἰς τὴν ἐν ὑγιείᾳ χρῆσιν εὔθετον.

Περὶ Καλαμίνθης. Κεφ. μγ'.

V. ὀρθοτέρα
V. ὑπόμηκα καὶ λευκότερα
V. γωνιώδη
V. add. ὁ δὲ καὶ μείζονα.
V. vsque ad ὁ δὲ τρίτη caret.
Par. caret.

Καλαμίνθη, ἡ μέν τις ὀρεινοτέρα ἐστὶν, ἔχει δὲ φύλλα ὅμοια ὠκίμῳ, ὑπόλευκα, κλωνία δὲ καὶ κάρφη γεγωνιωμένα, ἄνθος πορφυροῦν. Ἡ δέ τις γλήχωνι ἔοικε, μείζων δὲ· ὅθεν τινὲς ἀγρίαν αὐτὴν γλήχωνα ἐκάλεσαν, διότι καὶ τῇ ὀσμῇ προσέοικε· ταύτην Ῥωμαῖοι νεπέταν καλοῦσιν. Ἡ δὲ τρίτη ἔοικεν ἡδυόσμῳ ἀγρίῳ, ἐπιμηκεστέρα τοῖς φύλλοις, καυλῷ καὶ κλάδῳ C μείζων τῶν προειρημένων, καὶ ἧττον ἐνεργής.

V. vocem ἀγρίῳ delet.
V. ἀμβλύτερα δὲ τὰ φύλλα θερμαντικὰ ἰσχυρῶς.
V. τραχέσιν

Πασῶν δὲ τὰ φύλλα γευομένῳ πυρωτικὰ ἰσχυρῶς καὶ δριμέα, ῥίζα ἄχρηστος. Φύεται δὲ ἐν πεδίοις καὶ ἐν τραχέσι τόποις καὶ καθύγροις. Πινομένη δὲ καὶ καταπλασσομένη, ἀρήγει ἑρπετοδήκτοις. Ἄγει δὲ καὶ οὖρα τὸ ἀφέψημα πινόμενον· βοηθεῖ δὲ καὶ ῥήγμασι, σπάσμασιν, ὀρθοπνοίαις, στρόφοις, D χολέρᾳ καὶ ῥίγει· καὶ πρὸς τὰ θανάσιμα προπινομένη ποιεῖ σὺν οἴνῳ, καὶ ἴκτερον ἀποκαθαίρει· ἕλμινθάς τε κτείνει καὶ ἀσκαρίδας σὺν ἁλσὶ καὶ μέλιτι πινομένη, ἑφθή τε καὶ ὠμὴ τετριμμένη. Ὠφελεῖ καὶ ἐλεφαντιῶντας βρωθεῖσα, ἐπιπινομένου ὀῤῥοῦ γάλακτος. E Φθείρει δὲ καὶ ἔμβρυα, καὶ ἔμμηνα ἄγει τὰ φύλλα λεῖα ἐν προσθέτῳ. Θυμιαθέντα δὲ, ἑρπετὰ διώκει, καὶ ὑποστρωννύμενα·

Deest in Paris.

λευκαίνει τε καὶ τὰς μελαίνας οὐλὰς ἐψηθεῖσα ἐν οἴνῳ καὶ καταπλασθεῖσα, καθαίρει καὶ ὑπώπια. Ἰσχιαδικοῖς τε ἐπιτίθεται εἰς μετασύγκρισιν, ἐπικαίουσα τὴν ἐπιφάνειαν. F Καὶ σκώληκας τοὺς ἐν ὠσὶ κτείνει ὁ χυλὸς ἐνσταζόμενος.

Περὶ Θύμου. Κεφ. μδ'.

Θύμος γινώσκεται ὑπὸ πάντων, θαμνίσκιον φρυγανῶδες, φυλλαρίοις πολλοῖς καὶ στενοῖς περιειλημμένον· ἔχον ἐπ' ἄκρου κεφάλια ἄνθοις πορφυρίζοντα. G Μάλιστα δὲ φύεται ἐν πετρώδεσι καὶ λεπτογείοις τόποις.

Δύναμιν δὲ ἔχει πινόμενον μετὰ ἁλῶν καὶ ὄξους, ἄγειν φλεγματώδη κατὰ κοι-

De Mentha syluestri. Cap. XLII.

Syluestris Mentha, seu menthastrū, hirsutioribus est folijs, & prorsus maior sisymbrio: at odore magis viroso: quare minùs ad sanorum vsus idonea est.

De Calamintha. Cap. XLIII.

Ex Calaminthæ generibus quædam montibus familiaris, folia habet ocimi, incana, surculos & caules angulosos, ac florem purpureum. Altera pulegio similis est, sed maior, quam syluestre pulegium ideò vocarūt, quòd & odore ipsum æmuletur: hanc Latini nepetam vocitant. Tertia menthastro cognata est, folijs oblongioribus, caule & ramis quàm superiora genera maioribus: sed viribus inefficacior. Omnium folia gustu impensè feruentia & acria: radix superuacua. Nascitur in campestribus locis, asperis ac præhumidis. Siue pota, siue imposita, demorsis à serpente opitulatur. Sed & decoctum potu vrinas pellit: ruptis quoque, conuulsis, orthopnœæ, torminibus, choleræ ac rigori auxiliatur. Præsumpta in vino, venenis resistit, & regium morbum expurgat. Teretes lumbricos & ascaridas cum sale & melle pota, enecat: seu cocta, seu etiam cruda contrita fuerit. Elephanticos etiam esitata iuuat, si serum lactis superbiberint. Detrita folia in pesso subdita partus enecant & menses extrahunt. Eadem accensa & substrata, serpentes fugant. Porrò cicatricibus nigris etiam candorem reddit in vino cocta & imposita, ac sugillata quoque emendat. Ischiadicis itidem imponitur, vt humores ex alto euocet, summam cutem adurēs. Succus denique vermes aurium necat instillatus.

De Thymo. Cap. XLIIII.

Thymum ab omnibus cognoscitur, exiguus frutex, surculosus, exilibus folijs, multis & angustis circundatus, habens in cacumine floris capitula purpurascentia. Maximè verò petroso tenuique solo nascitur. Potum cum sale & aceto, vim habet pituitā per aluum de-

trahendi. At eius decoctum cum melle orthopnoicis & anhelatoribus auxiliatur. Sed & lumbricos, menses, partus & secundas pellit. Vrinas quoque ciet. Cum melle verò in eclegmate sumptū, excreabilia pectoris vitia facit. Ex aceto autem impositum, œdemata recentia discutit, sanguinis grumos dissoluit, ac thymos pensiléisque verrucas tollit. Quin & ischiadicis cum vino & poléta impositum subuenit: hebetiore oculorum acie præditis in cibo confert. Est denique pro condimento ad sanorum vsus perquàm vtile.

De Thymbra. Cap. XLV.

THYMBRA quoque nota est: quippe quæ gignitur in tenui solo, asperísque locis, thymo similis, at minor tamen ac tenerior, spicam ferens florum plenam, virentem. Eadem potest quæ thymum, si modo simili assumatur, atque itidem sanorum vsui apta est. Est & satiua quædam satureia, syluestri ad omnia inefficacior: quæ tamen propter mitiorem acrimoniam commodiùs in cibos recipitur.

De Serpyllo. Cap. XLVI.

SERPYLLVM est quoddā hortense, quod quidem odore sampsuchum imitatur, & in coronas addi solet: ita dictum à serpendo, quòd radicetur quacunq; sui parte terrā attingat. Habet autē folia & ramulos origani, verùm coloris cādidioris, & è macerijs demissum longiùs latiúsque propagatur. Alterum syluestre, quod etiam zygis appellatur, minimè serpit: at in altum assurgens ramulos edit tenues ac surculosos, folijs rutæ similibus refertos, verùm vtcunque angustis, longioribus atque durioribus. Flores gustanti acres, iucundi odoris: radix nullius vsus. Nascitur in petris efficacius, magísque excalfaciens, & ad medendi vsum aptius, quàm sit hortēse. Potum siquidem mēses trahit, vrinámq; ciet. Tormínib', ruptis, cōuulsis & iocineris inflāmationibus auxiliatur. Est & efficax aduersus serpētes, tum potum, tum & impositum. Decoctū in aceto, capitis dolorem adiecto rosaceo lenit, si modò in caput irrigetur:

A λίαν. τὸ δὲ ἀφέψημα αὐτοῦ μετὰ μέλιτος ὀρθοπνοϊκοῖς καὶ ἀσθματικοῖς βοηθεῖ· ἕλμινθάς τε ἐξάγει, καὶ ἔμμηνα, καὶ ἔμβρυα, καὶ δεύτερα· ἔστι δὲ καὶ οὐρητικόν· μιγνύμενον δὲ μέλιτι καὶ ἐκλειχθὲν, εὐανάγωγα τὰ ἐκ θώρακος *ποιεῖ· διαφορεῖ δὲ οἰδήματα πρόσφατα, καταπλασθὲν μετ' ὄξους· αἵ- V. in marg. ἀφελεῖ καὶ παλαιγενεῖς λευκότητας μετ' ὀξυμέλιτος, καὶ ἰσχιαδικοῖς σὺν οἴνῳ.
B ματος θρόμβους διαλύει, καὶ θύμους καὶ ἀκροχορδόνας αἴρει· καὶ ἰσχιαδικοῖς μετ' οἴνου καὶ ἀλφίτων ἐπιτεθὲν ἁρμόζει· ἀμβλυωποῦντας ἐσθιόμενον σὺν τροφῇ ὠφελεῖ. εὔχρηστον δὲ καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν ἀντὶ *ἀρτύματος.

Περὶ Θύμβρας. Κεφ. με'.

V. Epit. ex Crateua alicunde πλὴν μέν τοι τῷ μακαρι μα χολ. φθαρτικὰς γὰρ καὶ χολὰς γλυτικάς, ἀλλὰ τῷ ἴσχειν αἰδοῖς ἐμπορρουμένῳ φύσει, λευκαῖς δὲ τι ἴσχει πλέον.

C ΘΥΜΒΡΑ, καὶ αὐτὴ γνώριμος· γεννωμένη ἐν λεπτογείοις, καὶ τραχέσι τόποις, ὁμοία θύμῳ, ἐλάσσων μέντοι καὶ ἁπαλωτέρα, φέρουσα στάχυν ἀνθοῦς μεστὸν, ἔγχλωρον. δύναται δὲ τὰ αὐτὰ τῷ θύμῳ, ὁμοίως λαμβανομένη. καὶ πρὸς τὴν ἐν ὑγείᾳ χρῆσιν εὐθετεῖ. γίνεται δὲ καὶ σπαρτὴ
D θύμβρα, κατὰ πάντα τῆς ἀγρίας ἐλάσσων, εὐχρηστοτέρα δὲ πρὸς βρῶσιν, διὰ τὸ μὴ ἐπιτετάσθαι τὴν δριμύτητα.

Περὶ Ἑρπύλλου. Κεφ. μϛ'.

ΕΡΠΥΛΛΟΣ ὁ μέν τίς ἐστι κηπευτὸς, σαμψυχίζων τῇ ὀσμῇ, καὶ στεφανωματικός. ὠνόμασται δὲ ἀπὸ τοῦ ἕρπειν τε καὶ ὅτι
E ἂν αὐτοῦ μέρος θίγῃ τῆς γῆς ῥιζοβολεῖν. ἔχει δὲ φύλλα καὶ κλωνία ὀριγάνῳ ἐμφερῆ, πλὴν λευκότερα. *ἀπὸ δὲ αἱμασιῶν καθιέμενος, εὐαυξέστερος γίνεται. Ὁ δέ τις ἐστὶν ἄγριος, *ὃς καὶ ζυγὶς καλεῖται. οὐχ ἕρπων, ἀλλ' ὀρθὸς κλωνία ἀνιεὶς λεπτὰ, φρυγανώδη, *φύλλων *περίπλεα ὁμοίων Matt. legendum putat ἐπί. V. tātum ἄγριος καλεῖ.
F *πηγάνῳ. ὑπόστενα δὲ ἐστὶ καὶ ἐπιμηκέστερα, καὶ σκληρότερα· ἄνθη γευομένῳ δριμέα, ὀσμὴ *ἡδεῖα· ῥίζα ἄχρηστος. φύεται δὲ ἐν πέτραις ἐνεργέστερος καὶ θερμαντικώτερος τοῦ κηπευτοῦ ὑπάρχων, καὶ πρὸς τὴν ἰατρικὴν χρῆσιν ἐπιτηδειότερος. *ἔμμηνα γὰρ ἄγει, καὶ οὖρα κινεῖ πινόμενος· ὠφελεῖ στρό- V. φύλλα περίπλεα: alius cod. περιπλέον, ὁμοιὰ πηγ. Sunt qui legant πηγείῳ Al. ἀρίστῳ V. καὶ ἔμμηνα δὲ παρεῖ. V. caret.
G φους, ῥήγματα, *σπάσματα, ἥπατος φλεγμονάς· καὶ πρὸς ἑρπετὰ πινόμενός τε καὶ καταπλασσόμενος· κεφαλῆς τε ὀδύνην παραμυθεῖται ἑψηθεὶς, *ῥοδίνου μιγέντος αὐτῷ

σὺν ὄξει καὶ καταβραχείς. μάλιστα δὲ ἐπὶ ληθάργου καὶ φρενίτιδος ἁρμόζει. παύει δὲ καὶ ἔμετον αἵματος < δ΄. πλῆθος μεθ' ὄξους ποθεὶς ὁ χυλὸς αὐτοῦ.

In vet. cod. teste Goupylo inuenitur hoc loco caput περὶ ἡδυόσμου his verbis.

Περὶ Σαμψύχου. Κεφ. μζ΄.

ΣΑΜΨΥΧΟΝ κράτιστον τὸ Κυζικηνὸν καὶ Κύπριον· δευτερεύει δὲ τούτου τὸ Αἰγύπτιον. καλεῖται δὲ ὑπὸ Κυζικηνῶν καὶ τῶν ἐν Σικελίᾳ ἀμάρακον. πόα δέ ἐστι πολύκλωνος, ἕρπουσα ἐπὶ τῆς γῆς· φύλλα δασέα καὶ περιφερῆ ἔχουσα, ὅμοια τῷ λεπτοφύλλου καλαμίνθης, σφόδρα εὐώδης, καὶ θερμαντική, πλεκομένη καὶ εἰς στεφάνους. Ἁρμόζει δὲ τὸ ἀφέψημα αὐτῆς πινόμενον ἐπὶ ἀρχομένων ὑδρωπικῶν, καὶ δυσουρούντων καὶ στροφουμένων. ξηρὰ δὲ τὰ φύλλα ἐπιπλασθέντα μετὰ μέλιτος, αἴρει ὑπώπια· καὶ ἔμμηνα ἄγει ἐν προσθέτῳ. πρὸς δὲ σκορπίου πληγὴν μετὰ ἁλῶν καὶ ὄξους καταπλάσσεται· πρὸς δὲ στρέμματα μετὰ κηρωτῆς ἀναληφθέντα ἐπιτίθεται· καὶ πρὸς οἰδήματα ὁμοίως ἀναληφθέντα κηρωτῇ· καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς καταπλάσσεται μετὰ παιπάλης ἀλφίτου. μίγνυται δὲ καὶ ἀκόποις καὶ μαλάγμασι πρὸς τὸ θερμαίνειν.

Quidam, [illegible]

Περὶ Μελιλώτου. Κεφ. μη΄.

ΜΕΛΙΛΩΤΟΣ, κράτιστος ὁ Ἀττικὸς καὶ ὁ ἐν Κυζίκῳ, καὶ ὁ ἐν Χαλκηδόνι γεννώμενος· κροκίζων καὶ εὐώδης. φύεται δὲ καὶ ἐν Καμπανίᾳ περὶ Νῶλαν, μηλίζων καὶ ἄτονος κατὰ τὴν εὐωδίαν. Δύναμιν δὲ ἔχει στυπτικήν, μαλακτικὴν πάσης φλεγμονῆς, μάλιστα δὲ τῆς περὶ ὀφθαλμοὺς καὶ μήτραν, καὶ δακτύλιον, καὶ διδύμους, μετὰ γλυκέος ἑψηθεὶς καὶ καταπλασθείς· ἐνίοτε δὲ καὶ ᾠοῦ λεκύθου ὀπτῆς προσμιγείσης, ἢ τήλεως ἀλεύρου, ἢ λινοσπέρμου, ἢ γύρεως ἢ κωδιῶν, ἢ σέρεως. θεραπεύει καὶ μελικηρίδας προσφάτους καθ' ἑαυτὸν ἐν ὕδατι, καὶ ἀχῶρας σὺν γῇ Χίᾳ καὶ οἴνῳ ἢ κηκίδι καταχριόμενος· ἀλγήματά τε στομάχου μετ' οἴνου ἑφθὸς καὶ ὠμὸς σύν τινι τῶν προειρημένων· καὶ ὠταλγίας παύει σὺν γλυκεῖ ὠμὸς χυλισθεὶς καὶ ἐνσταζόμενος· καὶ κεφαλαλγίαν παύει ἐμβρεχόμενος μετ' ὄξους καὶ ῥοδίνου.

V. margo: ὠμοῦ addit.

A maximè verò in lethargo ac phrenitide conuenit. Cæterùm cruentam vomitionem sedat succus drachmis quatuor ex aceto potus.

De Sampsucho. Cap. XLVII.

SAMPSUCHUM in Cyzico ac Cypro laudatissimum: secundum ab hoc locum sibi vendicat Ægy-
B ptium. Vocatur autem à Cyzicenis & Siculis amaracum. Herba est ramosa, per terram repens, folijs hirsutis ac rotundis, tenuioris folij calaminthæ æmulis, vehementer odorata & excalfaciens: nexilibúsque coronis inseritur. Decoctum ipsius potu incipientibus hydropicis vtile, vt & ijs quos vrinæ diffi-
C cultas aut tormina excruciát. Illita ex melle árida folia sugillata tollunt: mensésque subdita in pesso trahunt. Contra scorpionis ictum ex aceto & sale illinuntur. Luxatis autem cerato excepta imponuntur, itémque œdematis cerato similiter excepta. Sed & ad oculorum inflammationes cum polline
D polentæ illinuntur. Cæterùm acopis & malagmatis excalfaciendi gratia commiscentur.

De Meliloto, seu sertula Campana. Cap. XLVIII.

SERTULA Campana laudatissima, quæ in Attica, Cyzico & Chalcedone nascitur: quæ quidem
E croco similis odoratáque est. Nascitur & in Cápania circa Nolam, in luteum colorem vergens, & odore infirmo. Vim habet astringendi, inflammationémque omné emolliendi, præsertim oculorum, vuluæ sedis ac testium, si ex passo decocta imponatur: addito interdum oui luteo assato, aut fœnigræ-
F ci farina, lini semine aut tritici polline, aut denique capitulis papaueris, intybóve. Sanat & recentes meliceridas per se cum aqua, & vlcera manantia in capite cũ terra Chia & vino aut galla inuncta. Stomachi dolorem in vino decocta, itémque cruda cum aliquo ex antedictis
G leuat. Dolores etiam aurium cum passo mitigat succus ex ipsa cruda expressus & instillatus. Denique capitis doloré ex aceto & rosaceo irrigatus lenit.

De Maro.

De Maro. Cap. XLIX.

MARVM seu hysobrium, herba vulgo cognita, surculosa, flore origani, attamen folijs multò candidioribus ac flore odoratiore. Vim habet sisymbrio consimilem: siquidem subastringit & modicè calfacit. Qua de causa nomas sistit impositum, & in calidas perunctiones additur. Iuxta Magnesiam & Tralleis copiosissimum gignitur.

De Acino. Cap. L.

ACINVS seu aconus, herba est gracili surculo, coronaria, ocimo similis, sed hirsutior atque odorata. Apud nonnullos etiam in hortis seritur. Aluum mensésque pota sistit: ac panos & erysipelata imposita sanat.

De Bacchare. Cap. LI.

BACCHARIS herba est fruticosa, odorata: ex qua itidem coronæ factitantur. Huius folia aspera, magnitudine inter violam & verbascũ media: caulis angulosus, cubiti petens altitudinem, aliquantulum asper, nec sine adnatis appẽdicibus: flores purpurei, subalbicantes & odorati: radices veratro nigro similes, quibus odor est cinnamomo proximus. Solum amat asperũ miniméque humidum. Radix in aqua decocta conuulsis, ruptis, euersis seu ex alto præcipitatis, spirandi difficultati, tussi veteri ac vrinæ difficili auxiliatur. Menses quoque pellit, & contra serpentium morsus vtiliter ex vino propinatur. Subdita vnica è tenellis radicibus partus extrahit. Decoctum verò puerperis insidentibus vtile. Vtiliter quoque in diapasmata inseritur, quippe quæ magnam habeat odoris gratiã. Folia, vtpote quæ astringant, capitis doloribus adhibita prosunt, itémque aurium inflammationi, ægilopis incipientibus, & mammis à partu inflãmatis atque etiam erysipelatis. Cęterùm & ipse odor somnum gignit.

De Ruta. Cap. LII.

RVTA montana & syluestris, satiua & hortensi acrior est, & in cibis damnata. Est autem in hortensis genere aptior esui, quæ iuxta ficos prouenit. Vtrunque porrò genus vrendi vim habet, calfacit, exulcerat, vrinam ciet, menses ducit,

A Περὶ Μάρου. Κεφ. μθ'.

ΜΑΡΟΝ, ἢ ὑσσώβειον, πόα γνώριμος, φρυγανώδης, ὁμοία τῇ αὐτῇ ὀριγάνῳ. τὰ μέντοι φύλλα τούτου λευκότερα πολλῷ, καὶ τὸ ἄνθος εὐωδέστερον. Ἔχει δὲ δύναμιν ὁμοίαν σισυμβρίῳ, ὑπόστυφον δέ ἐστι, θερμαῖνον ἠρέμα. ὅθεν νομάς τε ἵστησι καταπλασσόμενον, καὶ εἰς τὰ θερμὰ τῶν συγχρισμάτων μίγνυται. γεννᾶται δὲ καὶ κατὰ Μαγνησίαν καὶ Τράλλεις πλεῖστον.

In quibusdã codicibus hoc caput desideratur: ac Ruellius quoque Dioscoridis historiæ accreuisse suspicatur. V. αἱ δὲ ἰσόβρυον, αἱ δὲ ὀριγανίδα. Marc ὑσσώβειον. V. [illegible]. Sic Orib.

Περὶ Ἀκίνου. Κεφ. ν'.

ΑΚΙΝΟΣ, ἢ ἄκονος, πόα ἐστὶ λεπτόκαρφος, στεφανωματική, παραπλησία ὠκίμῳ, δασυτέρα δὲ καὶ εὐώδης. παρ' C ἐνίοις δὲ καὶ κηπεύεται. ἵστησι δὲ κοιλίαν καὶ ἔμμηνα πινομένη· φύγεθλά τε καὶ ἐρυσιπέλατα καταπλασσομένη ἰᾶται.

V. add. Ῥωμαῖοι ὀκίμαστρον.

Περὶ Βακχάρεως. Κεφ. να'.

ΒΑΚΧΑΡΙΣ βοτάνη ἐστὶ θαμνώδης, εὐώδης δὲ στεφανωματική. ἧς τὰ φύλλα τραχέα, μέγεθος ἔχοντα μεταξὺ ἴου καὶ φλόμου· D καυλὸς δὲ γωνιώδης, πήχεως τὸ ὕψος, ὑπότραχυς, ἔχων παραφυάδας· ἄνθη δὲ ἐμπόρφυρα, ὑπόλευκα, εὐώδη· ῥίζαι δὲ ὅμοιαι τῇ τοῦ μέλανος ἐλλεβόρου, ἐοικυῖαι τῇ ὀσμῇ κινναμώμῳ. φιλεῖ δὲ τραχέα χωρία καὶ αὐχμηρά. Ταύτης ἡ ῥίζα ἑψηθεῖσα ἐν ὕδατι, βοηθεῖ σπάσμασι, ῥήγμασι, πτώ- E μασι, δυσπνοίαις, βηχὶ χρονίᾳ, δυσουρίᾳ. ἄγει δὲ καὶ ἔμμηνα· ἔστι δὲ θηριοδήκτοις χρησίμως σὺν οἴνῳ διδομένη. προστεθεῖσα δὲ μία τῶν ἁπαλῶν ῥιζῶν, ἕλκει ἔμβρυα· τῶν τε λεχοῖς εἰς ἐγκάθισμα τὸ ἀφέψημα αὐτῆς ἁρμόζει· καὶ εἰς διαπάσματα χρησιμεύει, ἰσχυρὰν ἔχουσα τὴν εὐωδίαν. τὰ δὲ φύλλα στυπτικὰ F ὄντα, καταπλασσόμενα ὠφελεῖ κεφαλαλγίας, ὀφθαλμῶν φλεγμονὴν, καὶ αἰγίλωπα ἀρχόμενον, καὶ μαστοὺς ἐκ τόκων φλεγμαίνοντας, καὶ ἐρυσιπέλατα. ἔστι δὲ καὶ ὑπνοποιὸς ἡ ὀσμή.

Deest in vulg. exemp. V. quid. ὡς βακχαρίς. Al. ἀμπέλου. Matth. suspicatur legendum παραφυλλάδας. Cat. addit λεπτά. V. quidam addit ἀσαρίφ ἢ. V. addit, κεφαλαλγίαις.

Περὶ Πηγάνου. Κεφ. νβ'.

ΠΗΓΑΝΟΝ ὀρεινὸν δὲ ἄγριον, τοῦ ἡμέρου καὶ κηπευτοῦ δριμύτερον, δὲ ἄ- G θετον πρὸς βρῶσιν. τοῦ δὲ κηπευτοῦ ἐδωδιμώτερον τὸ παρὰ ταῖς συκαῖς φυόμενον. Ἀμφότερα δὲ καυστικὰ, θερμαντικὰ, ἑλκωτικὰ, οὐρητικὰ, ἐμμηνίων ἀγωγὰ,

A ἐσθιόμενα τε, καὶ πινόμενα, χιλίας ἰσχῶσι. καὶ τῶν φθαρτικῶν φαρμάκων ἐστὶν ἀντίδοτος, ὅσον ὀξυβάφου τοῦ σπέρματος ποθέντος ἐν οἴνῳ. καὶ προβρωθέντα δὲ τὰ φύλλα καθ' ἑαυτὰ, καὶ μετὰ καρύων βασιλικῶν καὶ σύκων ξηρῶν, ἄπρακτα καθίστησι τὰ θανάσιμα. καὶ πρὸς ἑρπετὰ ἁρμόζει ὁμοίως λαμβανόμενα· γονήν τε σβέννυσιν ἐσθιόμενον, καὶ πινόμενον· ἑψηθὲν δὲ σὺν ἀνήθῳ ξηρῷ καὶ ποθὲν, στρόφους παύει. ποιεῖ δὲ καὶ πρὸς πλευρᾶς πόνον καὶ θώρακος, δύσπνοιαν, βῆχας, περιπνευμονίαν, ἀλγήματα ἰσχίων, ἄρθρων, ῥίγη περιοδικὰ πινόμενον ὡς προείρηται. καὶ πρὸς ἐμπνευματώσεις δὲ κώλου καὶ ὑστέρας καὶ ἀπευθυσμένου σὺν ἐλαίῳ ἑψηθὲν καὶ ἐνεθέν. πνίγας τε ὑστερικὰς λεῖον μετὰ μέλιτος κατὰ τοῦ αἰδοίου ἄχρι δακτυλίου ἐπιτεθὲν θεραπεύεται. ἀναζεσθὲν δὲ σὺν ἐλαίῳ καὶ ποθὲν, ἕλμινθας ἐκτινάσσει. καταπλάσσεται δὲ καὶ πρὸς ἀρθρῶν ἀλγήματα σὺν μέλιτι· σὺν δὲ σύκῳ πρὸς ὕδρωπας ὑποσαρκίους. καὶ πινόμενον δὲ βοηθεῖ τούτοις, καὶ καθεψηθὲν ἐν οἴνῳ ἄχρις ἡμίσους καὶ περισμηχόμενον. ἔστι δὲ καὶ ὀξυωπὲς ἐσθιόμενον ὠμὸν καὶ ταριχευτὸν· καὶ τὰς ἐν ὀφθαλμοῖς περιωδυνίας σὺν ἀλφίτῳ καταπλασθὲν πραΰνει. σὺν ῥοδίνῳ δὲ καὶ ὄξει κεφαλαλγοῦσι βοηθεῖ, καὶ αἱμορραγίας τὰς ἐκ τῶν μυκτήρων λεῖον ἐπιτεθὲν ἵστησι, τὰς δὲ τῶν διδύμων φλεγμονὰς σὺν δάφνης φύλλοις καταπλασθὲν ὠφελεῖ, καὶ τὰ ἐξανθήματα σὺν μυρσινίνῃ κηρωτῇ. σὺν οἴνῳ δὲ καὶ πεπέρει καὶ νίτρῳ περισμώμενον, λευκὴν ἀλφὸν ἰᾶται. καὶ καταπλασθὲν δὲ μετὰ τῶν αὐτῶν, θύμους καὶ μυρμηκίας αἴρει. ὠφελεῖ καὶ λειχῆνας σὺν μέλιτι καὶ στυπτηρίᾳ ἐπιτιθέμενον. ὁ δὲ χυλὸς ποιεῖ πρὸς ὠταλγίας ἐν σιδίῳ θερμαινόμενος καὶ ἐγχεόμενος· καὶ ἀμβλυωπίαις βοηθεῖ μετὰ μαράθου χυλοῦ καὶ μέλιτος ἐγχριόμενος· ἐρυσιπέλατά τε καὶ ἕρπητας καὶ ἀχῶρας σὺν ὄξει καὶ ψιμυθίῳ καὶ ῥοδίνῳ καταχριόμενος ἰᾶται· τάς τε ἀπὸ σκορόδων καὶ κρομ-

Margo add. καὶ ἄρθρων καὶ τῶν γονάτων ἀλγήματα καὶ οἰδήματα ... Id. ... tamen postea repetere videtur, vbi cum melle emplastrū facit.

Hæc vsque ad ἀναζεσθὲν in v. cod. desiderantur.

V. caret.

Sic Matth. codex at vulg. exempl. μυρσίνῃ καὶ κηρωτῇ

Hæc vsque ad λευκὴν desiderātur in v. cod.

Al. [illegible] V. caret vsque ad ἐγχεόμενος.

V. caret

ac tum cibo tum etiam potu aluum sistit. Semen acetabuli mensura è vino bibitum contra lethalia medicamenta est pro antidoto. Quin & folia per se præsumpta aut cum nucibus iuglandibus aridisve ficis, venena irrita & inefficacia reddunt. Sed & simili sumpta modo contra serpentium ictus valent: geniturá
B seu esitata seu bibita ruta extinguit: decocta verò cum anetho sicco tormina potu sedat. Facit & ad pectoris laterúmque dolores, spirandi difficultatem, tusses, pulmonis inflammationem, coxendicum articulorúmque cruciatus, & rigores febrium circuitu repetentes, pota velut antè dictum est. Item ad in-
C flationes coli, vuluę, rectique intestini, cum oleo decocta & infusa. Vuluæ etiamnum strangulatui medetur, si trita cum melle genitali sede tenus imponatur. Feruefacta ex oleo & pota lumbricos expellit. Sed & articularijs doloribus, ex melle: & aquæ subter cutem fusæ morbo cum ficu-
D bus adhibetur. His ijsdem in potu auxiliatur, itémque decocta in vino ad dimidias partes & affricta. Cruda quoque conditáque in cibo aciem oculorum excitat: quin & oculorum dolores, imposita cum polenta lenit. Caput dolentibus cum rosaceo & aceto succurrit, ac profluentem naribus san-
E guinem sistit trita & indita. Testium inflammationibus cum laureis folijs imposita, & papularum eruptionibus cum myrteo cerato prodest. Cum vino autem pipere ac nitro affricta, vitiligini albæ medetur, & cum ijsdem illita thymos ac myrmecias tollit. Contra impetigi-
F nes cum melle & alumine vtiliter imponitur. Succus verò in mali punici calyce calfactus, aurium doloribus efficaciter infunditur. Opitulatur & aciei oculorum hebetiori, si additis fœniculi succo ac melle oculi ipsi eo inungantur. Erysipelata, herpetas & vlcera in capite manātia cum aceto cerussa & rosaceo,
G inunctione sanat. Ipsa verò ruta alliorum cęparúmque grauem ha-

litum emendat, si posteà commanducetur. At montana si copiosius estur, interficit. Atque si sub id tempus quo florere incipit, ad muriæ cõditurã colligatur, cutem rubefacit, ac inflat, cum pruritu ac vehemẽti inflammatione. Eá itaque vnctis antea manibus & facie colligere oportet. Tradunt & succum gallinaceis pullis inspersum, feles arcere. Adiiciunt verò, eam quæ iuxta flumen Haliacmonem in Macedonia gignitur, comedẽtes interimere. Montosus autem is locus est ac viperis abundat. At illius semen epotum contra interaneorum vitia est efficax: ideóque antidotis vtiliter immiscetur. Contra incontinẽtiam vrinæ, tostum, septenis diebus potui dato, & cessabit. Cæterùm radix huius montanum moly vocitatur. Syluestris itaq; ruta satiuæ quodammodo similis est. Ac pota prodest comitialibus & ischiadicis: mẽstrua quoque mouet, ac partus enecat. Acrior verò est quàm satiua & maioris efficaciæ. Attamen syluestrem cibis abdicare oportet, quippe quæ veneni noxiam obtineat.

De Ruta syluestri. Cap. LIII.

Vocant etiamnum syluestrẽ rutã, quod in Cappadocia & Galatia Asiatica moly dicitur. Frutex est ab vna radice complures virgas proferens: folijs multò quàm alterius rutæ longioribus ac tenerioribus, iísque graueolentibus, flore candido, capitulis in cacumine paulò quàm satiuæ rutæ maioribus: quę quidem tribus maximè partibus constant: in quibus triquetrũ semen subfuluũ gustúque perquàm amarum reconditur, cuius etiam est vsus. Id autumno maturescit, túmque conuenit ad retusam oculorum aciem, si cum melle, vino, gallinaceo felle, croco ac fœniculi succo teratur. Sunt qui rutam hanc Harmala vocent, Syri Besasa, Cappadoces Moly, quoniam quandam cum Moly seruet similitudinem: siquidem radice nigra est, flore verò candido. In collibus ac læto fœcundóque solo prouenit.

A μύων δριμύτητα, παύει ἐπιμασση-
θέν. τὸ δὲ ὀρεινὸν πολὺ βρωθὲν, κτείνει.
ὑπὸ δὲ τὴν ἄνθησιν εἰς τὰς ἁλμείας
συλλεγόμενον, φοινίσσει, καὶ φυσᾷ τὸν
χρῶτα, σὺν κνησμῷ καὶ φλεγμονῇ σφο-
δρᾷ. δεῖ δὲ προαλειψαμένους τὸ πρόσω-
πον καὶ τὰς χεῖρας, οὕτω συλλέγειν. φασὶ V. caret.
B δὲ τὸν χυλὸν ἐπιρραθέντα ὀρνιθίοις, ἀπε- V. hæc periodo caret: aliter ὀρεῖ-
ρύκειν τοὺς αἰλούρους. τὸ δὲ ἐν Μακεδο- ται
νίᾳ φυόμενον περὶ τὸν Ἀλιάκμονα πο- V. ἄλυμον. Vulg. ὄλυμον.
ταμὸν ἀναιρεῖν φασὶ βρωθέν. ὀρεινὸς δὲ ὁ
τόπος ὑπάρχει καὶ ἐχιδνῶν πλήρης. τὸ Orib. [illegible]
δὲ σπέρμα αὐτοῦ πινόμενον, πρὸς τὰ ἐν-
τὸς ποιεῖ· καὶ ἀντιδότοις μίγνυται χρησί-
C μως· καὶ φρύξας δὲ τὸ σπέρμα αὐτοῦ, δὸς V. nil habet vsque ad finem
πίνειν ἐπὶ ἡμέρας ζʹ. τῷ ἐνουροῦντι, καὶ
παύσεται. ἡ δὲ ῥίζα αὐτοῦ λέγεται μῶλυ
ὀρεινόν. τὸ δὲ ἄγριον πήγανον ὅμοιον τῷ
ἡμέρῳ. πινόμενον δὲ ὠφελεῖ ἐπιληπτικοῖς
καὶ ἰσχιαδικοῖς· κινεῖ δὲ καὶ καταμήνια,
τὰ δὲ ἔμβρυα φθείρει. δριμύτερον δέ ἐστι
D τοῦ ἡμέρου, καὶ τῇ ἐνεργείᾳ δυνατώτε-
ρον. οὐ δεῖ δὲ τὴν * ἀγρίαν ἐσθίειν, διότι
ἐπιβλαβής ἐστι.

Περὶ Πηγάνου ἀγρίου. Κεφ. νγʹ.

Καλοῦσι δέ τινες Πήγανον ἄγριον, καὶ
τὸ ἐν τῇ Καππαδοκίᾳ, καὶ τὸ ἐν τῇ κα- Orib. [illegible]
τὰ τὴν Ἀσίαν Γαλατίᾳ λεγόμενον μῶ- V. μῶλυ
E λυ. ἔστι δὲ θάμνος ἀπὸ μιᾶς ῥίζης πλείο-
νας ῥάβδους ἀναφέρων ἔχων φύλλα μα-
κρότερα πολλῷ τοῦ ἄλλου πηγάνου καὶ
τρυφερώτερα, βαρύοσμα, ἄνθος λευκὸν,
ἐπ' ἄκρου τὰ κεφάλια ὀλίγῳ μείζονα τοῦ
ἡμέρου πηγάνου, ἐκ τριῶν μάλιστα με-
ρῶν συγκείμενα· ἐν οἷς σπέρμα τρίγω-
F νον, ὑπόκιρρον, πικρὸν μάλιστα πρὸς Orib. [illegible]
τὴν γεῦσιν, οὗ καὶ ἡ χρῆσις. φθινοπώρου
δὲ ἐκπεπαίνεται τὸ σπέρμα ἁρμόζον
πρὸς ἀμβλυωπίας, μετὰ μέλιτος λεαι-
νόμενον καὶ οἴνου καὶ χολῆς ὀρνιθείας,
κρόκου τε καὶ μαράθρου χυλοῦ. καλοῦσι
δέ τινες αὐτὸ Ἄρμαλα, Σύροι Βησασᾶ.
G Καππαδόκαι δὲ Μῶλυ, ἐπεὶ κατά τι προσ-
σώζει τὴν πρὸς τὸ Μῶλυ ἐμφέρειαν τῇ
ῥίζῃ μέλαιναν καὶ τῷ ἄνθει λευκὴν ὑπάρ-
χον. φύεται δὲ ἐν γεωλόφοις καὶ εὐγείοις χωρίοις.

Περὶ Μώλεως. Κεφ. νδ'. A

V quidam addit, ἢ λευκοΐου ἀγρίου, sed aliena sunt. Nonnulli cod. carent.
Al. γαλακτώδη.
V. λεπτόν. sic Orib. itemque Dodon. Plin. scapo est striato, vbi forsitan rectius legas stricto.
V ὑστέρας ἀναστομοῖ.
Vulg. exemp. ἰρίνου ἀλεύρου, al. ἰρ...

ΜΩΛΥ τὰ μὲν φύλλα ἔχει ἀγρώστει ὅμοια, πλατύτερα δὲ ἐπὶ γῆν ὄντα, ἄνθη λευκοΐοις ὅμοια, γαλακτόχροα, ἥσσονα δὲ πρὸς τὰ τῶν ἴων. καυλὸν δὲ λευκόν, πηχέων τεσσάρων· ἐπ' ἄκρου δὲ ἔπεστιν ὡς σκοροδῶδες. ἡ ῥίζα δὲ μικρά, βολβοειδής, αὕτη σφόδρα ἀγαθὴ πρὸς ὑστέρας ἀναστομώσεις τετριμμένη μετ' *αἰρίνου ἀλεύρου καὶ προστιθεμένη ἐν πεσσῷ. B

De Moly. Cap. LIIII.

MOLY folia habet graminis, at latiora & humi sparsa: florē albæ violæ similem, lactei coloris, at minorem: quippe qui ad purpureæ violæ florum magnitudinem accedat: caulem verò tenuem, quaternûm cubitorum, in cuius cacumine quiddam est, quod allij speciem referat. Radix parua, bulbo similis, quæ ad apertas vuluas mirū in modum valet, si trita cum loliacea farina in pesso subiiciatur.

Περὶ Πάνακος. Κεφ. νε'.

V inseritur δὲ.
V ψωφῖδι
V. margo εἰσιν
Al. ἐχόντα χνοῦν, aliis χνοώδη ἐν ταῖς. al. λευκόν
V. μικρότερα
V delet neque habetur apud Orib.
V. inseritur ὡς ἄνθος
V. κροκίζει.
V. φύλλα προϋποθέντες εἰς κεκοιλασμένον ἔδαφος τόπον.
Orib. πικρότατος
V. delet.
V. εὔτηκτος.
V. μαλακός.

ΠΑΝΑΚΕΣ Ἡράκλειον, ἐξ οὗ ὁ ὀποπάναξ συλλέγεται· πλεῖστον γεννᾶται ἐν Βοιωτίᾳ καὶ ἐν Ψωφῖδι τῆς Ἀρκαδίας, ὥστε καὶ ἐπιτηδεύεσθαι διὰ τὴν ἐκ τοῦ ὀποῦ πρόσοδον. φύλλα δὲ ἔχει τραχέα, χαμαιπετῆ, χλωρὰ σφόδρα, πρὸς τὰ τῆς συκῆς, ἐν τῇ περιφερείᾳ ἐπεσχισμένα πενταμερῶς. καυλὸν δὲ ὥσπερ νάρθηκος ὑψηλότατον, ἔχοντα χνοῦν λευκόν, καὶ φύλλα περὶ αὐτὸν μικρότερα, σκιάδιον δὲ ἐπ' ἄκρου ὡς ἀνήθου μακρόν, ἄνθος δὲ μήλινον, σπέρμα εὐῶδες καὶ πυρωτικόν, ῥίζας πλείονας ἐκ μιᾶς ἀρχῆς, λευκάς, βαρυόσμους, παχὺν ἐχούσας τὸν φλοιόν, ὑπόπικρον τῇ γεύσει. φύεται δὲ ἐν Κυρήνῃ τῆς Λιβύης καὶ ἐν Μακεδονίᾳ. ὀπίζεται δὲ ἡ ῥίζα, ἐπιτεμνομένων ἀρτιβλαστῶν τῶν καυλῶν. ἀνίησι δὲ λευκὸν ὀπόν, ὃς ξηρανθεὶς κατὰ τὴν ἐπιφάνειαν κροκίζει. δέχονται δὲ τὸ ῥέον εἰς φύλλα προϋποθέντες εἰς κεκοιλασμένον ἔδαφος, ἀναιροῦνται δὲ ξηρανθέντα. ὀπίζουσι δὲ καὶ τὸν καυλὸν ἐπιτέμνοντες εἰς τὸν θερισμόν, ὁμοίως δεχόμενοι τὸ ἀπορρέον. εἰσὶ δὲ τῶν ῥιζῶν βελτίους αἱ τεταμέναι, καὶ λευκαί, καὶ ξηραί, ἄβρωτοί τε καὶ πυρώδεις ἐν τῇ γεύσει, καὶ ἀρωματίζουσαι. καρπὸς δὲ εὔθετος ὁ ἐκ μέσου τοῦ νάρθηκος. ὁ γὰρ ἐκ τῶν παραφυάδων ἐστὶ ἀτροφώτερος. τοῦ δὲ ὀποῦ διαφέρει ὁ πικρότατος τῇ γεύσει, ἔνδοθεν μὲν λευκὸς ἢ ὑπόκιρρος, *ὁ ἔξωθεν δὲ κροκίζων, λεῖος, λιπαρός, *εὔθρυπτος, *εὔτηκτος, ταχέως δὲ διϊέμενος, βαρύοσμος. ὁ δὲ μέλας φαῦλος καὶ *μαλακός. δολοῦται γὰρ ἀμμωνιακῷ, ἢ κηρῷ

C D E F G

De Panace. Cap. LV.

PANACES Heracleum, ex quo opopanax colligitur, plurimum in Bœotia & *Psophide Arcadiæ nascitur. Sed & quęstus gratia qui quidē ex eo liquore factitatur, in hortis studiosè colitur. Folijs est asperis in terra iacētibus, virētibus, & multū ad ficulnea accedentibus, in ambitu quinq; partitò diuisis: caule verò vti ferulæ altissimo, alba lanugine obducto, foliísque stipato minutioribus, vmbella in cacumine ceu *anethi oblonga: flore autem luteo, ac semine odorato, vrendíq; vi prędito: radicibus denique ab vna origine compluribus iisque candidis, graueolentibus, crasso & subamari gustus cortice præditis. Nascitur in Cyrene Libyæ & Macedonia. Excipitur porrò liquor incisa radice, dú cauliculi recens adhuc pullulát, ísq; cádidus, qui quidē exiccatus superficie tenus croceum colorē contrahit. Effluentē verò liquorē illū substratis in excauato solo foliis excipiút, ac vbi exiccatus fuerit eximút. Simili quoque modo caule messib' inciso profluentē liquorē excipiút. Meliores è radicibus quæ distentæ sunt ac minimè rugosæ, albæ, aridæ, neutiquá cariosæ, gustu verò feruētes, & aromaticæ. Semen è media ferula idoneū: quod verò ex agnatis coliculis decerpitur minùs succulentum est. Præstat autem in liquoris genere, qui gustu est amarissimus: intus candidus aut subfuluus, foris verò ad croci colorem inclinans, læuis, pinguis, friabilis, quíque statim diluitur, estq; graueolens. At niger ac mollis improbatur. ammoniaco enim aut cera adulteratur,

vel Psobidi
vel ferulæ

Sed sincerus ac fraudis expers eo indicio deprehenditur, quòd digitis in aqua confricatus resoluatur atque lactescat. Vis ei excalfaciens, emolliens & attenuans: quamobrē febrium circuitibus rigoribúsq;, cōuulsis, ruptis, lateris doloribus, tussi, torminibus, vrinę stillicidio ac vesicæ scabiei conuenit, ex aqua mulsa aut vino bibitus. Menses trahit, fœtus enecat, vuluæ inflationes, duritiásque ex melle dilutus discutit. Ischiadi quoque illinitur, & cephalicis medicaminibus admiscetur. Carbunculos etiam circumquaque rumpit: podagricis cum vua passa illitus subuenit: dolores dentium demulcet ipsorum cauis inditus: & oculorum aciē inunctus excitat. Denique si pici admisceatur, emplastrum parabitur contra canis rabidi morsus præstantissimum. Radix autem derasa & vuluæ subdita partus extrahit, ad vlcera vetusta efficax est, ac etiamnum ossa nudata carne operit, si trita inspergatur aut cum melle illinatur. Semen verò cū absinthio sumptum menses ciet. Cum aristolochia prodest aduersus bestias quæ venenum eiaculantur, & contra vuluæ strangulatus in vino bibitum.

De Panace Asclepio. Cap. LVI.

Panaces Æsculapij caulem à terra emittit tenuem, cubitalem, geniculatum, circa quem folia visuntur fœniculi, maiora tamē hirsutioráq;, odorata. Et in cacumine vmbella, in qua flores emicant aurei, acres, & odorati. Radix est parua. Auxiliarem vim habent flores ac semina contra vlcera panos & phagedænā, si trita cum melle imponantur: aduersus serpentes ex vino bibuntur, & cum oleo illinuntur. Aliqui panaces quoque syluestre origanum vocant, alij cunilam: de qua capite de origano dictum est.

De Panace Chironio. Cap. LVII.

Panaces Chironium in Pelio mōte maximè prouenit: folijs est amaraco similibus, floribus aureis,

A δοκιμάζεται δὲ ὕδατι διατριβόμενος
τοῖς δακτύλοις· ὁ γὰρ ἄδολος ἀνίεται καὶ
γαλακτοῦται. Δύναμις δὲ αὐτοῦ ἐστι
θερμαντική, μαλακτική, λεπτυντική· ὅ-
θεν ἁρμόζει πρὸς περιόδους καὶ ῥίγη,
σπάσματα, ῥήγματα, πλευρᾶς ἀλγήμα-
τα, βῆχας, στρόφους, στραγγουρίας, ψώρας
B τὰς ἐν κύστει, σὺν μελικράτῳ ἢ οἴνῳ [πι-] V.caret
τιζόμενος· ἔμμηνά τε ἄγει, καὶ ἔμβρυα
φθείρει, καὶ ἐμπνευματώσεις τὰς ἐν ὑστέ-
ρα, καὶ σκληρίας διαφορεῖ, σὺν μέλιτι ἀ-
νεθείς· ἔστι δὲ καὶ σύγχρισμα ἰσχιάδος· μί-
γνυται δὲ καὶ ἀκόποις καὶ κεφαλικαῖς
δυνάμεσι· περιρρήγνυσι δὲ καὶ ἄνθρακας,
C ἁρμόζει καὶ ποδαγρικοῖς μετὰ σταφίδος
ἡμέρου καταπλασσόμενος. παραιτεῖται
δὲ καὶ τὰ τῶν ὀδόντων ἀλγήματα, ἐντιθέ-
μενος τοῖς βρώμασιν· ὀφθαλμῶν τε ἐστὶ
ὀξυδερκὲς ἔγχρισμα. μιγεὶς δὲ πίσσῃ ἔμ- Vulg. ex ἀ' χεστι
πλαστρός ἐστι πρὸς τοὺς λυσσοδήκτους ἄ-
ριστον. καὶ ἡ ῥίζα δὲ ξυσθεῖσα καὶ προστεθεῖ-
D σα μήτρᾳ, ἄγει ἔμβρυα· πρός τε ἕλκη
τε τὰ παλαιά, καὶ τὰ ἐψιλωμένα τῶν ὀ-
στέων, σαρκοῖ, λεία * καταπλασσομένη καὶ
σὺν μέλιτι ἐγχριομένη. ὁ δὲ καρπὸς
αὐτοῦ σὺν ἀψινθίῳ ληφθεὶς ἄγει ἔμμη-
να· σὺν ἀριστολοχίᾳ δὲ πρὸς τὰ ἰοβόλα
ἁρμόζει, καὶ πρὸς τὰς ὑστερικὰς πνίγας,
E σὺν οἴνῳ ποτιζόμενος.

Περὶ Πάνακος Ἀσκληπιοῦ. Κεφ. νϛ'.

Πάνακες Ἀσκληπιοῦ ἀνίησιν ἀπὸ γῆς Alt. ἀσκλήπιο. Orib. ἀσκληπιεῖον ἢ χειρώνειον.
καυλὸν λεπτὸν, πηχυαῖον, γόνασι διειλημ-
μένον, περὶ ὃν τὰ φύλλα ὅμοια μαράθρῳ,
μείζονα δὲ, καὶ δασύτερα, εὐώδη. καὶ
ἐπ' ἄκρου σκιάδιον, ἐφ' οὗ τὰ ἄνθη χρυσοει-
F δῆ, δριμέα, εὐώδη· ῥίζα δὲ μικρά. Δύ- Ald. in nothis addit λεπτὸν
ναμιν δὲ ἔχει εὔθετον τὸ ἄνθος καὶ ὁ καρπὸς Matth. τὸ αἴανθον
πρὸς ἕλκη καὶ φύματα, καὶ φαγεδαίνας, λεῖος
σὺν μέλιτι ἐπιτιθέμενος· καὶ πρὸς ἑρπετὰ,
πινόμενος σὺν οἴνῳ, καὶ συναλειφόμενος σὺν
ἐλαίῳ. καλοῦσι δέ τινες πάνακες καὶ τὴν
ἀγρίαν ὀρίγανον· οἱ δὲ, κονίλην· περὶ ἧς V. addit οἱ δὲ ἀσ-κληπιακόν.
G εἴρηται ἐν τοῖς περὶ ὀριγάνου.

Περὶ Πάνακος Χειρωνίου. Κεφ. νζ'.

Πάνακες Χειρώνιον φύεται μάλιστα Cat. λεπτὸν οἱ δὲ χειρώνιον.
ἐν τῷ Πηλίῳ ὄρει· φύλλα δὲ ἔχει ἀμαράκῳ ἐμφερῆ· ἄνθη χρυσοειδῆ. V quidam ὀριγάνω. Theoph. etiā λεπτὸν.

ῥίζαν λεπτὴν, καὶ οὐ βαθεῖαν, γευομένῳ A δὲ δριμεῖαν. Δύναμιν δὲ ἔχει ἡ ῥίζα πρὸς ἑρπετὰ πινομένη. καὶ ἡ κόμη δὲ ἐπιπλαττομένη πρὸς τὰ αὐτὰ ποιεῖ.

Περὶ Λιγυστικοῦ. Κεφ. νη΄.

ΛΙΓΥΣΤΙΚΟΝ φύεται μὲν πλεῖστον ἐν Λιγυρίᾳ· ὅθεν καὶ τὴν προσωνυμίαν ἔσχηκεν ἐν τῷ καλουμένῳ Ἀπεννίνῳ. B ὄρος δέ ἐστιν ὁμοροῦν τῇ Ἄλπεσι. Πάνακες δὲ αὐτὸ καλοῦσιν οἱ ἐπιχώριοι οὐκ ἀλόγως· ἐπεὶ ἡ ῥίζα καὶ ὁ καυλὸς ἔοικε τῷ τοῦ Ἡρακλεωτικοῦ πάνακος, καὶ ἡ δύναμις ὁμοία καθέστηκε. φύεται δὲ ἐν τοῖς ὑψηλοτάτοις καὶ τραχυτέροις καὶ συσκίοις ὄρεσι, μάλιστα δὲ παρὰ τοῖς διώρυξι. καυ- C λίον δὲ φέρει λεπτὸν, ὅμοιον ἀνήθῳ, γεγονατωμένον, περὶ ὃ φύλλα ἐοικότα τοῖς τοῦ μελιλώτου, τρυφερώτερα δὲ καὶ εὐώδη, ἰσχνότερα δὲ τὰ πρὸς ἄκρῳ τῷ καυλῷ, καὶ μᾶλλον ἐπεσχισμένα. ἐπ' ἄκρου δὲ σκιάδιον, ἐφ' οὗ καὶ τὸ σπέρμα μέλαν, ναστὸν, ὑπόμηκες, πρὸς τὸ τοῦ μαράθρου, γευο- D μένῳ δὲ δριμὺ καὶ ἀρωματίζον· ῥίζα λευκὴ, ὁμοία τῇ τοῦ Ἡρακλεωτικοῦ πάνακος, εὐώδης. Δύναμις δὲ τοῦ σπέρματος καὶ τῆς ῥίζης θερμαντικὴ, πεπτικὴ, ἁρμόζουσα πρὸς τὰ ἐντὸς ἀλγήματα καὶ πέψεις καὶ οἰδήματα, καὶ ἐμπνευματώσεις, καὶ μάλιστα τὰς περὶ στόμαχον, καὶ πρὸς E θηρίων πληγάς· ἄγει δὲ καὶ οὖρα καὶ ἔμμηνα πινομένη. καὶ ἡ ῥίζα δὲ προστιθεμένη τὸ αὐτὸ ποιεῖ. μίγνυται δὲ ἡ ῥίζα καὶ τὸ σπέρμα χρησίμως καὶ τοῖς ὀξυπόροις καὶ ταῖς πεπτικαῖς δυνάμεσιν. ἱκανῶς δὲ εὐστόμαχόν ἐστιν. ὅθεν καὶ ἀντὶ πεπέρεως αὐτῷ χρῶνται οἱ ἐπιχώριοι, μίσγοντες τοῖς F προσοψήμασι. δολοῦται δὲ σπέρματί τινι παρομοίῳ, ὃ διαγινώσκεται τῇ γεύσει· πικρὸν γάρ ἐστιν. ἔνιοι δὲ καὶ σπέρμα μαράθρου ἢ σεσέλεως συμμίσγοντες, δολοῦσιν αὐτό.

Margo recens. Al. μακρότερα. V. margo. εὐώδη. V. … etiam legit. V. addit … Orib. …

Περὶ Σταφυλίνου. Κεφ. νθ΄.

ΣΤΑΦΥΛΙΝΟΣ ἄγριος φύλλα ἔχει ὅμοια γιγγιδίῳ, πλατύτερα δὲ καὶ ὑ- G πόπικρα· καυλὸν δὲ ὄρθιον, τραχὺν, σκιάδιον ἔχοντα ἀνήθῳ παραπλήσιον· ἐφ' οὗ ἄνθη λευκὰ, ἐν μέσῳ δὲ πορφυροειδές τι μικρὸν, καὶ οἱονεὶ κροκίζον· ῥίζα δὲ,

radice tenui, neque alta, gustu acri. Pota radix serpentium veneno resistit: ac imposita quoque coma contra illud ipsum efficax.

De Ligustico. Cap. LVIII.

LIGVSTICVM plurimum in Liguria nascitur, vnde & nomen traxit, in mōte scilicet Apēnino dicto Alpibus contermino. Ipsum incolæ Panaces haud abs re appellāt, quoniam & radice & caule Heracleotico panaci simile fit, paribúsq; viribus præditum. Gignitur in altissimis asperísque montibus ac vmbrosis, maximè verò iuxta foueas & scrobes. Cauliculum profert tenuem, ceu anethi, geniculatum: circa quem folia sunt meliloti, at teneriora & odorata, prope verticem graciliora, pluribúsque diuisa incisuris. In cacumine vmbella, è qua semen depēdet nigrum, solidū, oblongum, fœniculo proximum, gustanti acre & aroma redolens. Radix est candida, Heracleotici Panacis similis & odorata. Seminis radicísque vis excalfactoria & concoquens: siquidem prosunt ad interaneorum dolores ac tumores, itémque ad iuuandam concoctionem. Valent & ad inflationes præsertímque ventriculi, necnon & ad venenatarum bestiarū ictus: vrinas quoque ac menses pota trahunt. Sed & apposita radix idem præstat. Ipsa porrò æquè ac semen vtiliter oxyporis & concoquentibus medicamentis admiscetur. Hoc verò stomacho perquàm vtile est: quare piperis loco id indigenæ obsonijs immiscent. Adulteratur autem semine quodam consimili, quod tamen gustu facilè discernas: amarum enim est. Alij quoque seminibus fœniculi aut seselis simul admixtis fraudem faciunt.

De Pastinaca. Cap. LIX.

PASTINACA syluestris folia habet gingidij, at latiora & subamara, caulem rectum, scabrum, vmbellam similē anethi, in qua flores insunt candidi, ac in medio exiguū quiddam, colore purpureo & ferè ad croceum inclinante. Radix est

digiti crassitudine, dodrantalis, odorata, & si decoquatur, esculenta. Huius semen potum subditúmve, menses ciet. Conuenit & ægre meientibus, hydropicis, atque pleuriticis, in potione: necnō & venenatarum bestiarum morsibus ictibúsque prodest. Sed & aiunt qui illud præsumpserint ab illis minimè lædi. Conceptum quoque adiuuat. Radix autem quæ & ipsa vrinas pellit, venerem præterea stimulat, & partus apposita eiicit. Folia verò trita & cum melle imposita phagedænica vlcera repurgant. Hortensis porrò pastinaca cibo aptior ad eadem pollet, attamen viribus inefficacior.

De Seseli Maßiliensi. Cap. L X.

SESELI Massiliense folia habet fœniculi, at crassiora, caulémque vegetiorem: vmbellam anethi, in qua semen oblongum, angulosum, degustanti statim acre: radix longa est, & iucundi odoris. Semen & radix excalfaciendi vim habent: potu stranguriæ & orthopnœæ medentur: vteri suffocationibus, comitialibúsque prosunt, menses & partus trahūt, ad omnia interna vitia pollent, ac tussim denique veterem sanant. Semen cum vino potum, concoctioni cōfert, torminǻque discutit; epialis febribus est vtile, & ad propulsandam in itinere algoris iniuriam cum pipere ac vino bibitur. Cæterùm ad partum adiuuandum capris cæterísque pecudibus datur in potu.

vel al. [illegible] frigus

De Seseli AEthiopico. Cap. L X I.

Quod verò Æthiopicum siler appellatur, folia habet hederę, sed minora & oblonga, ceu periclymeni. Frutex grandis est, palmitibus ferè bicubitalibus; ramis dodrātalibus, & capitulis velut anethi: semine nigro ac ceu tritici dēso, verùm acriore & odoratiore, quàm sit Massiliense, ac valdè suaui. Eadem verò pręstat.

De Seseli Peloponnensi. Cap. L X I I.

Quod autem in Peloponneso nascitur, folia habet cicutæ, sed latiora & crassiora: caulem supra Mas-

A δακτύλου τὸ πάχος, σπιθαμιαία, εὐώδης, ἐδώδιμος ἑφθή. Τούτου ὁ καρπὸς ποθεὶς ἢ προστεθεὶς, ἔμμηνα κινεῖ. ἁρμόζει καὶ δυσουροῦσι καὶ ὑδρωπικοῖς, καὶ πλευριτικοῖς, ἐν πόμασι, καὶ πρὸς θηρίων δὲ δήγματα καὶ πληγάς· τοὺς δὲ προλαβόντας φασὶ μὴ ἀδικεῖσθαι ὑπὸ θηρίων. B συνεργεῖ δὲ καὶ συλλήψει. ἡ δὲ ῥίζα καὶ αὐτὴ οὐρητικὴ οὖσα, συνουσίας τε παρορμᾷ, καὶ ἔμβρυα ἐκβάλλει προστιθεμένη. τὰ δὲ φύλλα λεῖα μετὰ μέλιτος, ἐπιτιθέμενα, τὰ φαγεδαινικὰ ἕλκη ἀνακαθαίρει. ὁ δὲ κηπευτὸς σταφυλῖνος ἐδωδιμώτερος ὢν ἁρμόζει πρὸς τὰ αὐτὰ, ἐνδεέστερον ἐνεργῶν.

V. cieret

C Περὶ Σεσέλεως Μασσαλεωτικοῦ. Κεφ. ξ'.

ΣΕΣΕΛΙ τὸ Μασσαλεωτικὸν, φύλλα ἔχει ἐοικότα μαράθρῳ, παχύτερα δὲ, καὶ τὸν καυλὸν εὐερνέστερον ἔχει. ἔχει δὲ σκιάδιον ἀνήθῳ ὅμοιον, ἐφ' οὗ ὁ καρπὸς ἐπιμήκης, γεγωνιωμένος, δριμὺς βιβρωσκό-D μενος ταχέως· ῥίζα μακρὰ, εὐώδης. Δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα θερμαντικήν. πινόμενα δὲ στραγγουρίαν ἰᾶται, καὶ ὀρθόπνοιαν· ὠφελεῖ δὲ καὶ ὑστερικὰς πνίγας καὶ ἐπιληπτικοὺς, ἔμμηνά τε ἄγει καὶ ἔμβρυα, καὶ πρὸς τὰ ἐντὸς πάντα ποιεῖ, καὶ βῆχας ἰᾶται παλαιάς· πινόμενός τε μετ' E οἴνου ὁ καρπὸς, πεπτικός ἐστι, καὶ στρόφων λυτικός· ἠπιάλοις τε χρήσιμος, καὶ πρὸς τοὺς ἐν ὁδοῖς κρυμοὺς σὺν πεπέρει καὶ οἴνῳ πίνεται. δίδοται δὲ καὶ αἰξὶ καὶ τοῖς λοιποῖς κτήνεσι πρὸς εὐτοκίαν ποτόν.

Deest in Catac.
V. μᾶλλον ἡ ῥίζα
Marcellus [illegible] legendum suspicatur.

Περὶ Σεσέλεως Αἰθιοπικοῦ. Κεφ. ξα'.

Τὸ δὲ Αἰθιοπικὸν λεγόμενον Σέσελι, F φύλλα μὲν ἔχει ὅμοια κισσῷ, ἥσσονα δὲ καὶ ἐπιμήκη πρὸς τὰ τοῦ περικλυμένου. θάμνος δὲ μέγας ἐστὶ, κλήματα ὡς διπήχη ἔχων ἐφ' οὗ κλάδοι σπιθαμιαῖοι, κεφάλια δὲ ὡς ἀνήθου. σπέρμα δὲ μέλαν, πυκνὸν ὡς πυρὸς, δριμύτερον δὲ καὶ εὐωδέστερον τοῦ Μασσαλεωτικοῦ, ἡδὺ ἰσχυρῶς. Δύναται δὲ τὰ G αὐτά.

Sic v. c. & Catac. itémque Orib. at vulg. ex μέλας.
V. καυλίδε
Al. σπιθαμιαῖοι.
Sic Orib.
V. μακρὸν
Desiderabantur hæc in vulg. exempl. sed addidimus ex cod. antiquo Lacunæ, itémque ex Orib.

Περὶ Σεσέλεως Πελοποννησιακοῦ. Κεφ. ξβ'.

Τὸ δὲ ἐν Πελοποννήσῳ γινόμενον, φύλλα ἔχει κωνείῳ παραπλήσια, πλατύτερα δὲ καὶ παχύτερα· καυλὸν μείζονα τοῦ Μα-

In veterib. hoc caput cum superiore coniunctū est.
Legit Lacuna in v. c. παχύτερα

σαλεωτικοῦ, ναρθηκώδη, ἐπ' ἄκρῳ δὲ τούτου σκιάδιον πλατύ. ἐν δὲ τούτῳ καρπὸς πλατύτερος καὶ εὐώδης καὶ σαρκωδέστερος. Δύναμιν δὲ τὴν αὐτὴν ἔχει. φύεται ἐν τόποις τραχέσι καὶ ἐφύγροις καὶ γεωλόφοις. φύεται δὲ καὶ ἐν Ἴδῃ.

Al. εὐωδέστερος

V. ἐν λειμῶσι

Περὶ Τορδυλίου. Κεφ. ξγ'.

ΤΟΡΔΥΛΙΟΝ, ἔνιοι δὲ Σέσελι Κρητικὸν καλοῦσι, φύεται ἐν τῷ κατὰ Κιλικίαν Ἀμανῷ. ἔστι δὲ βοτάνιον φρυγανῶδες, ἔχον σπερμάτιον περιφερές, διπλοῦν, ὅμοιον ἀσπιδίσκοις, ὑπόδριμυ, καὶ ἀρωματίζον· πινόμενον πρὸς δυσουρίας, καὶ ἐμμηνίων ἀγωγήν. ὁ δὲ χυλὸς τοῦ καυλοῦ καὶ τοῦ σπέρματος ἔτι χλωροῦ ὄντος, ὅσον τριώβολον ποθεὶς σὺν γλυκεῖ ἐν ἡμέραις δέκα, νεφριτικοὺς ὑγιάζει. ἡ δὲ ῥίζα πρακτική, ἀνάγουσα καὶ τὰ ἐκ θώρακος, ἐκλειχομένη μετὰ μέλιτος.

Al. ἀχαίῳ, sed perperam

Ald. ἀσπίδι καὶ

V. ἐπὶ ἡμέρας δέκα

Περὶ Σίσωνος. Κεφ. ξδ'.

ΣΙΣΩΝ σπερμάτιόν ἐστιν ἐν Συρίᾳ γινόμενον, παρεοικὸς σελίνῳ, ἐπίμηκες, μέλαν, πυρωτικόν, πινόμενον πρὸς σπλῆνα καὶ δυσουρίας, καὶ ἐμμηνίων ἐποχήν. χρῶνται δὲ αὐτῷ οἱ ἐπιχώριοι ἀρτύματι μετὰ κολοκύνθης ἑφθῆς σὺν ὄξει λαμβάνοντες. ἔχει δὲ ὡς κοκκία πολλὰ ἐπ' ἄκρων.

V. caret sequentibus

V. οἱ δὲ καὶ σίου.

Περὶ Ἀνίσου. Κεφ. ξε'.

ΑΝΙΣΟΝ τὴν μὲν καθόλου δύναμιν ἔχει θερμαντικήν, ξηραντικήν, εὔπνουν, ἀνώδυνον, διαφορητικήν, οὐρητικήν, διαχυτικήν· ὑδρωπικοῖς ἄδιψον πινόμενον. ἁρμόζει δὲ πρός τε τὰ ἰοβόλα τῶν ζώων, καὶ πρὸς ἐμπνευματώσεις· κοιλίαν τε ἵστησι καὶ λευκὸν ῥοῦν, καὶ γάλακτα σπᾷ, καὶ συνουσίας παρορμᾷ· ὑποθυμιώμενον δὲ ταῖς ῥισὶ κεφαλαλγίας παύει. καὶ τὰς ῥήξεις δὲ τῶν ὤτων, λεῖον σὺν ῥοδίνῳ ἐνσταζόμενον ἰᾶται. ἔστι δὲ αὐτοῦ κράτιστον τὸ νέον καὶ ἁδρόν, καὶ μὴ πιτυρῶδες, εὔτονον τῇ ὀσμῇ. προκριτέον δὲ τὸ Κρητικόν, ἔπειτα δὲ τὸ Αἰγύπτιον.

V. omittit

V. addit, δὲ

Περὶ Κάρου. Κεφ. ξς'.

ΚΑΡΟΣ σπερμάτιόν ἐστι γνώριμον, οὐρητικόν, θερμαντικόν, εὐστόμαχον, εὔστομον, πεπτικόν, μιγνύμενον ἐν ταῖς ἀντιδότοις καὶ ὀξυπόροις χρησίμως· ἀνα-

In antiquo utroque haec verba leguntur, ὃ καὶ καραβάδιον λέγεται, quae post tempora Diosc. huic loco ascripta esse annotat Goup. Nam recentiores κάρου καραβάδιον vocare solent.

A silienſis magnitudinem, ferulaceũ, & latam in cacumine vmbellam, in qua ſemen latius, odoratum & carnoſius pendet. Iiſdem præditum eſt viribus. Naſcitur in aſperis, & vliginoſis atque collibus. Gignitur & in Ida.

De Tordylio. Cap. LXIII.

B TORDYLIVM, quod aliqui Creticum Seſeli vocant, in Amano Ciliciæ mõte naſcitur. Herbula ſurculacea, exiguo ſemine eóque rotundo, ac duplici, ſcutulorum effigie ſubacri & aroma olente. Bibitur id contra vrinæ difficultatem, & ad ciendos menſes. Succus caulis ſeminiſq; adhuc virentis ternis obo-
C lis ex paſſo diebus decem bibitus, nephriticos perſanat. Efficax quoq; radix eſt: ſiquidem pectoris excreationes purgat, ſi cum melle delingatur.

De Siſone. Cap. LXIIII.

SISON exiguum ſemen eſt, quod in Syria naſcitur, apio ſimile, oblongum, nigrum & feruẽtis guſtus.
D Bibitur contra lienis vitia & vrinæ difficultatem, itémque ad commorantes menſes euocandos. Eo ipſo indigenæ cum cucurbita in aceto cocta condiméti vice vtũtur. In cacuminibus autẽ ceu granula multa gerit.

De Aniſo. Cap. LXV.

ANISVM in vniuerſum vim habet excalfaciendi, exiccandi, o-
E ris halitum iucundiorem faciendi, dolores leuandi, digerendi, vrinas ciendi, ac denique diſcutiendi diſſipandíque. Potum hydropicis ſitim cohibet: virulentorum animalium venenis aduerſatur, itémque prodeſt ad inflationes: aluũ & alba fœminarũ profluuia ſiſtit, lactis vbertatem præſtat & venerem ſtimulat.
F Dolorem capitis leuat ſuffitum naribus, & cum roſaceo tritum inſtillatúmque fractis auribus medetur. Efficacius porrò quod recens, plenum, minimè furfuroſum, vehemẽtíque eſt odore. Laudatiſſimum eſt Creticum, proximum Ægyptium.

De Caro. Cap. LXVI.

G CARVM ſemen eſt exiguum, vulgaris notitiæ. Vrinas ciet, excalfacit, ſtomacho vtile, oríque gratũ, cõcoctioné adiuuat, ac vtiliter antidotis & oxyporis admiſcetur: deni-

que non parua illi est cum aniso cõuenientia. Est & cocta radix edulis æquè ac pastinacæ.

De Anetho. Cap. LXVII.

ANETHI aridi comæ seminisque decoctum potu lac euocat, tormina inflationésque sedat, aluũ & eorum quæ in summo fluitant ventriculo vomitiones cohibet, vrinas ciet ac singultus lenit, frequentius potum oculos hebetat & geniturã restinguit. Est & eius decoctum fœminis hystericis ad dessessiones vtile. Denique vstum inspersúmque semen condylomata tollit.

De Cumino satiuo. Cap. LXVIII.

CVMINVM satiuum stomacho est vtile: sed multò magis Æthiopicum, quod Hippocrates regium appellauit. Secũdum locum tenet Ægyptiũ: mox reliqua sequũtur. Prouenit in Galatia Asiæ, Cilicia & Tarentina regione, aliisque locis compluribus. Excalfaciẽdi, astringẽdi & exiccandi vi præditum est: Ad tormina inflationésque conuenit, seu coctum & cum oleo infusum, seu etiam cum hordeacea farina impositũ. Datur & orthopnoïcis, in posca: demorsis à venenatis beluis, in vino. Testiũ inflámationibus auxiliatur, cũ vua passa & fabarũ lomento aut cerato impositũ. Cohibet & fluxũ muliebrẽ sanguinísq; è naribus profluuia, in aceto contritum & admotũ. Cæterùm cutis colorẽ bibitũ illitúmve mutat in pallorem.

De Cumino syluestri. Cap. LXIX.

Syluestre cuminum plurimum efficaciúsque in Lycia & Galatia Asiæ atque Carthagine Hispaniæ gignitur. Est verò frutex exiguus, caule, dodrantali ac tenui, in quo quaterna quináve sunt minuta folia, tenuia veluti serrata & gingidij diuisura. Gerit autem in cacumine quina aut sena capitula rotunda & mollia, in quib. semen acerosum & gustu acrius quàm satiuum. Nascitur in collibus. Bibitur semen ex aqua aduersus tormina & inflationes: singultus ex aceto sedat: & cõtra virulẽtas bestias ac stomachi ex nimia humiditate imbecillitatẽ in vino bibitur. Sugillata tollit, si commãducatũ cũ melle & vua passa imponatur. Quin & testiũ inflámatio-

A λεγρικῷ ἀνίσῳ. ἡ δὲ ῥίζα ἑφθὴ ἐδώδιμος
ὥσπερ σταφυλῖνος.

Περὶ Ἀνήθου. Κεφ. ξζ'.

ΑΝΗΘΟΥ ξηροῦ τῆς κόμης καὶ τοῦ καρποῦ τὸ ἀφέψημα πινόμενον, γάλα κατασπᾷ, στρόφους τε καὶ ἐμπνευματώσεις παύει, κοιλίαν τε καὶ τοὺς *ἐπιπολαίως ἐ-
B μέτους ἵστησι, οὖρά τε κινεῖ, λυγμοὺς παρηγορεῖ, ἀμβλύνει τε τὰς ὄψεις, καὶ γονὴν σβέννυσι συνεχῶς πινόμενον. χρήσιμον δὲ τὸ ἀφέψημα αὐτοῦ καὶ γυναιξὶν ὑστερικαῖς εἰς ἐγκάθισμα. τὸ δὲ σπέρμα καὲν καὶ *καταπλασθὲν, κονδυλώματα αἴρει.

Περὶ Κυμίνου ἡμέρου. Κεφ. ξη'.

C ΚΥμινον τὸ ἥμερον, εὔστομον· καὶ τούτου μᾶλλον τὸ Αἰθιοπικὸν, ὅπερ Ἱπποκράτης βασιλικὸν ἐκάλεσε. δεύτερον τὸ Αἰγύπτιον· εἶτα τὸ λοιπόν. φύεται ἐν Γαλατίᾳ *καὶ ἐν Ἀσίᾳ καὶ Κιλικίᾳ καὶ Τερεντίᾳ, καὶ ἐν ἄλλοις πλείοσι τόποις. Ἔστι δὲ θερμαντικὸν, στυπτικὸν, ξηραντικὸν, ἁρμόζον πρὸς στρόφους καὶ ἐμπνευματώσεις.
D ἐγκλυζόμενον ἑφθὲν σὺν ἐλαίῳ καὶ καταπλασσόμενον σὺν ὠμῇ λύσει. δίδοται δὲ καὶ ὀρθοπνοικοῖς σὺν ὀξυκράτῳ· θηριοδήκτοις δὲ σὺν οἴνῳ. διδύμων τε φλεγμοναῖς ἀρήγει σὺν σταφίδι καὶ ἐρεγμίνῳ ἀλεύρῳ, ἢ κηρωτῇ ἐπιτεθέν. ἐπέχει δὲ καὶ ῥοῦν γυναικεῖον, καὶ τὰς ἐκ μυκτήρων αἱμορραγίας, σὺν ὄξει λεῖον προσενεχθέν.
E τρέπει δὲ καὶ χρῶτα ἐπὶ τὸ ὠχρότερον πινόμενόν τε καὶ συγχριόμενον.

Περὶ Κυμίνου ἀγρίου. Κεφ. ξθ'.

Κύμινον ἄγριον, φύεται μὲν πλεῖστον καὶ ἐνεργέστερον ἐν Λυκίᾳ καὶ * Ἀσίᾳ τῆς Γαλατίας, καὶ ἐν Καρχηδόνι τῆς Ἱσπανίας. ἔστι δὲ θαμνίον ἔχον καυλὸν σπιθαμιαῖον, λεπτὸν,
F ἐφ' οὗ φυλλάρια δ'. ἢ ε'. λεπτὰ, οἱονεὶ πεπρισμένα, τῇ καταχίσει ὡς γιγγίδιον. κεφάλια δὲ ἔχει ἐπ' ἄκρου ε'. ἢ ς'. στρογγύλα, μαλακά· ἐν οἷς ὁ καρπὸς ἀχυρώδης, γευομένῳ δὲ δριμύτερος τοῦ ἡμέρου. φύεται δὲ ἐν γεωλόφοις. πίνεται δὲ τὸ σπέρμα πρὸς στρόφους καὶ ἐμπνευματώσεις σὺν ὕδατι· σὺν ὄξει δὲ λυ-
G γμοὺς παύει· πρὸς δὲ τὰ ἰοβόλα καὶ πλάδον στομάχου σὺν οἴνῳ. αἴρει δὲ καὶ ὑπώπια μασηθὲν καὶ καταπλασθὲν σὺν μέλιτι καὶ σταφίδι. φλεγμονάς τε διδύμων

V. καὶ αἰθὴρ addunt.

V. sic αὐθον αἰολεγῶ αἴσῳ. ἡ δὲ ῥίζα ἑφθὴ ἐδώδιμος, ὥσπερ σταφυλῖνος. ἄνηθον τὸ ξηρὸν &c.

V addit κεφαλῆς. Sic & Lacuna.

V. addit εὐστόμαχον, θερμαντικὸν, εὔστομον, πεπτικὸν μιγνύμενον τοῖς αὐτοῖς καὶ ἐξυ[illegible]

Vulg. exemp. [illegible]

ἰᾶται, μετὰ τῶν αὐτῶν καταπλασσόμενον. A
Ἔστι καὶ ἕτερον γένος ἀγρίου κυμίνου ἐμφερὲς τῷ ἡμέρῳ· ἐξ ἑκάστου δὲ ἄνθους ἀφίησι κεράτια μετέωρα, ἐν οἷς ἐστι σπέρμα ὅμοιον μελανθίῳ· τοῦτο πινόμενον, πρὸς ἑρπετοδήκτους ἄριστον ἀλέξημα. βοηθεῖ καὶ στραγγουριῶσι καὶ λιθιῶσι καὶ αἵματος θρόμβους οὐροῦσιν. ἐπιπινέτωσαν δὲ σελίνου σπέρμα B ἀποζεσθέν.

Lacuna, ὅμοιον Al. aliam

Περὶ Ἄμμεως. Κεφ. ο΄.

ΑΜΜΙ, [ἔνιοι καὶ τοῦτο Αἰθιοπικόν, (a) οἱ δὲ βασιλικὸν κύμινον καλοῦσιν.] ἔνιοι δὲ ἑτέρας φύσεως τὸ Αἰθιοπικὸν κύμινον ἔφασαν εἶναι, καὶ ἑτέρας, τὸ Ἄμμι. γνώριμον δὲ τὸ σπερμάτιον, μικρότερον πολλῷ τοῦ κυμίνου, τῇ ὀριγανίζον τῇ γεύσει. ἐκλέγου δὲ τὸ καθαρὸν καὶ μὴ πιτυρῶδες. C
Δύναμιν δὲ ἔχει καὶ τοῦτο θερμαντικήν, πυρωτικὴν καὶ ξηραντικήν· ποιοῦν πρὸς στρόφους, δυσουρίας, καὶ θηριοδήκτους, πινόμενον σὺν οἴνῳ· ἄγει δὲ καὶ ἔμμηνα. μίγνυται καὶ τοῖς διὰ κανθαρίδος ἐκδορίοις, πρὸς τὸ ἀντιπάσχειν τὰς ἐπιγινομένας δυσουρίας. D καὶ ὑπώπια καταπλασθὲν σὺν μέλιτι αἴρει. πρέπει δὲ καὶ χρόαν πινόμενον καὶ συγχριόμενον ἐπὶ τὸ χλωρότερον. καὶ μετὰ σταφίδος ἢ ῥητίνης ὑποθυμιώμενον, ὑστέραν ἀποκαθαίρει.

Desunt hæc in Ald. & ad nostra relegantur. Alij etiā nonnulli codices his carent vsque ad γνώριμον.

Περὶ Κορίου. Κεφ. οα΄.

ΚΟΡΙΟΝ ἢ Κορίαννον γνώριμον, δύναμιν ἔχον ψυκτικήν. E ὅθεν καταπλασσόμενον μετ' ἄρτου ἢ ἀλφίτων, ἐρυσιπέλατα καὶ ἕρπητας ἰᾶται· σὺν μέλιτι δὲ καὶ σταφίδι, ἐπινυκτίδας, καὶ διδύμων φλεγμονὰς καὶ ἄνθρακας θεραπεύει· μετὰ ἐρεγμοῦ δὲ χοιράδας καὶ φύματα διαλύει. τὸ δὲ σπέρμα ὀλίγον μετὰ γλυκέος ποθὲν F ἕλμινθας ἐκβάλλει, καὶ σπέρματος ἐστι γεννητικόν. πλεῖον δὲ ληφθὲν κινεῖ τὴν διάνοιαν ἐπικινδύνως· ὅθεν δεῖ φυλάττεσθαι τὴν πλείονα καὶ συνεχῆ χρῆσιν αὐτοῦ. ὁ δὲ χυλὸς σὺν ψιμμυθίῳ ἢ λιθαργύρῳ καὶ ὄξει καὶ ῥοδίνῳ καταχριόμενος, ὠφελεῖ τὰς κατὰ τὴν ἐπιφάνειαν φλεγμονὰς τὰς πυρώδεις. G

Περὶ Ἱερακίου τοῦ μεγάλου. Κεφ. οβ΄.

ΙΕΡΑΚΙΟΝ τὸ μέγα, καυλὸν αἰνεῖ τραχύν, ὑπέρυθρον, ἀκανθώδη,

nibus, adiectis iisdem impositum medetur. Est & alterum syluestris cumini genus satiuo simile; quod quidē è singulis floribus erecta sursúmque spectantia cornicula promit: in quibus semen est melanthio simile: potum id, contra serpentium morsus singulari est præsidio. Quibus substillum est lotium, calculosis & sanguinis grumos meiētibus auxiliatur: verùm seminis apij decoctum superbibendum est.

De Ammi. Cap. LXX.

AMMI nonnulli Æthiopicum, aliqui regium cuminū appellant. Alij alterius naturę Æthiopicū cuminū: & alterius, Ammi esse prodiderūt. Vulgo notum est semen exile, multò minus cumino, & origani sapore. Eligito purum minimēque furfurosum. Vim habet hoc quoque excalfactoriam, vrentem & exiccātem: valet ad tormina, vrinæ difficultatem, ac venenatorum morsus, ex vino potū. Mēstrua quoque ciet. Miscetur & cutim erodētibus medicamentis è cātharide paratis, quò resistat vrinæ difficultatibus, quæ alioqui id genus medicamētis superuenire solēt. Sugillata cū melle impositū tollit. Sed & potu ac illitu colorē pallidiorē efficit. Suffitū aūt cū vua passa aut resina, vuluam purgat.

De Coriandro. Cap. LXXI.

CORIANDRVM, Græcis Corion seu Coriannū, vulgaris est notitiæ, vim habēs refrigeratoriā. Quare cum pane aut polenta impositū, erysipelata & quæ serpūt vlcera sanat: cum melle verò & vua passa epinyctidibus, testiū inflammationibus carbunculisq; medetur: & cum faba fresa strumas panósque discutit. Semen exigua quantitate cum passo bibitū, lumbricos pellit, & geniturę abūdantiā facit. At si largiùs sumptum fuerit, mentē nō sine periculo è sua sede & statu dimouet. quáobrem ab ipsius copiosiore frequētioreq; vsu cauendū. Succus aūt cū cerussa aut lithargyro, necnon & aceto atq; rosaceo pūctus, ardētes in sūma cute inflāmationes emendat.

De Hieracio magno. Cap. LXXII.

HIERACIVM magnū, caulem profert asperū, subrubrū, spinosum,

vtcunque cõcauum: folia verò fundit ex interuallis, lacinijs rarioribus diuisa, similia soncho per ambitum: flores luteos in oblongis capitulis. Vim habet refrigeratoriam, modicéque ac leuiter astringentẽ. Quàobrem æstuanti stomacho inflammationibúsque vtiliter imponitur. Succus autem stomachi rosionem sorbitione mitigat. Cæterùm herba cum radice imposita ictis à scorpione auxiliatur.

De Hieracio paruo. Cap. LXXIII.

Hieracium paruum, folia quoque habet ex interuallis diuisa per ambitum: cauliculos vero promit tenerosiac virentes, in quibus flores lutei, in orbẽ circinati. Vires porrò & hoc cũ antedicto easdẽ obtinet.

De Apio. Cap. LXXIIII.

APII hortensis herba ad eadẽ ad quæ & coriandrum conuenit: prætereáque ad oculorum inflámationes, cum pane aut polentæ polline imposita. Æstuantẽ quoque stomachum demulcet, & mámas grumoso lacte turgentes reprimit: ciet & vrinas, siue cocta siue cruda edatur. Decoctum eius radicúmque, potum, venenorum noxæ resistit, dum vomitiones excitat: aluũ quoque cohibet. At semen potentiùs vrinas pellit, & à venenata bestia demorsis, iisque qui argenti spumam hauserunt, opitulatur, ac deniq; flatus discutit. Sed & vtiliter admiscetur medicamentis quę dolorum leuamenta præstant, itémque theriacis ac tussicularibus.

De Heleoselino, seu apio palustri. Cap. LXXV.

Heleoselinon, quod in aquosis locis nascitur, satiuo apio grádius est: sed ad eadẽ ad quæ & illud efficax.

De Oreoselino. Cap. LXXVI.

Oreoselinon caule est dodrantẽ alto, qui quidem singularis ex gracili radice assurgit: ambiunt verò ipsum ramuli & capitula cicutæ similia, at multò tamẽn tenuiora: in quibus semen oblongũ, acre, tenue, odoratum, cumino simile. In petrosis montosisque locis nascitur. Et semen & radix vrinam ciendi vim habent, si in vino bibantur, ac menses etiá trahunt. Antidotis quoq; &

A ὑπόκενον· φύλλα ἔχει ἐκ διαστημάτων ἐπεσχισμένα ἀραιῶς, ° σόγχῳ ἐμφερῆ τὴν περιφέρειαν· ἄνθη μήλινα ἐν κεφαλίοις ὑπομήκεσι. Δύναμιν ἔχει ψυκτικήν, μετρίως ὑποστύφουσαν. ὅθεν στομάχῳ καυσουμένῳ καὶ φλεγμοναῖς καταπλασσόμενον ἁρμόζει. ὁ δὲ χυλὸς καταρροφού- B μενος, δηγμὸν ° πραΰνει. ἡ δὲ πόα σὺν τῇ ῥίζῃ καταπλασθεῖσα, σκορπιοπλήκτοις ἀρήγει.

Marcellus legit πέταλα.
V. addit στομάχου. & margo addit, [illegible]

Περὶ Ἱερακίου τοῦ μικροῦ. Κεφ. ογ'.

Ἱεράκιον τὸ μικρόν, φύλλα ἔχει καὶ αὐτὸ ἐκ διαστημάτων ἐπεσχισμένα τὴν περιφέρειαν· καυλία δὲ ἀνίησι πυῤῥὰ καὶ C χλωρά, ἐν οἷς ἄνθη μήλινα, κύκλον περιγράφοντα. Δύναμιν δὲ ἔχει καὶ αὐτὸ τὴν αὐτὴν τῷ προειρημένῳ.

Περὶ Σελίνου. Κεφ. οδ'.

ΣΕΛΙΝΟΝ κηπαῖον, ἁρμόζει ° πρὸς ἃ καὶ τὸ ° κόριον· καὶ πρὸς ὀφθαλμῶν φλεγμονὰς μετὰ ἄρτου ἢ παιπάλης D ἀλφίτου καταπλασσόμενον. καὶ καῦσον στομάχου παρηγορεῖ· μαστούς τε χονδριῶντας ἀνίησι· κινεῖ τε οὖρα ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον. καὶ τὸ ἀφέψημα αὐτοῦ τε καὶ τῆς ῥίζης πινόμενα, ἀντιπάσχει θανασίμοις φαρμάκοις. ° ἐμέτους κινοῦν· κοιλίαν τε ἐπέχει. τὸ δὲ σπέρμα ἐστὶν οὐρητικώτερον, βοηθοῦν E καὶ θηριοδήκτοις, καὶ τοῖς λιθάργυρον πεπωκόσι, πνευμάτων τέ ἐστι διαλυτικόν. μίγνυται δὲ καὶ ἀνωδύνοις καὶ θηριακαῖς καὶ βηχικαῖς χρησίμως.

In v. cod. deesse scribit Lacuna
Alias, κοριάννον. Vetus quidam addit, [illegible]
Lacuna in v. c. legit καὶ ἐμέτους κινοῦν.

Περὶ Ἑλειοσελίνου. Κεφ. οε'.

Ἑλειοσέλινον γεννώμενον ἐν τοῖς ἐφύδροις τόποις, ° μεῖζον τοῦ ἡμέρου σελίνου· ποιεῖ F δὲ ὅσα καὶ τὸ κηπευτόν.

Orib. addit ἐστί.

Περὶ Ὀρεοσελίνου. Κεφ. ος'.

V. ὀρειοσέλινον.

Ὀρεοσέλινον καυλὸς ἐστὶ σπιθαμιαῖος εἷς ἐκ ῥίζης λεπτῆς· περὶ δὲ αὐτὸν κλωνάρια ° καὶ κεφάλια κωνείῳ παρεμφερῆ, λεπτότερα μέντοι ἱκανῶς· ἐφ' ὧν ὁ καρπὸς ° ἐπιμήκης, δριμύς, λεπτός, εὐώδης, ἐοι- G κὼς κυμίνῳ. φύεται δὲ ἐν τόποις πετρώδεσι καὶ ὀρεινοῖς. Δύναμιν δὲ ἔχει ὁ καρπὸς καὶ ἡ ῥίζα οὐρητικήν, ποθέντες ἐν οἴνῳ. ἄγει δὲ καὶ ἔμμηνα. μίγνυται δὲ καὶ

Lacuna legit καὶ φύλλα. & ea lectio Theophrasti & Plinij autoritate comprobatur.
V. ὑπομήκης

ἀντιδότοις, καὶ ταῖς διουρητικαῖς καὶ θερμαντικαῖς δυνάμεσιν. οὐ δεῖ δὲ πλανᾶσθαι νομίζοντας τὸ ὀρεοσέλινον εἶναι τὸ ἐν πέτραις φυόμενον· ἄλλο γάρ ἐστι τὸ πετροσέλινον.

Περὶ Πετροσελίνου. Κεφ. οζ΄.

Σέλινον τὸ καὶ πετροσέλινον, τοῦτο φύεται ἐν Μακεδονίᾳ, ἐν ἀποκρήμνοις τόποις· σπέρμα ἔχον ἐοικὸς ἄμμει, εὐωδέστερον δὲ καὶ δριμὺ καὶ ἀρωματίζον, οὐρητικόν, ἐμμηνίων ἀγωγόν· ἁρμόζει δὲ καὶ πρὸς στομάχου καὶ κώλου ἐμπνευματώσεις καὶ στρόφους· παρέξ τε πλευρᾶς πόνους καὶ νεφρῶν καὶ κύστεως, ἐν ποτῷ λαμβανόμενον. μίγνυται δὲ καὶ ταῖς οὐρητικαῖς ἀντιδότοις.

Lacuna legit in v.c. δριμύτερον.

Περὶ Ἱπποσελίνου. Κεφ. οη΄.

Ἱπποσέλινον, οἱ μὲν, γρίελον, οἱ δὲ, ἀγριοσέλινον, οἱ δὲ, σμύρνιον καλοῦσι, ἑτέρου τοῦ κυρίως λεγομένου σμυρνίου ὑπάρχοντος, ὡς αὐτίκα ἱστορήσομεν. ἔστι δὲ μεῖζον καὶ λευκότερον τοῦ κηπαίου σελίνου· καυλὸς κοῖλος, ὑψηλός, τρυφερός, οἱονεὶ γραμμὰς ἔχων· φύλλα πλατύτερα, ὑποφοινισσόμενα, [ἐν οἷς ἐστιν ὡς λιβανωτίδος] κόμη, μεστὴ ἄνθους, κατὰ κορύμβους πρὶν ἐξανθῆσαι συνεστῶσα· σπέρμα δὲ μέλαν, ἐπίμηκες, ναστόν, δριμύ, ἀρωματίζον· ῥίζα εὐώδης, λευκή, εὔστομος, [οὐ παχεῖα.] φύεται ἐν συσκίοις, καὶ περὶ ἕλεσι. λαχανεύεται δὲ ὥσπερ τὸ σέλινον. καὶ ἡ ῥίζα δὲ ἑφθὴ καὶ ὠμὴ ἐσθίεται. τά τε φύλλα καὶ οἱ καυλοὶ ἐσθίονται ἑφθά, καθ᾽ ἑαυτά τε καὶ μετὰ ἰχθύων σκευάζεται· καὶ ὠμὰ δὲ ταριχεύεται εἰς ἁλμαίας. Δύναμιν δὲ ἔχει ὁ καρπὸς πινόμενος ἐν οἰνομέλιτι, ἐμμηνίων ἀγωγόν· θερμαίνει τε τοὺς ῥιγοῦντας, πινόμενος καὶ συγχριόμενος, στραγγουρίαις τε βοηθεῖ. καὶ ἡ ῥίζα δὲ τὰ αὐτὰ ποιεῖ.

V. addit ἢ σμυρνίου. al. ὀποσέλινον

V. non habet

V. θερμαινέστερον

V. λεπτὰ

Cor. ἐξέσχηται.

Sic & Lacuna.

V. non legit

V. ἀλμάδια

Περὶ Σμυρνίου. Κεφ. οθ΄.

ΣΜΥΡΝΙΟΝ ὅπερ ἐν Κιλικίᾳ πετροσέλινον καλοῦσι, γεννώμενον πλεῖστον ἐν τῷ λεγομένῳ Ἀμανῷ ὄρει. καὶ τοῦτο καυλὸν μὲν ἔχει ὅμοιον σελίνῳ, παραφυάδας ἔχοντα πολλάς· φύλλα δὲ πλατύτερα πρὸς τὴν γῆν, καὶ ὑποκατακλᾶται, ὑπολίπαρα, ῥωμαλέα, καὶ εὐώδη σὺν δριμύτητι, φαρμακώδη τι, καὶ

vrinam cientibus atque excalfactoriis medicaminibus inserũtur. Neque verò nos oportet in eo errore versari, vt id oreoselinon existimemus, quod in saxis prouenit: aliud enim est petroselinum.

De Petroselino. Cap. LXXVII.

Apium, quod petroselinum dicitur, prouenit in Macedonia præruptis in locis, semine ammeos, at odoratiore, acri & aroma olẽte. Vrinas id menstruáque pellit: cõtra stomachi & coli inflationes ac tormina prodest. Succurrit & lateris, renũ ac vesicę doloribus, in potione sumptum. Admiscetur & antidotis vrinas cientibus.

De Hipposelino. Cap. LXXVIII.

Hipposelinon aliqui grielum, alij agrioselinũ: quasi apium syluestre, alii smyrnium appellãt: quanquam aliud est Smyrnium propriè dictũ, de quo mox agemus. Est autem maius cãdidiúsque apio hortensi, caule cauo, procero, tenello ac veluti lineis distincto: folijs latioribus, in puniceum vergẽtibus: in quibus est ceu libanotidis coma, florum plena, quæ quidem in corymbos cogitur anteaquã deflorescat. Semen autẽ est nigrum, oblõgum, solidum, acre & aromaticum: radix itidem odorata, candida, ori grata, neque adeò crassa. Nascitur in vmbrosis & iuxta paludes. Oleris verò modo editur, veluti apium. Nam & radix cruda coctáve estur, & folia cum ipsis caulibus decocta manduntur, ac tũ per se tum etiam cum piscibus præparantur. Sed & cruda, muria condiũtur. Semen ex vino mulso potum menses ciendi vim habet, ac rigore prehensos potum illitúmve calefacit, & vrinæ stillicidio auxiliatur. Radix autem eosdem præstat effectus.

Pl. algentes

De Smyrnio. Cap. LXXIX.

SMYRNIVM, quod in Cilicia petroselinum vocant, plurimum in Amano monte gignitur. Caulem habet apij, copiosa cinctum agnata sobole: folia verò latiora ad terram, infracta, subpinguia, robusta, odore medicato & cum quadam acrimonia iucundo, colore

colore denique in luteum languescente: habet & vmbellam supra caulem qualis anetho inest: semen rotundum, brassicæ simile, nigrum, acre, myrrhæ sapore, ita vt alterum alterius qualitatẽ repræsentet: radix verò acris est, odorata, mollis, succosa, faucésque mordens, cortice prædita, foris nigro, intus verò pallido aut subalbido. Nascitur in saxosis, collibus, locis aridis & incultis angulis. Vim habent radix, herba, ac ipsum quoque semen excalfactoriam. Folia quoque muriá condita olerum instar in cibos veniunt, aluúmque sistunt: radix verè pota prodest contra serpentium morsus, tusses & orthopnœas mitigat, ac vrinæ difficultatibus medetur: imposita verò recentia œdemata, inflammationes duritiásque discutit, & vulnera ad cicatricem perducit: feruefacta autem subditáque abortum infert. Semen renum lienis ac vesicæ vitijs succurrit, menses & secũdas pellit: ischiadicis vtiliter in vino propinatur, & inflationes stomachi lenit, sudores item ciet atque ructus. Peculiariter verò potui datur contra hydropem ac febrium circuitus.

De Elaphobosco. Cap. LXXX.

ELAPHOBOSCO caulis est libanotidi aut fœniculo similis, geniculatus: folia duûm digitorum latitudine, prælonga ceu terebinthi, circumfracta, & quodammodò aspera. Habet verò caulis ipse agnatos ramulos multos, qui quidẽ vmbellas gerunt anethi similes, flores subluteos, & semen itidem anethi: radix ferè ad ternûm digitorũ longitudinem, & vnius crassitudinem accedit, candida, dulcis & esculenta. Sed & caulis recens adhuc ac tenellus olerum modo in cibos recipitur. Cæterùm huius herbæ pabulo ceruas aiunt serpentium morsibus resistere: atque ideo semen quoque contra serpentium morsus in vino datur.

De fœniculo. Cap. LXXXI.

FOENICVLI herba si edatur, mamas lacte replet: idẽ verò potest semẽ epotũ, aut cũ ptissana decoctũ.

A ὑπομηλίζοντα τῇ χρόᾳ· σκιάδιον δὲ ἐπὶ τῷ καυλῷ ἀνήθῳ δίς· σπέρμα στρογγύλον, ὅμοιον τῷ τῆς κράμβης, μέλαν, δριμὺ, γευομένῳ ὡς σμύρνη, ἐν αὐθ' ἑνὸς ποιεῖν· ἡ δὲ ῥίζα δριμεῖα, εὐώδης, ἁπαλὴ, πολύχυλος, δάκνουσα τὴν φάρυγγα· φλοιὸν ἔχουσα, ἔξωθεν μὲν μέλανα, ἔνδοθεν δὲ
B χλωρὸν ἢ ὑπόλευκον. φύεται δὲ ἐν πετρώδεσι τόποις καὶ γεωλόφοις, καὶ αὐχμοῖς καὶ γωνίαις χερσευούσαις. Δύναμιν δὲ ἔχει ἡ ῥίζα καὶ ἡ πόα καὶ ὁ καρπὸς θερμαντικήν. λαχανεύεται δὲ καὶ εἰς τὰς ἁλμαίας τὰ φύλλα, κοιλίαν τε ἵστησιν· ἡ δὲ ῥίζα πινομένη ἑρπετοδήκτοις ἁρμόζει,
C πραΰνει δὲ καὶ βῆχας καὶ ὀρθοπνοίας, καὶ δυσουρίας ἰᾶται· καταπλασσομένη δὲ τὰ πρόσφατα οἰδήματα, καὶ φλεγμονὰς, καὶ σκληρίας διαφορεῖ, τραύματά τε ἄχρις ἐπουλώσεως ἄγει· ζεσθεῖσα δὲ καὶ προστεθεῖσα ἐξαμβλώσκει. καὶ τὸ σπέρμα δὲ αὐτῆς, πρὸς νεφροὺς καὶ σπλῆνα καὶ κύστιν
D ἁρμόζει· ἄγει δὲ καὶ ἔμμηνα καὶ δεύτερα· πρός τε ἰσχιάδας μετ' οἴνου πινόμενον ἁρμόζει, καὶ στομάχου ἐμπνευματώσεις πραΰνει. ἔστι δὲ καὶ ἱδροποιὸν, ἐρευκτικὸν· ἰδίως πινόμενον πρὸς ὕδρωπας καὶ περιόδους.

Περὶ Ἐλαφοβοσκοῦ. Κεφ. π'.

ΕΛΑΦΟΒΟΣΚΟΝ καυλός ἐστι λιβανωτίδι ἢ μαράθρῳ ἐμφερὴς, γεγονιωμένος· φύλλα δισδάκτυλα τὸ πλάτος, ἰκμαῖς ἐπιμήκη ὡς τερεβίνθου, περικεκλασμένα, τραχέα πως. ἔχει δὲ παραφυάδας ἱκανὰς ὁ καυλὸς, σκιάδια ἐχούσας ὅμοια ἀνήθῳ, ἄνθη ὑπομήλινα, καὶ τὸ σπέρμα ἀνήθῳ ἐμφερές· ῥίζα
F ὡς τριδάκτυλος τὸ μῆκος, πάχος δακτύλου, λευκὴ, γλυκεῖα, ἐδώδιμος. καὶ ὁ καυλὸς δὲ λαχανεύεται ἁπαλοφυὴς ὤν. ταύτην φασὶ τὴν πόαν τὰς ἐλάφους νεμηθείσας, ἀντέχειν τοῖς τῶν ἑρπετῶν δήγμασι· ὅθεν καὶ τὸ σπέρμα δίδοται τοῖς ἑρπετοδήκτοις σὺν οἴνῳ.

G
Περὶ Μαράθρου. Κεφ. πα'.

ΜΑΡΑΘΡΟΝ, αὐτὴ ἐσθιομένη ἡ πόα, δύναται γάλα κατασπᾶν· καὶ τὸ σπέρμα δὲ πινόμενον ἢ συνεψόμενον πτισάνῃ.

V. αὐχμοῖς
V. add. κεκομμένα πως
V. quidam caret.
Matth. cod. πάχος δὲ ὁ πλάτος
Al. ὑπόλευκος, ἐδώδιμος.
V. vbique pro δὲ καὶ legit.

Vulg. exempl. ὑποτεθὲν, νεφριτικοῖς

τὸ δὲ ἀφέψημα τῆς κόμης ποθὲν, νεφριτικοῖς καὶ τοῖς περὶ κύστιν χρήσιμον, διουρητικὸν ὑπάρχον· ἁρμόζει δὲ ἑρπετοδήκτοις σὺν οἴνῳ πινόμενον, καὶ καταμήνια ἄγει· ἐν πυρετοῖς τε ναυτίαν καὶ καῦσον στομάχου παραιτεῖται μετὰ ψυχροῦ ὕδατος πινόμενον. αἱ δὲ ῥίζαι λεῖαι σὺν μέλιτι καταπλασθεῖσαι, κυνόδηκτα θεραπεύουσιν. ὁ δὲ χυλὸς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων ἐν ἡλίῳ ξηρανθεὶς, εἰς τὰ ὀφθαλμικὰ ὅσα πρὸς ὀξυδορκίαν, σκευάζεται χρησίμως. χυλίζεται δὲ καὶ τὸ σπέρμα πρὸς τὰ αὐτὰ χλωρὸν, ἔτι σὺν τοῖς φύλλοις καὶ τοῖς ἀκρέμοσι· καὶ ἡ ῥίζα κατὰ τὴν πρώτην ἐκβλάστησιν. Ἐν δὲ τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ, καὶ ὀπὸν ἀνίησιν ὅμοιον κόμμει, ἀποθεριζόντων ἐν τῇ ἀνθήσει μέσον τῶν καυλῶν τῶν ἐπιχωρίων, καὶ πυρὶ παραβαλλόντων, ἵνα ὑπὸ τῆς θερμασίας οἱονεὶ ἀφιδρῶσαν ἐκβάλῃ τὸ κόμμι. ἔστι δὲ ἐνεργέστερον τοῦ χυλοῦ πρὸς τὰ ὀφθαλμικὰ τοῦτο.

Additur in vetusto Lacunæ codice ἢ αἰόλιον

V. ἐκθλιβέντων

V. ἐγχυλίζεται

V. χλωρὸν σὺν τοῖς ἀκρέμοσι.

Περὶ Ἱππομαράθρου. Κεφ. πβ΄.

ΙΠΠΟΜΑΡΑΘΡΟΝ, μάραθρόν ἐστιν ἄγριον, μέγα· φέρει δὲ σπέρμα κάχρυϊ ὅμοιον. ῥίζα δὲ ὕπεστιν εὐώδης, ἥτις πινομένη στραγγουρίας ἰᾶται· ἔμμηνά τε ἄγει προστιθεμένη· τὸ δὲ σπέρμα καὶ ἡ ῥίζα κοιλίαν ἱστῆσι πινόμενα, θηριοδήκτοις τε βοηθεῖ, καὶ λίθους θρύπτει καὶ ἴκτερον ἀποκαθαίρει. τῶν δὲ φύλλων τὸ ἀφέψημα πινόμενον γάλα ἄγει, καὶ τὰς ἐκ τοκετῶν γυναῖκας ἀποκαθαίρει. καλεῖται καὶ ἕτερον Ἱππομάραθρον, φύλλα ἔχον στενὰ, μικρὰ, προμήκη· καρπὸν δὲ στρογγύλον πρὸς τὸν τοῦ κοριάνου, δριμὺν, εὐώδη, θερμαντικόν· ἀναλογεῖ δὲ αὐτοῦ ἡ δύναμις τῷ προειρημένῳ, ἀσθενέστερον ἐνεργοῦσα.

Περὶ Δαύκου. Κεφ. πγ΄.

ΔΑΥΚΟΣ, οἱ δὲ, δίρκαιον καλοῦσιν· ὁ μέν τις ἐστὶ Κρητικὸς, μαράθρῳ ἔχων τὰ φύλλα ὅμοια, μικρότερα δὲ καὶ λεπτότερα· καυλὸν σπιθαμιαῖον, σκιάδιον ὅμοιον κοριάννῳ, ἄνθη λευκά· ἐν δὲ τούτοις ὁ καρπὸς δριμὺς, λευκὸς, δασὺς, ἐν τῷ διαμασᾶσθαι εὐώδης· ῥίζα δακτύλου τὸ πάχος, τὸ δὲ μῆκος σπιθαμῆς. γεννᾶται δὲ ἐν πετρώ-

Σπιθαμιαῖος ἐν τῷ Δαυκοειδεῖ ἢ καυλός.

A Comæ autem decoctum bibitum, renũ ac vesicæ vitijs est vtile, quippe quod vrinam excieat. Conuenit & à serpente demorsis, in vino bibitum, ac menses quoque ciet. In febribus nauseam & stomachi ardorem sedat, ex aqua frigida potum. Contritæ verò radices, & cum melle impositæ canũ morsibus medentur.

B Succus caulibus & folijs expressus, & in sole siccatus, oculorũ medicamentis vtiliter additur, quę ad aciem visus excitandam reficiendámve præparantur. Extrahitur & ad eadem valens è recenti semine succus vna cum folijs atque ramulis. Radicibus prætereà prima germinatione succus eodem

C modo exprimitur. Porrò in Iberia quæ ad occidentem spectat, liquorem etiam reddit fœniculum gummi similem. Caulem verò medium dum floret herba demetunt indigenæ, igníque admouent, quò faciliùs vi caloris velut exudãs gummi remittat. Id autem est succo ipso efficacius ad oculorum medicaméta.

D *De Hippomarathro. C. LXXXII.*

HIPPOMARATHRVM, fœniculum est syluestre, procerũ: quod semen profert cachryi simile. Radix autem subest odorata, quę quidẽ bibita stranguriæ medetur, subditáq; menses ciet. Semen porrò & ipsa radix potu ventrẽ sistunt,

E contra venenatorum morsus auxiliantur, calculos comminuunt, & regium morbum expurgant. At haustum foliorum decoctum, & lactis abundantiam facit, & fœminas à partu purgat. Traditur & alterum Hippomarathri genus, folijs angustis, exilibus & oblongis, semine rotũdo ceu coriandri, acri, odorato, &

F excalfaciendi vi prædito. Viribus id antedicto respondet, nisi quòd agit imbecilliùs.

picui. Cæterum

De Dauco. Cap. LXXXIII.

DAVCVM aliqui dircæũ vocant. Ac Creticũ quidẽ folijs est fœniculi similitudine, at minoribus atque tenuioribus, caule dodrantali, vmbella coriãdri, floribus cãdidis:

G atq; inter hos semine acri, albo, hirsuto, ac suauis in mandendo odoris. Radix est digitali crassitudine, & dodrantis longitudine. In saxo-

sis apricísque locis prouenit. Alterum verò genus est apio syluestri simile, aroma olens, acre, odoratum feruentísque gustus. Probatius Creticum. Tertium præterea genus est, foliis coriandri, floribus albis, capite & semine anethi: vmbella verò in capite ceu pastinacæ: semine referta oblongo, ceu cumini, acri. Omnium semen excalfaciendi vim habet. Potum, menses, *partus & vrinas pellit, torminibus liberat, veterémque tussim mitigat. Subuenit & à phalangio demorsis in vino potum, & impositum œdemata discutit. Seminis duntaxat ex alijs vsus est: at ex Cretico & radicis, quippe quæ maximè contra venenatorum iniuriam in vino bibatur.

*vel secundas quas δευτέρια legunt.

A δέσι τόποις, καὶ εὐηλίοις. ὁ δέ τις αὐτῶν ἐστὶ σελίνῳ ἀγρίῳ παραπλήσιος, ἀρωματώδης, δριμὺς καὶ εὐώδης γευομένῳ καὶ πυρώδης· διαφέρει δὲ ὁ Κρητικός. Τὸ δὲ τρίτον εἶδος κορίου φύλλα ἔοικε· καὶ τὰ ἄνθη λευκά· *κεφαλὴν δὲ ἔχει καὶ καρπὸν ὅμοια ἀνήθῳ· ἐφ' ἧς σκιάδιον ἐμφερὲς στα-
B φυλίνῳ· σπέρματος ἐπιμήκους πλῆρες, ὡς κυμίνου, δριμέος. Τὸ δὲ σπέρμα πάντων δύναμιν ἔχει θερμαντικήν. πινόμενον, ἐμμηνίων, ἐμβρύων, καὶ οὔρων ἀγωγόν, καὶ στρόφων ἀπαλλακτικόν, βηχῶν χρονίων θεραπευτικόν· ἀρήγει δὲ καὶ φαλαγγιοδήκτοις ποθὲν σὺν οἴνῳ· διαφορεῖ δὲ καὶ οἰδήματα κατα-
C πλασθέν· ἡ δὲ χρῆσις τῶν μὲν ἄλλων τοῦ σπέρματος μόνον· τοῦ δὲ Κρητικοῦ καὶ τῆς ῥίζης, ἥτις μάλιστα πρὸς τὰ θηρία πίνεται μετ' οἴνου.

Matth. σπέρμα καὶ κεφαλὴν ὁμοίαν.

De Delphinio. Cap. LXXXIIII.

DELPHINIVM surculos emittit ab vna radice duûm dodrantũ altitudine, aut etiã maiores: circa quos exiliũt minuta folia, incisuris diuisa, tenuia, & oblonga, quæ delphinorum effigiem repræsentant: vnde & nomen tractũ est. Flos violæ albæ similis, purpureo colore: semen in siliquis milio proximũ, quo nõ aliud vtilius in vino bibi potest à scorpione percussis. Aiunt & admota herba scorpiones resolui atq; ignauos torpescere: remota vero eadem, sese recolligere. Nascitur in asperis & apricis.

Περὶ Δελφινίου. Κεφ. πδ'.

ΔΕΛΦΙΝΙΟΝ κλῶνας ἀνίησι *διασπιθάμους ἢ καὶ μείζονας, ἀπὸ μιᾶς ῥίζης· περὶ οὓς φυλλάρια ἐπεσχισμένα *λεπτά,
D ἐπιμήκη, *δελφινοειδῆ· ὅθεν καὶ ὠνόμασται. ἄνθος δὲ ὅμοιον λευκοΐῳ, ἐμπόρφυρον· σπέρμα ἐν λοβοῖς κέγχρῳ ἐμφερές· ὃ βοηθεῖ ποθὲν ἐπὶ οἴνῳ σκορπιοπλήκτοις, ὡς οὐδὲν ἕτερον. φασὶ δὲ καὶ τοὺς σκορπίους παρατεθείσης τῆς πόας παραλύεσθαι, *ἀπράκτους τε καὶ ναρκώδεις γίνεσθαι· ὑφαιρουμέ-
E νης δὲ εἰς τὸ αὐτὸ καθιστάναι. φύεται δὲ ἐν τραχέσι καὶ εὐηλίοις τόποις.

V. διασπιθαμιαίους.
V. οὓς λεπτά.
V. caret, licet hæc non malè ad αἰθ... referantur. Dod. ita legit, ἐπιμήκη· ἄνθος δὲ ὅμοιον λευκοΐῳ, ἐμπόρφυρον, δελφινοειδές· ὅθεν καὶ ὠνόμασται· σπέρμα, &c.
V. ad finem vsque caret.

De Delphinio altero. C. LXXXV.

Delphiniũ alterũ, quod alij hyacinthum, Romani bucinum vocãt, superiori quidẽ est simile, at folijs & ramulis longè gracilioribus. Viribus etiamnũ eisdẽ cum antedicto pollet, at non est perinde efficax.

Περὶ Δελφινίου ἑτέρου. Κεφ. πε'.

Δελφίνιον ἕτερον, ὃ οἱ δὲ ὑάκινθον, Ῥωμαῖοι βουκίνους, καὶ αὐτὸ ἐμφερὲς τῷ πρὸ αὐτοῦ, τοῖς δὲ φύλλοις καὶ τοῖς κλωνίοις ἰσχνότερον πολλῷ. δύναμιν ἔχον καὶ αὐτὸ τὴν αὐ-
F τὴν τῷ προειρημένῳ, οὐχ οὕτω δὲ ἐνεργές.

De Pyrethro, seu saliuari herba. Cap. LXXXVI.

PYRETHRVM herba est, quæ caulem foliáq; profert, vti daucum syluestre & fœniculũ: vmbellam verò ceu anethi, circinatæ rotunditatis. Radix longa est, pollicari crassitudine, gustuq; feruidissimo. Pituitã elicit: atq; ideò in dentiũ doloribus decocta in aceto collutione auxiliatur. Pituitam etiã eadem cõmanducata extrahit, & ex

Περὶ Πυρέθρου. Κεφ. πϛ'.

ΠΥΡΕΘΡΟΝ πόα ἐστὶ καυλὸν *αὐξοῦσα καὶ φύλλα ὥσπερ δαῦκος ἄγριος καὶ μάραθρον· σκιάδιον δὲ ὡς ἀνήθου *† τροχοειδές. ῥίζα δακτύλου μεγάλου τὸ πάχος μακρά, γευσαμένῳ πυρωτικωτάτη.
G φλέγματός ἐστιν ἐπισπαστική. διὸ καὶ ταῖς ὀδονταλγίαις βοηθεῖ μετ' ὄξους ἑψηθεῖσα καὶ διακλυζομένη· ἄγει δὲ καὶ φλέγμα διαμασηθεῖσα· συγχριομένη δὲ μετ'

V. αἱ δὲ ἀγλαοῦσιν ... καυλόν.
Dod. legit αἰθοειδές.
V. caret.

ἐλαίου, ἱδρῶτας κινεῖ, ποιοῦσα πρὸς τὰ χρόνια ῥίγη. καὶ πρὸς ἐψυγμένα δὲ ἢ παρειμένα μέρη τοῦ σώματος, ἄκρως ἁρμόζει.

Περὶ Λιβανωτίδος. Κεφ. πζ.

ΛΙΒΑΝΩΤΙΣ διττή, ἡ μέν τις κάρπιμος, ὑπ' ἐνίων δὲ ζέα, ἢ καμψάνεμα καλουμένη· ἧς ὁ καρπὸς κάχρυς καλεῖται· φύλλα δὲ ἔχει μαράθρῳ ὅμοια, ' παχύτερα δὲ καὶ πλατύτερα, τροχοειδῶς ἐπὶ τῆς γῆς ἐστρωμένα, ' εὐώδη· καυλὸν δὲ ὅσον πήχεως καὶ μείζονα, μασχάλας ἔχοντα πολλάς, καὶ ἐπ' ἄκρου σκιάδιον ἐφ' οὗ καρπὸς πολύς, λευκός, ἐοικὼς σφονδύλῳ, περιφερής, γωνίας ἔχων, δριμύς, ῥητινίζων, ἐν δὲ τῷ διαμασᾶσθαι ἐπικαίων τὴν γεῦσιν. ῥίζα δὲ λευκή, εὐμεγέθης, ὄζουσα λιβάνου. Ἡ δὲ ἑτέρα κατὰ πάντα ἐοικυῖα τῇ πρὸ αὐτῆς σπέρμα φέρει πλατύ, μέλαν, ὡς σφονδύλιον, εὐῶδες, οὐ πυρωτικόν, ῥίζαν ἐκ μὲν τῶν ἐκτὸς μέλαιναν, θλασθεῖσαν δὲ λευκήν. Ἡ δὲ λεγομένη ἄκαρπος, κατὰ πάντα ὁμοία οὖσα ταῖς προειρημέναις, οὔτε καυλὸν ἀνίησιν, οὔτε ἄνθος, οὔτε σπέρμα. φύεται δὲ ἐν πετρώδεσι καὶ τραχέσι τόποις. πασῶν δὲ κοινῶς ἡ πόα καταπλασθεῖσα λεία αἱμορροΐδας στέλλει, φλεγμονάς τε τὰς κατὰ δακτύλιον πραΰνει, καὶ κονδυλώματα καὶ χοιράδας, καὶ τὰ δυσέπεπτα τῶν ἀποστημάτων συμπέττει. αἱ δὲ ῥίζαι ξηραὶ σὺν μέλιτι ἕλκη ἀνακαθαίρουσι, καὶ στρόφους ἰῶνται· καὶ θηριοδήκτοις ἁρμόζουσι σὺν οἴνῳ πινόμεναι· ἔμμηνά τε ἄγουσι καὶ οὖρα· διαφοροῦσι δὲ καὶ οἰδήματα παλαιὰ καταπλασσόμενα. ὁ δὲ χυλὸς τῆς ῥίζης καὶ τῆς πόας, ὀξυδερκής, μιγνύμενος μέλιτι καὶ ἐγχριόμενος· ὁ δὲ καρπὸς πινόμενος, τὰ αὐτὰ ποιεῖ. βοηθεῖ καὶ ἐπιληψίαις καὶ ταῖς ἐν θώρακι παλαιαῖς διαθέσεσιν· ἰκτερικοῖς τε, μετὰ πεπέρεως καὶ οἴνου διδόμενος· ἔστι δὲ καὶ ἱδρωτικός, σὺν ἐλαίῳ ἀλειφόμενος· ἁρμόζει καὶ ῥήγμασι, καὶ σπάσμασι, ποδάγραις τε, καταπλασσόμενος λεῖος σὺν αἰρίνῳ ἀλεύρῳ καὶ ὄξει, ἀλφούς τε σμήχει, μιγνύμενος ὄξει δριμυτάτῳ. τῷ σπέρματι δὲ εἰς τὰ * ἀποστήματα χρῆσθαι δεῖ τῆς μὴ τὸ κάχρυ φερούσης λιβανωτίδος. δριμὺ γὰρ ἐκεῖνο καὶ τραχυντικὸν τῆς ἀρτηρίας.

In quibusdam deest.

In quibusdam non legitur.

V. λιβανίζουσα

In vet. ista ad finem vsque capitis non habetur.

A oleo inuncta sudores ciet, contra diuturnos rigores efficax: quin & perfrigeratis resolutisve corporis partibus eximiè conducit.

De Libanotide. C.LXXXVII.

LIBANOTIS duûm est generũ: ac vnum quidẽ frugiferum est, à nonnullis zea aut campsanema di-
B ctum: cuius semẽ cachryz vocatur: folia fœniculi habet, sed crassiora, latioráque, in rotæ speciem humi strata, odoratáq; caulem cubiti altitudine ac etiamnũ maiorẽ, multis concauum alis, ac in cacumine vmbellam, in qua semẽ copiosum, candidum, sphondylio simile, rotundũ, angulosum, acre, ˇ resinosum, ac in
C mandendo linguam exurens: radix alba & prægrãdis, thuris odorẽ habet. Est & genus alterũ antedicto omnino consimile, quod semẽ gerit latum, nigrũ vti sphondylium, odoratũ, minimè feruẽs: ac radice nititur, foris quidẽ nigra, at intus si cõtundatur alba. Quæ verò sterilis libanotis dicitur, penitus antedictarũ
D similitudinẽ refert, at neq; caulem, neque florem, neq; semen profert: in saxosis autẽ & asperis prouenit. Omnium in genere herba trita & imposita hemorrhoïdum profluuia sistit, ac sedis inflãmationes & condylomata lenit. Concoquit & strumas, atque abscessus qui ad maturationẽ ægrè perducuntur. Siccę verò
E radices cum melle vlcera repurgãt. Torminibus quoque medentur, ac venenatorũ morsibus cõueniunt in vino bibitæ: menses itidẽ ac vrinas pellũt, & impositæ œdemata vetusta discutiunt. Tam radicis quàm herbæ succus adiecto melle inunctus oculorum aciem exacuit. Potũ verò semẽ ad eadẽ pollet. Sed & co-
F mitialib9 malis, ac veteribus pectoris vitijs auxilio est: itémque regio morbo laborantibus, cum pipere ac vino exhibitũ. Sudores quoq; mouet cum oleo perunctũ. Prodest & ruptis atque conuulsis, itémque podagris, si cum loliacea farina & aceto tritũ illinatur. Vitiligines etiamnum purgat addito aceto quàm a-
G cerrimo. Ac semine quidem in potionibus vtendum eius libanotidis quæ cachryn non ferat, quippe illud acre est, & arteriam exasperat.

ˇ resinacei odoris

Cæterùm Libanotida tradit Theophrastus cum erica nasci, folijs lactucæ sylvestris, amaræ, at candidioribus & asperioribus: radice vero brevi, quæ potu supernè infernéque purget.

De Cachry. Cap. LXXXVIII.

Cachry vim habet excalfaciendi & vehementer exiccandi: quare commodè smegmatis inseritur: & contra oculorum fluxiones, capiti inspergitur, ita vt tertio die tollatur.

De Libanotide coronaria. Cap. LXXXIX.

Libanotis quam Romani rosmarinum vocant, quáque coronarij vtuntur, virgultis est tenuibus, circa quæ folia exeũt minuta, dẽsa, oblõga & gracilia, subter incana, supernè virentia, gravi odore. Vi porrò excalfactoria pollet, regiúmque morbum sanat, si quis ipsam in aqua decoctam ante exercitationes potui dederit, ac deinde laborantem exercitatũ lavet, illique vinum propinet. Acopis denique gleucinóque vnguento admiscetur.

De Sphondylio. Cap. XC.

SPHONDYLIUM folia quidem habet platano quadantenus similia, ad panacis foliorum figuram accedentia: caules verò cubitali altitudine, aut etiam ampliùs assurgentes, fœniculaceos, semen in cacumine seseli simile, duplex, verùm latius, candidius & magis acerosum, gravis odoris: flores albos, radicem itidem albam, raphani similitudine. Nascitur in palustribus & aquosis. Potum ipsius semen pituitosa per alvum excernit, ac medetur etiam hepaticis, ictericis, orthopnoïcis, comitialibus & vulvæ strangulatui. Profundiore verò somno captos suffitu revocat. Ex oleo commodè irrigatur in capita phreneticorum, lethargicorum, itémque caput dolentium. Cohibet & herpetas cum ruta adhibitum. Radix autem regio morbo laborantibus & hepaticis exhibetur. Circumrasa eadem & indita

A Θεόφραστος δὲ ἱστορεῖ μετὰ τῆς ἐρείκης λιβανωτίδα, θρίδακι ἀγρίᾳ τῇ πικρᾷ ὅμοια φύλλα ἔχουσαν φύεσθαι, ῥίζαν δὲ βραχεῖαν· καθαίρειν δὲ ἄνω καὶ κάτω ταύτην ποθεῖσαν. λευκότερα μέντοι καὶ τραχύτερα τὰ φύλλα τῶν τῆς θρίδακος.

B Περὶ Κάχρυος. Κεφ. πη΄.

Τὸ μὲν Κάχρυ δύναμιν ἔχει θερμαντικὴν, καὶ ξηραντικὴν σφόδρα· ὅθεν ἁρμόζει σμήγμασι μιγνύμενον. πρὸς ῥευματιζομένους ὀφθαλμούς, ἐπὶ τῆς κεφαλῆς ἐμπλασσόμενον, καὶ ἀποσμώμενον μετὰ ἡμέρας τρεῖς. — Aldinus μέν τοι

C Περὶ Λιβανωτίδος. Κεφ. πθ΄. — Hoc loco vetus alter habet caput [illegible].

Λιβανωτὶς ἣν Ῥωμαῖοι καλοῦσι ῥοσμαρῖνουμ, καὶ οἱ στεφανοπλόκοι χρῶνται, ῥάβδοι εἰσὶ λεπταί, περὶ ἃς τὰ φύλλα * λεπτά, πυκνά, ἐπιμήκη καὶ ἰσχνά, ἔνδοθεν λευκά, ἐκ δὲ τῶν ἐκτὸς χλωρά, — Orib. non legit.
D βαρύοσμα. Δύναμιν δὲ ἔχει θερμαντικήν, ἰκτέρου ἰατικήν, ἐάν τις αὐτὴν ἑψήσας ἐν ὕδατι δῷ πρὸ τῶν γυμνασίων πιεῖν, εἶτα * γυμνάζων λούῃ καὶ οἴνῳ ποτίζῃ. μίγνυται δὲ καὶ ἀκόποις καὶ τῷ γλευκίνῳ χρίσματι.

Περὶ Σφονδυλίου. Κεφ. ϙ΄.

E ΣΦΟΝΔΥΛΙΟΝ φύλλα μὲν ἔχει κατὰ ποσὸν ἐοικότα * πλατάνῳ πρὸς τὰ τοῦ πάνακος· καυλοὺς δὲ πηχυαίους ἢ καὶ μείζονας, ἐοικότας μαράθρῳ· * σπέρμα δὲ ἐπ᾽ ἄκρῳ ὅμοιον σεσέλει, διπλοῦν, πλατύτερον δὲ καὶ λευκότερον καὶ ἀχυρωδέστερον, βαρύοσμον· ἄνθη λευκά, ῥίζαν λευκήν, ῥαφανῷ ἐμφερῆ. — Goup. Vulgatã scripturam verã esse ex Plinio facile intelligi potest. V. quidam [illegible] ad marginem, sed perperam. V. [illegible]
F Φύεται δὲ ἐν ἑλώδεσι καὶ ἐνύδροις χωρίοις. ὁ δὲ καρπὸς * αὐτοῦ ποθείς, ἐκκρίνει κατὰ κοιλίαν φλεγματώδη· ἰᾶται δὲ * πινόμενος ἡπατικούς, ἰκτερικούς, ὀρθοπνοϊκούς, ἐπιληπτικούς, καὶ ὑστερικὴν πνῖγα. ὑποθυμιώμενος δὲ ἀνακαλεῖται τοὺς καταφερομένους. σὺν ἐλαίῳ δὲ — Al. [illegible]
G ἐμβρεχομένης τῆς κεφαλῆς, ἁρμόζει φρενιτικοῖς, ληθαργικοῖς, κεφαλαλγοῦσι. * ἐπέχει δὲ καὶ ἕρπητας σὺν πηγάνῳ καταπλασθείς. ἡ δὲ ῥίζα δίδοται ἰκτερικοῖς καὶ ἡπατικοῖς. περιξυσθεῖσα δὲ καὶ ἐντεθεῖσα — V. addit [illegible]

παρατρίβει τύλους σὺν ἐν σύριγξι· τοῦ δὲ A ἄνθους χλωροῦ ὁ χυλὸς πρὸς εἱλκωμένα ὦτα καὶ πυορροοῦντα ἁρμόζει. ἀποτίθεται δὲ ἡλιαζόμενος ὡς τὰ λοιπὰ χυλίσματα.

V. χυλιζόμενος

Περὶ Νάρθηκος. Κεφ. ϙα.

ΝΑΡΘΗΞ, τοῦ πυχλωροῦ ὄντος ἡ ἐντεριώνη πινομένη αἱμοπτοϊκοῖς καὶ κοιλιακοῖς ὠφελεῖ, καὶ ἐχιοδήκτοις δίδο- B ται σὺν οἴνῳ, καὶ τὰς ἐκ ῥινῶν αἱμορραγίας ἐπέχει ἐντιθεῖσα ὡς ἐλλύχνιον. τὸ δὲ σπέρμα στροφουμένοις πινόμενον ὠφελεῖ, καὶ ἱδρῶτας κινεῖ χριόμενον μετ' ἐλαίου. οἱ δὲ καυλοὶ βρωθέντες, κεφαλαλγεῖς εἰσί· ταριχεύονται δὲ καὶ εἰς τὰς ἁλμεύσεις. ὁ γοῦν νάρθηξ καυλὸν ἀναφέρει τρίπηχυν πολ- C λάκις. φύλλα δὲ ἔχει μαράθρῳ ἐμφερῆ, παχύτερα δὲ πολὺ καὶ μείζονα. ἐξ οὗ καὶ τὸ σαγάπηνον γίνεται, κολαπτομένου πρὸς τῇ ῥίζῃ.

Locum legit λέει ἢ ἐντιθεῖσα ὡς ἐλλύχνιον. Vulg. exempl. carent.

V. ἁλμαίας. Aliqui carent: alij ἰστέον γοῦν νάρθηξ, quod probo. Margo addebat· ἡ ῥίζα ἀλεξιτήριον ἰσοφέρεται περὶ θηλ...

Περὶ Πευκεδάνου. Κεφ. ϙβ.

ΠΕΥΚΕΔΑΝΟΣ καυλὸν ἀνίησι λεπτόν, ἰσχνόν, μαράθρῳ ὅμοιον· κόμην δὲ D ἔχει περὶ τὴν ῥίζαν ἱκανὴν καὶ πυκνήν· ἄνθος μήλινον· ῥίζαν μέλαιναν, βαρύοσμον, ἁδράν, μεστὴν ὀποῦ, φύεται ἐν ὄρεσι συσκίοις. ὀπίζεται δὲ τῆς ῥίζης ἁπαλῆς ἀποτεμνομένης μαχαίρᾳ, καὶ τὸ ἀπορρέον εὐθὺς ἐν σκιᾷ τίθεται· ὑπὸ γὰρ τοῦ ἡλίου εὐθέως ἀφανίζεται, ἐν δὲ τῷ συλλέγεσθαι κεφαλαλγίαν ποιεῖ καὶ E σκοτώματα, ἐὰν μή τις προδιαχρίσῃ αὐτοῦ τὰς ῥῖνας ῥοδίνῳ, καὶ τὴν κεφαλὴν προκαταβρέξῃ. ἄχρηστος δὲ γίνεται ὀπισθεῖσα ἡ ῥίζα. ὀπίζονται δὲ καὶ οἱ καυλοὶ καὶ χυλίζονται, καὶ ἡ ῥίζα, ὡς μανδραγόρας· ἧττον δὲ ἐνεργεῖ τοῦ ὀποῦ χυλός, καὶ τάχιον ἐκπνεῖ. ἐνίοτε δὲ εὑρίσκεται περιπεπηγὸς δά- F κρυον, ὅμοιον λιβανωτῷ τοῖς καυλοῖς καὶ ταῖς ῥίζαις προσαποπλασμένον. τοῦ δὲ ὀποῦ διαφέρει ὁ ἐν Σαρδονίᾳ καὶ Σαμοθράκῃ γινόμενος, βαρύοσμος, ὑπόκιρρος, θερμαίνων τὴν γεῦσιν. ἁρμόζει δὲ σὺν ὄξει καὶ ῥοδίνῳ καταχριόμενος, ληθαργικοῖς, φρενιτικοῖς, σκοτωματικοῖς, ἐπιληπτικοῖς, κε- G φαλαλγοῦσι χρονίως, παραλυτικοῖς, ἰσχιαδικοῖς, σπωμένοις· καὶ καθόλου τοῖς περὶ νεῦρα πάθεσι συνεργεῖ χριόμενος μετ' ἐλαίου

V. delet.

V. μηλίζον

Deest in vulg. exempl. Sed ex v. cod. addidimus.

Vulg. exempl. ὀπισθεῖσα. Al. χυλίζεται ἡ ῥίζα

Vulg. exempl. τοῦ χυλοῦ ὁ ὀπός

fistularũ callos exedit. Recentis verò floris succus exulceratis purulẽtisque auribus accommodatur. Cæterùm reliquorũ etiam succorum modo insolatus ad vsum recõditur.

De Ferula. Cap. XCI.

E viridi ferula medulla epota vtilis est hæmoptoicis atque cœliacis: itémque à vipera morsis in vino datur, erumpentémque naribus sanguinem linamenti instar indita sistit. Semen verò potum torminosis auxiliatur: & perunctum ex oleo, sudores ciet. Caules in cibo sumpti capitis dolores faciunt: ijdem muria quoque cõdiuntur. Ferula itaque caulem profert ternûm plerunque cubitorum. Folia verò habet fœniculi, at longè crassiora maioráque. (Sagapenum quoque ex ea proximè radicẽ vulnerata manat.)

De Peucedano. Cap. XCII.

PEVCEDANVM caulem profert tenuem, gracilem, fœniculo similem: comam verò habet circa radicem, copiosam ac densam: florem luteum: radicem nigram, graui odore, crassam, liquoris plenam. Gignitur in montibus opacis. Excipiendi liquoris ratio hæc est: Tenera radix cultello conciditur, statímque qui profluit è plaga liquor in vmbra reponitur. Sub sole siquidem confestim euanescit. Verùm inter colligendum capitis dolorem vertiginémque inducit, nisi quis priùs nares rosaceo perunxerit, eodémque caput irrigauerit. Quæ verò radix liquorem fuderit, deinceps inutilis euadit. Sed & è caulibus vti & è radice & liquor & succus elicitur, haud secus ac è mandragora. At succus liquore inefficacior est, ocyúsque expirat. Interdum etiam priùs concreta reperitur lachryma, thuris similitudine caulibus radicibúsque adhærens. Porrò præfertur liquor qui è Sardinia & Samothrace petitur, odore graui, fuluus, feruénsque gustu. Ex aceto & rosaceo illitus prodest lethargicis, phreniticis, vertiginosis, comitialibus, diuturno capitis dolore vexatis, paralyticis, ischiadicis & cõuulsis. Ac in vniuersum omnibus neruorum vitijs, ex oleo & aceto con-

uenienter illinitur. Datur & olfactandus in strangulatu vuluæ, paritérque profundiore somno sopitos excitat. Suffitu quoque serpentes fugat. Quin & aurium dolori cum rosaceo vtiliter instillatur,& ad mitigandum dentium dolorem earum cauernis inditur. Sed & contra tussim efficaciter ex ouo assumitur, itémque spirandi difficultatibus,torminibus, inflationibúsque subuenit, ventrem leniter emollit, lienem absumit, ac difficiles partus egregiè adiuuat. Facit & potus ad vesicæ renúmque cruciatus ac distensiones, vuluámque aperit. Radix ad eadem vtilis est, at inefficacior: eius verò decoctum bibitur. Arida quoque trita sordida purgat vlcera,ossium squamas extrahit,veteráque vlcera cicatrice obducit.In cerata denique & malagmata calfacientia additur. Radicem eligito recentem,minimè cariosam, solidam,& odoris plenam. Cæterùm succus ad potiones amaris amygdalis,aut ruta, aut pane calido, aut anetho resoluitur.

A καὶ ὄξους. ἔστι δὲ καὶ ὀσφραντικὸς πνιγὸς ὑστερικῆς, καὶ τῶν καταφερομένων ἀνακλητικός· διώκει δὲ θηρία θυμιώμενος· ἁρμόζει δὲ καὶ πρὸς ὠταλγίαν, ἐνσταζόμενος σὺν ῥοδίνῳ· καὶ πρὸς *ὀδονταλγίαν, ἐντιθέμενος βρώμασι. V. μυαλγίας ποιεῖ δὲ καὶ πρὸς βῆχας μετ' ὠοῦ λαμβανόμενος, δυσπνοίαις τε καὶ στρόφοις καὶ
B πνευματικαῖς διατάσεσιν ἁρμόζει, κοιλίαν τε ἠπίως μαλάσσει, καὶ σπλῆνα τήκει, καὶ δυστοκίαις ἐξόχως ἀρήγει· πρός τε πόνους καὶ διατάσεις κύστεως καὶ νεφρῶν πινόμενος ποιεῖ· ἀναστομοῖ δὲ καὶ ὑστέρας. χρησίμη δὲ καὶ ἡ ῥίζα πρὸς τὰ αὐτά, ἔλαττον ἐνεργοῦσα· πίνεται δὲ αὐτῆς τὸ ἀφέψημα. καθαίρει
C δὲ λεία ξηρὰ τὰ ῥυπαρὰ ἕλκη, καὶ λεπίδας ἀπὸ ὀστέων ἀφίστησι, καὶ *ἐπουλοῖ τὰ V. ἀπουλοῖ παλαιά· μίγνυται δὲ καὶ κηρωταῖς καὶ μαλάγμασι θερμαντικαῖς. ἐκλέγου δὲ τὴν πρόσφατον, ἄβρωτον, στερεάν, πλήρη ὀσμῆς. λύεται δὲ ὁ ὀπὸς εἰς τὰ ποτήματα ἀμυγδάλοις πικροῖς, ἢ πηγάνῳ, ἢ ἄρτῳ θερ-
D μῷ, *ἢ ἀνήθῳ. Quidam carent

De Gith, seu Melanthio. Cap. XCIII.

MELANTHIVM frutex est exiguus,surculis tenuibus,in binûm dodrantum altitudinem, aut etiam amplius,assurgẽs,folijs veluti senecionis, at multò tenuioribus, capitulo in cacumine paruo ceu papaueris, oblongo, intrinsecus dissepimentis quibusdam prædito: intra quæ semen latet nigrum, acre & odoratum, quod panibus inspergitur. Caput dolentibus illitum fronti subuenit, itémque incipientibus oculorũ suffusionibus tritum cum irino & infusum naribus. Tollit & lentigines, lepras veteréſque tumores ac duritias, ex aceto illitum: circumscarificatos clauos excutit cum vrina vetere impositum. Dentium quoque dolori cum aceto & tæda coctum collutione prodest. Teretes itidem lumbricos expellit illito ex aqua vmbilico. Tritum verò linteolo illigatum & olfactum destillatione laborantes adiuuat. Pluribus autem diebus continuis sumptum menses vrináſque ciet, &

Περὶ Μελανθίου. Κεφ. ϟγ'.

ΜΕΛΑΝΘΙΟΝ θαμνίσκος ἐστὶ λεπτόκαρφος, διπίθαμος, ἢ καὶ μείζων, φύλλα ἔχων **μικρὰ ὥσπερ ἠριγέροντος, Al. λεπτά, μικρότερα δὲ λεπτότερα δὲ πολλῷ, καὶ κεφάλιον ἐπ' ἄκρου
E ἔχον, *μικρόν, ὡς μήκωνος, ἐπιμηκές, ἔχον Alter habet λεπτόν κατὰ τὰ ἐντὸς διαφράγματα· ἐν οἷς καὶ τὸ σπέρμα μέλαν, δριμύ, εὐῶδες, *καταπλασσόμενον εἰς ἄρτους. Ἁρμόζει δὲ καὶ κεφαλαλγοῦσι καταπλασσόμενον τοῦ μετώπου, καὶ τοῖς ἀρχομένοις ὑποχεῖσθαι ἐγχεόμενον εἰς τὰς ῥῖνας μετ' ἰρίνου λεῖον· αἴρει
F δὲ καὶ φακόν, καὶ λέπρας καὶ οἰδήματα παλαιὰ καὶ σκληρίας, σὺν ὄξει καταπλασθέν· καὶ ἥλους *περιχαραχθέντας ἐκτινάσσει, σὺν V. περιχαραχθέντας *οἴνῳ παλαιῷ ἐπιτεθέν· ὠφελεῖ δὲ καὶ ὀδονταλγίαν μετ' ὄξους καὶ *δᾳδίου ἑψηθὲν καὶ Al. ῥητίνου. vt & in capite de alio διακλυζόμενον· ἐκτινάσσει δὲ καὶ ἕλμινθας στρογγύλας καταπλασσομένου τοῦ ὀμφαλοῦ μεθ' ὕδατος. λεανθὲν δὲ καὶ ἐν
G ἀποδέσμῳ δεθὲν καὶ ὀσφραινόμενον, τοὺς καταρροϊζομένους ὠφελεῖ· πινόμενον δὲ πλείους ἡμέρας, ἔμμηνα καὶ οὖρα *καὶ Lacuna legit in v. cod. καὶ γάλα καὶ ἔμμηνα ἄγει. [illegible] δὲ καὶ δύσπνοιαν μετ' [illegible] ποθέν.

Al. νίτρου

γάλα δὲ ἄγει. παύει καὶ δύσπνοιαν μετὰ * οἰνίτρου ποθέν. βοηθεῖ δὲ καὶ φαλαγγιοδήκτοις ὅσον < α. μεθ' ὕδατος ποθέν. διώκει δὲ καὶ ἑρπετὰ θυμιώμενον. φασὶ δὲ καὶ ἀναιρεῖν αὐτὸ πλεῖον ποθέν.

Περὶ Σιλφίου. Κεφ. ϙδ΄.

ΣΙΛΦΙΟΝ γεννᾶται ἐν τοῖς κατὰ Συρίαν καὶ Ἀρμενίαν καὶ Μηδίαν τόποις, καὶ Λιβύην. οὗ ὁ καυλὸς μάσπετον καλεῖται ἐμφερὴς νάρθηκι. φύλλα δὲ ἔχει σελίνῳ ὅμοια, σπέρμα πλατύ. ῥίζα δὲ θερμαντική, δύσπεπτος, φυσώδης, κύστεως κακωτική. ἆται δὲ χοιράδας καὶ φύματα, ἀναληφθεῖσα κηρωτῇ ἢ καὶ ὑπώπια, σὺν ἐλαίῳ * καταπλασθεῖσα· σὺν ἰρίνῃ δὲ κηρωτῇ ἢ κυπρίνῃ ἰσχιαδικοῖς ἁρμόζει. τὰς περὶ δακτύλιόν τε ἐξοχὰς αἴρει, σιδίῳ σὺν ὄξει ἑψηθεῖσα καὶ καταπλασθεῖσα. θανασίμων τέ ἐστιν ἀντιφάρμακον πινομένη· εὔστομός τε ἐστὶ μιγνυμένη καὶ εἰς βάμματα καὶ ἅλας. συλλέγεται δὲ ὁ ὀπὸς ἐγχαρασσομένων τῆς ῥίζης καὶ τοῦ καυλοῦ. διαφέρει δὲ αὐτοῦ ὁ ὑπέρυθρος καὶ διαυγής, σμυρνίζων, καὶ ἐν τῇ ὀσμῇ εὔτονος, μὴ πρασίζων, μηδὲ ἀπηνὴς πρὸς τὴν γεῦσιν τῇ * γεύσει, εὐχερῶς τε διειμένος ἐπὶ τὸ λευκὸν χρῶμα. ὁ μέν τοι Κυρηναϊκὸς κἂν ἐπ' ὀλίγον τις αὐτοῦ γεύσηται, ἰκμάδα κινεῖ καθ' ὅλον τὸ σῶμα· τῇ τε ὀσμῇ προσηνέστατος· ὥστε γευσαμένῳ τὸ στόμα μὴ δὲ πνεῖν εἰ μὴ ἐπ' ὀλίγον. ὁ δὲ Μηδικὸς καὶ Συριακὸς τῇ δυνάμει εἰσὶν ἀσθενέστεροι, καὶ βρωμωδεστέραν ἔχουσι τὴν ὀσμήν. δολοῦται δὲ πᾶς ὀπὸς πρὸ τοῦ ξηρανθῆναι, σαγαπηνοῦ μιγνυμένου, ἢ ἀλεύρου ἐρεγμίνου· ὅπερ διακρινεῖς τῇ γεύσει καὶ τῇ ὀσμῇ καὶ τῇ ὄψει καὶ τῇ διέσει. ἔνιοι δὲ τὸν μὲν καυλὸν σίλφιον ἐκάλεσαν, τὴν δὲ ῥίζαν μαγύδαριν, τὰ δὲ φύλλα μάσπετα. πρακτικώτατος δέ ἐστιν ὁ ὀπός, εἶτα τὰ φύλλα, εἶτα ὁ καυλός. ἔστι δὲ φυσώδης, καὶ δριμύς, ἀλωπεκίας θεραπεύων, σὺν οἴνῳ καὶ πεπέρει, καὶ ὄξει καταχριόμενος· ὀξυδερκίας τε ποιητικός, καὶ ἀρχομένης ὑποχύσεως διασκεδαστικὸς σὺν μέλιτι ἐγχριόμενος· πρὸς ὀδονταλγίας τε ἐντίθεται εἰς τὰ βρώματα, καὶ περιτίθεται σὺν λιβανωτῷ * ἐγχεισθεὶς εἰς ὀθόνιον, καὶ διακλύζεται σὺν ὑσσώ-

Orib. addit φυλλάδας ὃ καλεῖται μαγύδαρις. Sic habet vterq; codex; teste ou pylo. at in vulg. exempl. desideratur.
V. quidam habet φυσωδεστέρας οὐσίας.
V. vsque ad θανασίμων caret.
V. προσδεχομένης
In vet. cod. additum legit Lacuna ἐγχειόδης.

A lac auget. Leuat & ſpirandi difficultatem addito nitro potum: auxiliatúrque phalangiorum morſibus ex aqua drachmæ pondere bibitum. Incenſum quoque ſerpentes fugat. Sed & ipſum tradunt largiùs epotum enecare.

De Silphio. Cap. XCIIII.

B SILPHIVM ſeu laſerpitium circa Syriám, Armeniam, Mediam & Libyam naſcitur. Huius caulis ferulaceus maſpetum appellatur: folia ſunt apio ſimilia, ſemen verò *latum. Radix excalfacit, ægrè concoquitur, inflationes facit, ac veſicæ quoque noxia eſt. Strumis atque tuberculis cerato excepta, & ſugillatis cũ oleo illita medetur. Iſchia- C dicis cum irino aut cyprino cerato conuenit: excreſcentia circa ſedem tollit, tegmini mali punici incocta cum aceto & impoſita: venenis eadem pota reſiſtit: necnon & intinctibus ſalibúſque admiſta ori grata eſt. Colligitur & liquor è radice atque caulibus inciſis. Præfer- D tur is modicè ruber atque tranſlucens, myrrhæ æmulus, odoréque valens, minimè porraceus, neque ſaporis immitis & aſperi: qui denique dum liqueſcit ac diluitur, facilè albeſcit. At Cyrenaicus etiamſi tantillum quis ipſum deguſtauerit, madorem toto corpore ciet, éſtque odore blandiſſimo: adeò vt ne os E quidem guſtanti niſi paululum ſpiret. Medicus verò & Syriacus viribus minùs valent, & magis viroſum reddunt odorem. Porrò liquor omnis anteaquam ſicceſcat, addito ſagapeno aut *fabæ lomento adulteratur: quod maleficium guſtu, odore, viſu, ac diluendo quoque deprehendes. Sunt verò qui caulem, F ſilphium: radicem, magudarim: & folia, maſpeta vocauerint. Efficaciſſimus eſt liquor, mox folia, poſtremò caulis. Eſt autem ille acris, inflationéſque facit, alopecias cum vino, pipere & aceto perunctas ſanat: cum melle illitus oculorum aciem exacuit, incipientémque ſuffuſionem diſſipat. In dentium do- G loribus cauernis ipſorum inditur, aut cum thure linteolo illigatus circumponitur, aut denique cum hyſ-

Vl. foliaceum
vel fabæ fracta

sopo & ficis in posca decoctis colluitur. A rabioso cane demorsis prodest vulneribus impositus, itidémque valet ad omnium quæ virus eiaculantur animantium, venenatorúmque telorum ictus, seu potus, seu etiam illitus. Scorpionum plagis oleo dilutus circumlinitur: gangræna obsessis partibus prius scarificatis infunditur: necnon & carbunculis cum ruta, nitro & melle, aut etiam per se: clauos callósque priùs circumcisos extrahit, siquidem cerato siccorúmve ficuum carne subactus antea fuerit. Sanat & lichenas recentes ex aceto: itidémque sarcomata & polypos, si cum atramento sutorio aut ærugine per dies aliquot illinatur: verum extuberantia forfice extrahi oportet. Arterijs quoque longo tempore exasperatis opitulatur: ac vocem quæ derepente irraucuerit aqua dilutus sorbitione confestim expedit. Quin & vuam illitus cum melle reprimit, ac in anginis ex aqua mulsa vtiliter gargarizatur. Vescentibus lætiorem colorem conciliat, ad tussim commodè in sorbili ouo datur, itémque pleuriticis in sorbitionibus. Ictericis verò & hydropicis cum aridis ficis vtiliter exhibetur. Rigores etiam cum pipere ac thure in vino potus discutit. Tetano opisthotonóque distentis oboli pondere deuorandus datur: hærentes gulæ hirudines gargarizatus cum aceto decutit. Quibus haustum lac intus concreuerit, & comitialib*, sumptus ex aceto mulso succurrit. Potus verò cum pipere & myrrha menses ciet: cœliacos in acino vuæ sumptus adiuuat: denique cum lixiuio potui datus repentè conuulsis ruptísque prodest. Ad potiones autem amygdalis amaris, ruta aut pane calido dissoluitur. Cæterùm foliorum succus eadem præstat, at liquore multò inefficaciùs. Estur porrò vtiliter cum aceto mulso ad purgandas fauces, maximè verò cùm suppressa interceptáve vox est: vescuntur & ipso cum lactucis, erucæ loco. Sed & altera fertur magudaris in Lybia nasci, radix laserpitio similis, at

A πῳ, καὶ σύκοις ἀφεψημένοις σὺν ὀξυκράτῳ. καὶ ἐπὶ λυσσοδήκτων δὲ ὠφελεῖ ἐπιτιθέμενος τοῖς τραύμασι, καὶ ἐπὶ τῶν ἰοβόλων ζώων πάντων καὶ τῶν φαρμακωδῶν τοξευμάτων, ἐγχριόμενος καὶ πινόμενος· ἐπὶ δὲ σκορπιοπλήκτων ἐλαίῳ διεθεὶς περιχρίεται, καὶ ἐπὶ γαγγραινουμένων *προκατακεχαραγμένων ἐνίεται· B πρός τε ἄνθρακας μετὰ πηγάνου καὶ νίτρου καὶ μέλιτος, ἢ καθ' ἑαυτόν, ἥλους τε καὶ τύλους αἴρει προπεριχαραχθέντας, προμαλαχθεὶς κηρωτῇ ἢ σύκων ξηρῶν τῷ ἐντὸς θεραπεύει καὶ λειχῆνας προσφάτους σὺν ὄξει. σαρκώματα δὲ καὶ πολύποδας μετὰ *χαλκάνθης ἢ ἰοῦ διαχριόμενος C ἐπὶ ἡμέρας τινάς· ἐπισπᾶται τὰς ἐξοχὰς σὺν σαρκολαβίδι. ἀρήγει δὲ καὶ βρόγχων χρονίαις τραχύτησι· φωνήν τε αἰφνιδίως δασυνθεῖσαν ὕδατι διεθεὶς καὶ ἐπιρροφηθεὶς, αὐτίκα ἀποκαθαίρει· *κίονάς τε στέλλει σὺν μέλιτι διαχριόμενος· συνάγχαις τε ἀναγαργάρισμα μετὰ μελικράτου ὠφέλιμον. D εὐχρουστέρους ποιεῖ λαμβανόμενος ἐν διαίτῃ· βηχί τε ἁρμόζει ἐν ᾠῷ ῥοφητῷ διδόμενος· πλευριτικοῖς τε ἐν ῥοφήμασιν. ἰκτερικοῖς τε καὶ ὑδρωπικοῖς ὠφελίμως δίδοται μετὰ σύκων ξηρῶν. λύει καὶ ῥίγη σὺν πεπέρει καὶ *λιβανωτῷ *ποθεὶς, καὶ οἴνῳ. τετανικοῖς τε καὶ ὀπισθοτονικοῖς ὀβολοῦ ὁλκὴν περιπλάσσας, δίδου καταπίνειν. E βδέλλας δὲ τὰς προσισχομένας τῇ καταπόσει, ἀναγαργαριζόμενος μετ' ὄξους ἀποβάλλει· καὶ τοῖς γάλα τεθρομβωμένον ἔνδον *ποιοῦσι· καὶ ἐπιληπτικοῖς μετ' ὀξυμέλιτος ληφθεὶς βοηθεῖ· ποθεὶς δὲ σὺν πεπέρει καὶ σμύρνῃ, καταμήνια ἄγει· F κοιλιακούς τε ἐν ῥαγὶ λαμβανόμενος σταφυλῆς ὠφελεῖ· μετὰ δὲ κονίας ποθεὶς, ὠφελεῖ τὰ αἰφνίδια σπάσματα, ῥήγματα. διαλύεται δὲ εἰς τὰ πόματα ἀμυγδάλοις πικροῖς, ἢ πηγάνῳ, ἢ ἄρτῳ θερμῷ. ὁ δὲ ὀπὸς τῶν φύλλων τὰ αὐτὰ μὲν ποιεῖ, παραπολὺ δὲ ἔλασσον. ἐσθίεται δὲ μετ' ὀ- G ξυμέλιτος ἁρμόζων *πρὸς ἀρτηρίαν, μάλιστα δὲ ἀποκοπεῖσαν ἤχοις· χρῶνται δὲ αὐτῷ καὶ μετὰ θριδάκων ἐσθίοντες ἀντὶ εὐζώμου.

Legit in antiquo Lacuna, μετὰ χαλκοῦ ἄνθους.

Legit Lac. in v. cod. σὺν πηγάνῳ. In vet cod. posterius καὶ οἴνῳ hoc loco legitur.

Addit Orib. ἢ μέλιτι ἢ ὕδατι

Alter τοῖς ... ἀρτηρίας

Λέγεται δὲ καὶ ἑτέρα μαγύδαρις γίνεσθαι ἐν Λιβύῃ, ῥίζα παρεμφερὴς σιλφίῳ,

ἧττον δὲ παχεῖα, δριμεῖα καὶ χαύνη, καὶ ὀπὸν μὴ ἔχουσα· ποιεῖ δὲ τὰ αὐτὰ τῷ σιλφίῳ.

Περὶ Σαγαπηνοῦ. Κεφ. ϟέ.

ΣΑΓΑΠΗΝΟΝ ὀπός ἐστι νάρθηκοειδοῦς, γεννωμένης ἐν Μηδίᾳ. διαφέρει δὲ αὐτοῦ τὸ διαυγές, ἔξωθεν μὲν κιῤῥόν, ἐκ δὲ τοῦ ἔνδον λευκόν, ὄζον μεταξὺ ὀποῦ σιλφίου καὶ χαλβάνης, δριμὺ ἐν τῇ γεύσει. ποιεῖ δὲ πρὸς θώρακος καὶ πλευρᾶς πόνον, ῥήγματα, σπάσματα, βῆχας χρονίους· πάχη τὰ ἐν πνεύμονι ἀνακαθαίρει. δίδοται δὲ καὶ ἐπιληπτικοῖς, ὀπισθοτονικοῖς, σπληνικοῖς, παραλυτικοῖς, κατεψυγμένοις, περιοδικοῖς πυρετοῖς ἐν πόμασι, καὶ ἐν συγχρίσμασι δὲ ὠφελίμως προσάγεται· ἄγει καὶ ἔμμηνα, καὶ ἔμβρυα φθείρει πινόμενον μεθ' ὑδρομέλιτος. ἀρήγει καὶ θηριοδήκτοις μετ' οἴνου λαμβανόμενον· διεγείρει καὶ ὑστερικῶς πνιγομένας μετ' ὄξους ὀσφραινόμενον. οὐλάς τε ἀποσμήχει τὰς ἐν ὀφθαλμῷ, καὶ ἀμβλυωπίας καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις καὶ ὑποχύματα. διαλύεται δὲ ὡς ὁ ὀπός, πηγάνῳ ἢ ὕδατι καὶ πικροῖς ἀμυγδάλοις, ἢ μέλιτι ἢ ἄρτῳ θερμῷ.

Περὶ Εὐφορβίου. Κεφ. ϟϛ'.

ΕΥΦΟΡΒΙΟΝ, δένδρον ἐστὶ ναρθηκοειδὲς Λιβυκόν, γεννώμενον ἐν τῷ κατὰ Μαυρουσιάδα *Τμώλῳ, ὀποῦ μεστὸν δριμυτάτου· ὃν δεδοικότες οἱ τῇδε ἄνθρωποι συλλέγουσι διὰ τὸ ἐπιτεταμένον τῆς πυρώσεως. κοιλίας γοῦν προβατείας πεπλυμένας περιδήσαντες τὸ δένδρον, μακρόθεν ἀκοντίοις διαιροῦσιν αὐτοῦ τὸν καυλόν. εὐθέως δὲ ὡς ἔκ τινος ἀγγείου πολὺς ἀποχεῖται ὀπὸς εἰς τὰς κοιλίας. καὶ ἀποῤῥαίνεται δὲ καὶ εἰς τὴν γῆν ἐξακοντιζόμενος. ἔστι δὲ δύο γένη τοῦ ὀποῦ· ὁ μὲν διαυγὴς ὡς σαρκοκόλλα, κατὰ μέγεθος ὀρόβου· ὁ δέ τι ἐν ταῖς κοιλίαις ὑελώδης καὶ συνεστώς. δολοῦται δὲ καὶ τῇ σαρκοκόλλῃ καὶ " κόλλῃ μιγνυμέναις. ἐκλέγου δὲ τὴν διαυγῆ καὶ δριμεῖαν· δυσδοκίμαστος δέ ἐστιν ὁ τῇ γεύσει λαμβανόμενος, διὰ τὸ ἅπαξ ἁψαμένης τῆς γλώττης ἐπιμένειν τὴν πύρωσιν ἐφ' ἱκανὸν χρόνον,

Mss. legit καλόν.

Add. vet. καὶ καθαρτικοῦ

Legit Lacuna in antiquo καὶ κόμμι, quam lectionem sibi perplacere annotat.

A minùs crassa, acris verò ac fungosa, nullóque prægnans succo: eiusdem tamen cum laserpitio facultatis.

De Sagapeno. Cap. XCV.

SAGAPENVM ferulaceæ herbę liquor est, quę quidem in Media nascitur. Præfertur id quod translucet, foris quidem fuluo, in-B tus verò albo colore, medio inter laser & galbanum odore, acríque gustu. Prodest pectoris laterísque dolori, ruptis, conuulsis, tussibus vetustis, humorésque crassos pulmoni molestos expurgat. Datur & comitialibus, opisthotonicis, lienosis, paralyticis, perfrigeratis, & con-C tra febres per circuitum repetentes in potu, & ad vnguenta quoque vtiliter adhibetur. Sed & menses trahit, ac fœtus enecat cum aqua mulsa potum. Medetur & venenatorum morsibus ex vino sumptum: olfactum etiamnum ex aceto eas quæ ab vtero strangulantur, excitat. Oculorum cicatrices, he-D betudines offusámque pupillis caliginem, suffusionésque detergit. Cæterùm ceu laser ruta, aqua & amaris amygdalis, aut melle panéve calente resoluitur.

De Euphorbio. Cap. XCVI.

EVPHORBIVM Libyca arbor est, ferulæ speciem habens: quæ-E quidé in Atlante Mauritaniæ monte nascitur: acerrimo referta liquore, quem propter eximium feruorem non citra metum incolæ ita colligunt. Ouillos ventres lotos arbori circumligant, & è longinquo ipsius caudicem contis hastilibúsve vulnerant, confestímque è F plaga ceu ex vase quodam copiosus liquor in subditos ventriculos effluit: pars etiam humi præ eruptionis impetu spargitur. Sunt porrò liquoris duo genera: vnum sarcocollæ modo pellucidum, erui magnitudine, alterum in ventriculis quibus excipitur coit, vitri effigie. Adulteratur verò sarcocollæ & glu-G tini mixtione: sed eligendum translucens & acre. Difficile autem est quod è gustu petitur saporis experimentum: quippe cum leui linguæ contactu os accensum diu detineat,

De Typha. Cap. CXXXIII.

TYPHA folium profert cyperidi ſimile, caulem læuem & æquabilem, quem in cacumine flos ambit denſus, quique in pappos ſoluitur. Eum aliqui paniculam nominant. Huius flos vetere ſuillo adipe loto exceptus ambuſtis medetur. Gignitur autem in paludibus & aquis ſtagnantibus.

Περὶ Κιρκαίας. Κεφ. ρλδ'.

ΚΙΡΚΑΙΑ, ἣν δὲ δίρκαιαν καλοῦσι· τὰ μὲν φύλλα ἔχει στρύχνῳ ὅμοια κηπαίῳ, παραφυάδας δὲ πολλάς· ἄνθη μέλανα, μικρὰ, πολλά· καρπὸν δὲ κεγ- F χροειδῆ, ἐν τισιν οἱονεὶ κερατίοις· ῥίζας σπιθαμιαίας γ' ἢ δ'. λευκὰς, εὐώδεις, θερμαντικάς. μάλιστα δὲ ἐν τισι πετρώδεσι φύεται τόποις καὶ εὐπνοίαις εὐηλίοις. ταύτης ἡ ῥίζα ὅσον * μναῖ δ'. θλασθεῖσα, καὶ βραχεῖσα ἡμέραν καὶ νύκτα ἐν οἴνου γλυκέως κοτύλαις ς'. καὶ ποθεῖσα G ἡμέρας γ'. ὑστέρας ἀποκαθαίρει. ὁ δὲ καρπὸς γάλα κατασπᾷ ἐν ῥοφήμασι λαμβανόμενος.

V. quadã margo [illegible]
Addit Lacuna ex vet. cod. καὶ [illegible].
V. [illegible]
Addit Lac. ex v. cod. [illegible]

De Circæa. Cap. CXXXIIII.

CIRCÆA quam dircæam aliqui vocant, folia gerit hortenſis ſolani, ac propagines crebras: flores nigros, puſillos, numeroſos: ſemen milij figura, quibuſdam veluti corniculis inuolutum: radices dodrantales, ternas quaternáſue, albas, odoratas, & excalfaciendi vi præditas. Naſcitur maximè locis petroſis & apricis perflabilibus. Radix vnciarum quatuor pondere tuſa, & in vini dulcis heminis ſex diem noctémque macerata, triduóque bibita, vuluam expurgat. At ſemen in ſorbitionibus aſſumptum lactis vbertatem præſtat.

De OEnan-

De OEnanthe. Cap. CXXXV.

OENANTHEN alij leucanthon nominăt. Folia edit pastinacæ: flores candidos: caulē crassum, palmi altitudine: semen atriplicis: radicem denique magnam, in multa rotunda capitula extuberantem. Nascitur in petris. Semen, caulis ac folia, ad secundas pellendas cum vino mulso propinantur. Ipsa quoq; radix è vino ad stranguriam regiúmque morbum vtilis.

De Conyza. Cap. CXXXVI.

CONYZA quædam parua vocatur, odore præstantior: maior altera, quæ frutice altior est, foliísque latioribus atque graueolens. Vtriusque folia oleæ similia, at hirsuta & pinguia. Et maioris quidem conyzæ caulis in binûm cubitorum altitudinem assurgit, minoris vero, pedem æquat. Flos squalidus est, lutei coloris, & subamarus, ac in pappos abit: radices autē superuacuæ. Frutex cum folijs substratu suffitúque venenatas bestias fugat, culices abigit, ac pulices quoque necat. Folia vtiliter imponŭtur serpentiū morsibus, tuberculis atque vulneribus. Flores etiam ac folia ad mēses partúsque pellendos in vino bibuntur: itémque contra stranguriam, tormina, morbúmque regium. Eadem ex aceto pota, comitiáles adiuuant. Quin & decoctum insessu vuluę vitijs medetur, menséſque purgat. Subditus autem succus abortū infert. Sed & herba ex oleo perun͡cta, contra rigores est efficax. Tenuior verò, etiam capitis dolores imposita sanat. Est & tertium conyzæ genus, caule crassiore molliorēque, folijs mediæ inter maiorem & minorem amplitudinis. Minimè autem pinguis ea est, at odore longè grauior, atque adeò iniucundior simul & inefficacior. Locis aquosis prouenit.

vel friabilis

De Hemerocalle. Cap. CXXXVII.

HEMEROCALLES caulē foliáq; habet lilij, sed porri modo virētia. Flores in singulis scapi propaginibus terni quaternive erūpūt, lilij diuisura, cùm dehiscere cœpe-

A Περὶ Οἰνάνθης. Κεφ. ρλέ.

ΟΙΝΑΝΘΗ, οἱ δὲ λευκάνθον καλοῦσι· τὰ μὲν φύλλα ἔχει ὥσπερ σταφυλῖνος· ἄνθη δὲ λευκά· καὶ καυλὸν παχὺν, σπιθαμιαῖον· καρπὸν δὲ ὥσπερ ἀτραφάξιος· ῥίζαν μεγάλην, κεφαλὰς ἔχουσαν πλείονας, στρογγύλας. φύεται ἐν πέτραις. Ταύτης ὁ B καρπὸς καὶ ὁ καυλὸς καὶ τὰ φύλλα, πίνεται πρὸς δευτέρων ἐκβολὴν σὺν οἰνομέλιτι. ἡ δὲ ῥίζα σὺν οἴνῳ πρὸς στραγγουρίας ἁρμόζει. καὶ ἴκτερον.

Hæc non leguntur in Ald. cod. nisi inter notha.

Περὶ Κονύζης. Κεφ. ρλϛ'.

ΚΟΝΥΖΑ, ἡ μέν τις μικρὰ καλεῖται, εὐωδεστέρα οὖσα· ἡ δὲ μείζων, ὑπερέχουσα τῷ θάμνῳ, καὶ τοῖς φύλλοις πλατυτέρα, C καὶ βαρύοσμος. ἀμφότεραι δὲ προσεοίκασι τοῖς φύλλοις ἐλαίᾳ. ἔστι δὲ δασέα ταῦτα καὶ λιπαρά· ὕψος δὲ τοῦ καυλοῦ ἡ μὲν μείζων, δύο πηχῶν ἔχει· ἡ δὲ ἐλάττων, ποδός· ἄνθος ψαφαρὸν, μήλινον, ὑπόπικρον, ἐκπαππούμενον· ῥίζαι δὲ ἄχρηστοι. Δύναται δὲ ὁ θάμνος ὑποστρωννύμενος σὺν D τοῖς φύλλοις καὶ θυμιώμενος, θηρία διώκειν, καὶ κώνωπας ἀπελαύνειν· κτείνει δὲ καὶ ψύλλας· καταπλάσσεται δὲ τὰ φύλλα ὠφελίμως ἐπὶ ἑρπετοδήκτων καὶ φυμάτων, καὶ τραυμάτων. καὶ πίνεται σὺν οἴνῳ τὸ ἄνθος καὶ τὰ φύλλα πρὸς καταμηνίων ἀγωγὴν καὶ ἐμβρύων ἐκβολὴν, καὶ στραγγουρίαν, καὶ στρόφους E καὶ ἴκτερον· μετ' ὄξους δὲ ἐπιληπτικοὺς πινόμενα ὠφελεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν ἐν καθίσματι, τὰ ἐν μήτρᾳ θεραπεύει, καὶ ἔμμηνα ἀποκαθαίρει. ὁ δὲ χυλὸς προστεθεὶς ἐκτρωσμοὺς ποιεῖ· ποιεῖ δὲ καὶ πρὸς ῥίγη συγχριομένη ἡ πόα μετ' ἐλαίου. ἡ δὲ λεπτὴ καὶ κεφαλαλγίας καταπλασσομένη ἰᾶται. Γί- F νεται καὶ τρίτον εἶδος κονύζης. ἔστι δὲ καυλῷ παχυτέρα καὶ μαλακωτέρα, τοῖς δὲ φύλλοις μείζων τῆς λεπτῆς, ἐλάττων δὲ τῆς μείζονος, οὐ λιπαρὰ, βαρυοσμοτέρα δὲ πολλῷ καὶ ἀηδεστέρα καὶ ἀπρακτοτέρα. φύεται δὲ ἐν ἐφύδροις.

V. ἀοίκασι

V. ὑπόμικρον

Addit Lacuna ex vet. cod. καὶ τὸ σπέρμα.

A ter pro θεραπεύει habet ἀποκαθαίρει.

Sic V. & Lacunæ cod. Vulg. exēpl. carent.

Al. ἔμμηνα κινεῖ

V. nonnulli carent sequentibus ad capitis vsque calcem.

Περὶ Ἡμεροκαλλίδος. Κεφ. ρλζ'.

G ΗΜΕΡΟΚΑΛΛΙΣ φύλλα ἔχει καὶ καυλὸν ὅμοια κρίνῳ, χλωρὰ δὲ ὥσπερ πράσα. ἄνθη δὲ ἐν αὐτῷ καθ' ἑκάστην ἀποφυσιν γ'. ἢ δ'. τὴν σχίσιν τῷ κρίνῳ ἐοικότα, ὅταν ἄρξηται χαίνειν·

Al. χάσκειν

V [illegible] τὴν δὲ χρόαν ἰσχυρῶς ὤχραν. ῥίζαν ὁμοίαν βολβῷ εὐμεγέθει· ἥ τις λεία ποθεῖσα, καὶ σὺν μέλιτι ἐν ἐρίῳ προστεθεῖσα, πεσσός ἐστιν ὑδραγωγὸς καὶ αἱμαγωγός. τὰ δὲ φύλλα λεῖα καταπλασσόμενα, φλεγμονὰς μαστῶν τὰς ἐκ τοκετῶν καὶ ὀφθαλμῶν πραΰνει. καὶ καταπλάσσεται δὲ ἡ ῥίζα καὶ τὰ φύλλα ὠφελίμως ἐπὶ τῶν πυρικαύστων.

Περὶ Λευκοΐου. Κεφ. ρλη΄.

ΛΕΥΚΟΙΟΝ γνώριμόν ἐστιν. ἔστι δὲ αὐτῆς διαφορὰ ἐν τοῖς ἄνθεσι. ἢ γὰρ λευκόν ἐστιν, ἢ μήλινον ἢ κυανοῦν ἢ πορφυροῦν εὑρίσκεται. Ἔστι δὲ αὐτῶν εὔχρηστον πρὸς τὴν ἰατρικὴν χρῆσιν τὸ μήλινον· οὗ τὰ ἄνθη ξηρὰ ἀποζεσθέντα, εἰς ἐγκαθίσματα ποιεῖ πρὸς τὰς περὶ ὑστέρας φλεγμονάς, καὶ ἀγωγὰς ἐμμηνίων· ἀναληφθέντα δὲ κηρωτῇ, ῥαγάδας τὰς ἐν δακτυλίῳ θεραπεύει· σὺν δὲ μέλιτι, ἄφθας. ὁ δὲ καρπὸς αὐτοῦ, σὺν οἴνῳ ποθεὶς δραχμῶν δυοῖν πλῆθος, ἢ προστεθεὶς σὺν μέλιτι, ἔμμηνα καὶ δεύτερα καὶ ἔμβρυα ἄγει. αἱ δὲ ῥίζαι καταπλασθεῖσαι σὺν ὄξει, στέλλουσι σπλῆνα, καὶ ποδαγρικοὺς ὠφελοῦσι.*

Addit Crateuæ codex: λευκόϊον δενδρῶδες, οἱ δὲ ἴον δενδρῶδες. ῥωμαῖοι βιόλα μαρῖνα. φύλλα ἔχει καὶ αὐτὸ τὴν αἰτίαν τοῖς περὶ αὐτὸ ἀδελφοῖς.

Περὶ Κραταιογόνου. Κεφ. ρλθ΄.

ΚΡΑΤΑΙΟΓΟΝΟΝ, οἱ δὲ κραταιόνον, φύλλα ἔχει ὅμοια τοῖς τοῦ μελαμπύρου (πλείους δὲ ἀπὸ μιᾶς ῥίζης φύονται βλαστοὶ γονατώδεις) καρπὸν δὲ ὅμοιον κέγχρῳ. φύεται ἐν συσκίοις καὶ *φρυγανώδεσιν ὡς ἐπὶ τὸ πολὺ τόποις, ἰσχυρῶς δὲ δριμύ.

Lacuna ex vet. cod. legit φρυγανώδεσιν, id est, aridis.

Ἱστορεῖται δὲ ὑπό τινων ἡ πόσις τοῦ καρποῦ γυναῖκα ἀρρενοτόκον ποιεῖν, ἐάν τις μετὰ τὴν κάθαρσιν τῶν καταμηνίων πρὸ τοῦ πλησιάσαι πίνῃ νῆστις τρὶς τῆς ἡμέρας ὁλκὴν τριωβόλου μετὰ ὕδατος κυάθων β΄. ἐπὶ ἡμέρας μ΄. ὡσαύτως δὲ καὶ ὁ ἀνὴρ πινέτω τὰς ἴσας ἡμέρας, καὶ πλησιαζέτω.

Περὶ Φύλλου. Κεφ. ρμ΄.

ΦΥΛΛΟΝ, οἱ δὲ ἐλαιόφυλλον, οἱ δὲ *βρυωνίδα καλοῦσι· φύεται ἐν πέτραις. τὸ μὲν θηλυγόνον λεγόμενον, ὥσπερεὶ βρύον *ἔχει, χλωρότερον ἐλαίας τὸ φύλλον· καυλὸν λεπτὸν, βραχύν· ῥίζαν λεπτήν· ἄνθος λευκόν· καρπὸν *μείζονα, ὥσπερ μήκωνος.

Marc. βρύον

Lacuna ex vet. cod. καρπὸν λευκόν, μικρόν.

A rint, *saturatiore verò ochræ colore: colore perquā luteo
radix prægrandi bulbo similis est:
quæ quidem trita potáque, aut cum
melle & lana subdita in pesso, aquá
& sanguinem inutilem educit. Folia
verò trita illitáque, mammarum
à partu inflammationes, necnon &
oculorum epiphoras mitigant. Cæterùm
& radix & folia igni ambu-
B stis vtiliter imponuntur.

De Leucoio siue viola alba.
Cap. CXXXVIII.

LEVCOION vulgaris est notitiæ:
sed est in floribus differētia.
Nanque aut albi, aut lutei, aut cærulei,
aut etiam purpurei reperiuntur.
Est porrò leucoium luteum inter
C cætera præcipui in medicina vsus:
quippe cuius aridi flores feruefacti,
in desessionibus valent contra vuluæ
inflammationes, menstruáque
pellunt. Cerato verò excepti, rimas
sedis: cum melle autē, oris vlcera,
quæ aphthæ dicuntur, sanant. At semen
duûm drachmarū pōdere ex
vino potum, aut cum melle subditum,
D menses, secundas & partus extrahit.
Cęterùm radices ex aceto illitæ
lienem reprimunt, & podagricos
iuuant.

De Cratæogono. Cap. CXXXIX.

CRATÆOGONON, siue, vt alijs placet,
Cratæonon, folia habet melampyri:
plures autem ab vna radice emicant
culmi genicula-
E ti: semen est milio simile. Nascitur
vt plurimum locis opacis & frutetosis.
Est autem vehementer acre.
Traditur à quibusdam, seminis potum
efficere vt mulier virilis sexus
fœtum pariat, siquidem post menses
purgatos, anteaquam cum viro
congrediatur, ter die ieiuna semen
tribus obolis in aquæ cyathis duo-
F bus, bibat, ad dies quadraginta: bibat
& ipsum vir modo consimili,
ac totidem etiam diebus, deindéq;
cum illa coëat.

De Phyllo. Cap. CXL.

PHYLLON, alij elæophyllon,
bryoniam alij nominát: in saxosis
nascitur. Ac illud quidem quod
thelygonon dicitur, veluti bryon
G oleæ pallidius gerit: folio verò est
magis herbacei coloris: caule tenui,
breui: radice gracili: flore albo:
semine papaueris, maiusculo.

Arrhenogonon verò cætera antedicto simile : semine tantùm differt: habet enim racemosum, ei quodammodo simile quod, postquam defloruit olea, primulum emergit atque conspicitur. Perhibetur autem, arrhenogoni potu mares generari: thelygoni verò, fœminas. Hæc memoriæ prodidit Crateuas: quanquam talia mihi videtur historiatenus, tanquam fama auditionéve accepta, proponere.

De Orchi seu testiculo. Cap. CXLI.

ORCHIS, quē alij cynosorchin, quasi canis testiculum, vocant, folijs est circa caulis imam partem in terra stratis, mollibus, oleæ similibus, at longioribus: caule palmari, in quo flores purpurascentes emicant : radice bulbosa, oblonga, gemina, angusta, oliuarum instar: quarū vna superior est, altera inferior, & hæc quidem plenior ac mollior: illa durior ac rugosa. Radix cocta vt bulbus estur. Sed & de his radicib[9] memoriæ proditur, si maiorem edant viri, mares generari: si minorem fœminæ, alterum sexum. Insuper autem proditum est, in Thessalia mulieres teneram è lacte caprino propinare ad excitandam libidinem: aridam verò, ad eandem inhibendam: atque ab vnius potu alterius vires exolui. Nascitur in saxosis & sabuletis.

Vel folia molli similibus, at angustioribus & leuibus.

De Testiculo altero. Cap. CXLII.

Testiculus alter, quem alij, velut & Andreas, Serapiada vocant, propter radicis multiplicem vsum, folijs est porri, oblongis, at latioribus & pinguibus, ex alarum sinu inflexis : cauliculis palmaribus, ac floribus penè purpureis : radix autem subiacet testiculis similis. Hæc imposita œdemata dissipat, vlcera repurgat, herpetem sistit: fistulas quoque abolet, & illita partes inflammatas demulcet. Arida eadem inspersa nomas cohibet, sanátque putrescentia & cacoëthe oris vlcera. Aluum denique sistit, è vino pota. Sed & de hac radice eadem, quæ de antè memorata testiculi canini radice, narrantur.

A ὃ δὲ ἀρρενογόνον, τὰ μὲν ἄλλα ὅμοιον τῷ προειρημένῳ· καρπῷ δὲ διαφέρει· ἔχει γὰρ ὅμοιον *αὐτῇ ἐξανθηκυίας ἐλαίας βοτρυώδες. λέγεται δὲ, τὸ ἀρρενογόνον, ποθὲν, ἀρρενοτοκεῖν· τὸ δὲ θηλυγόνον, θηλυτοκεῖν. Ἱστορεῖ περὶ τούτων Κρατεύας· ἐμοὶ δὲ δοκεῖ τὰ τοιαῦτα μέχρι τῆς περὶ αὐτῶν ἱστο- B ρίας προάγειν.

Περὶ Ὀρχεως. Κεφ. ρμα΄.

De testiculo v. cod. quidā prorsus silent.

ΟΡΧΙΣ, οἱ δὲ κυνὸς ὄρχιν καλοῦσι, φύλλα ἔχει κατὰ γῆς ἐστρωμένα περὶ τὸν καυλὸν καὶ τὸν πυθμένα, *ἐλαίᾳ μαλακῇ ὅμοια, στενώτερα δὲ καὶ λεῖα, μακρότερα· καυλὸν σπιθαμῆς τὸ μῆκος, ἐφ' C οὗ ἄνθη πορφυροειδῆ· ῥίζαν βολβοειδῆ, ἐπιμήκη, διπλῆν, στενὴν, ὡς ἐλαίας, τὴν μὲν ἄνω, τὴν δὲ κατωτέραν. καὶ τὴν μὲν, *πλήρη· τὴν δὲ, μαλακὴν καὶ ῥυσσήν. ἐσθίεται δὲ ἡ ῥίζα ὡς βολβὸς ἑψηθεῖσα· περὶ ταύτης δὲ ἱστορεῖται, τὴν μὲν μείζονα ῥίζαν ὑπὸ ἀνδρῶν ἐσθιομένην, ἀρρενογό- D νον εἶναι· τὴν δὲ ἐλάττονα ὑπὸ γυναικῶν, θηλυγόνον. προσιστόρηται δὲ καὶ τὰς ἐν Θετταλίᾳ γυναῖκας, *τὴν μὲν ἁπαλὴν μετὰ αἰγείου γάλακτος πιπίζειν, ὡς παρορμᾶν τὰ ἀφροδίσια· τὴν δὲ ξηρὰν, πρὸς ἐπίσχεσιν καὶ ἔκλυσιν τῶν ἀφροδισίων· ἀναλύεσθαί τε τὸν ἕτερον ὑπὸ τοῦ E ἑτέρου πινόμενον. φύεται δὲ ἐν λιθώδεσι καὶ ἀμμώδεσι τόποις.

V. [illegible]

Περὶ Ὀρχεως ἑτέρου. Κεφ. ρμβ΄.

Ὄρχις ἕτερος, ὃν Σεραπιάδα ἕτεροι καλοῦσιν, ὡς καὶ Ἀνδρέας διὰ τὸ πολύχρηστον τῆς ῥίζης· φύλλα ἔχει ἐοικότα πράσῳ ἐπιμήκη, πλατύτερα δὲ καὶ λιπαρὰ, ἐ- F πικαμπῆ ἐν ταῖς μασχάλαις· καυλία σπιθαμιαῖα· ἄνθη δὲ ὑποπόρφυρα· ῥίζα δὲ ὕπεστιν ὀρχιδίοις ὁμοία. Ἥτις δύναμιν ἔχει καταπλασσομένη οἰδημάτων σκεδαστικὴν, καὶ ἑλκῶν ἀνακαθαρτικὴν, καὶ ἕρπητος ἐφεκτικήν. ἰᾶται δὲ καὶ σύριγγας, καὶ τὰ φλεγμαίνοντα πραΰνει G καταπλασσομένη. ξηρὰ δὲ ἐπιπασσομένη, νομὰς ἵστησι καὶ τὰ ἐν σηπεδόνι καὶ στόματι κακοήθη ἰᾶται· ἵστησι δὲ καὶ κοιλίαν ἐν οἴνῳ πινομένη, ἱστορεῖται δὲ καὶ περὶ ταύτης, ὅσα καὶ περὶ τοῦ κυνὸς ὄρχεως.

Pena legit πολύχεστον.
Ald. πράσῳ. Sic Dod.
V. μελαχρὰ, & sequentia delet vsque ad καυλία
Al. ἰασδιοις, sed male.
V. caret.
Sic vetus Lacunæ codex. at vulg. exempl. carent.
Al. νομὰς

A Περὶ Σατυρίου. Κεφ. ρμγ'.

ΣΑΤΥΡΙΟΝ, ὃ δὲ τρίφυλλον καλοῦσιν, ἐπειδὴ ὡς ἐπὶ τὴν γῆν φύλλα τρία φέρει κεκλασμένα, λαπάθῳ ἢ κρίνῳ ὅμοια, ἐλάττονα μέντοι καὶ ἐνερευθῆ· καυλὸν δὲ ψιλόν, μακρόν, ὡς πήχεως· ἄνθος κρινοειδές, λευκόν· ῥίζαν βολβοειδῆ, ὅσον μῆλον, πυῤῥάν· τὰ δὲ ἐντὸς λευκήν, ὥσπερ ᾠόν· γευομένῳ γλυκεῖαν καὶ εὔστομον. Ταύτην δεῖ πίνειν ἐν οἴνῳ μέλανι αὐστηρῷ πρὸς ὀπισθότονον. καὶ εἰ βούλει γυναικὶ συνουσιάσαι, χρῆσαι. φασὶ γὰρ αὐτὴν καὶ ὁρμὴν κινεῖν τὴν ἐπὶ συνουσίαν.

Marc. ὡς ἐπὶ τὸ πολύ. Lacuna verò legit in antiquo ἐπειδὴ ὡς ἐπὶ τὸ πολὺ φύλλα τρία φέρει ἐπὶ γῆς κεκλασμένα. Sic & Serapio & Oribas.

Vulg. cod. ἐρυθραίνει.

Hæc non habet Ald. codex, nisi inter notha.

Περὶ Σατυρίου ἐρυθρονίου. Κεφ. ρμδ'.

Σατύριον δὲ ἐρυθρόνιον, οἱ δὲ σατύριον ἐρυθραϊκὸν, ἔχει σπέρμα λινοσπέρμῳ ἐμφερὲς, μεῖζον δὲ καὶ ῥωμαλέον, καὶ στιλβὸν, καὶ λεῖον, ὅπερ ἱστορεῖται καὶ αὐτὸ συνουσίας ἐγείρειν ὥσπερ καὶ ὁ σκίγκος. ἔστι δὲ τῆς ῥίζης ὁ μὲν φλοιὸς ὑπίσχνος καὶ πυῤῥός· τὸ δὲ ἔνδοθεν λευκὸν, γευομένῳ εὔστομον, καὶ γλυκύ. φύεται ἐν εὐηλίοις καὶ ὀρεινοῖς τόποις. ἱστορεῖται δὲ ὅτι καὶ εἰς τὴν χεῖρα ληφθεῖσα ἡ ῥίζα, ἐρεθίζει πρὸς ἀφροδίσια· σὺν οἴνῳ δὲ ποθεῖσα, μᾶλλον.

C

Marc. ἐρυθρόνιον

V. addit, οἱ δὲ μέλαν τὸ ἐν ὕδασιν. quod inter notha legitur.

Orib. πυκνὸς

D

Περὶ Ορμίνου. Κεφ. ρμέ.

ΟΡΜΙΝΟΝ * ἥμερον, πόα ἐστὶν ἐμφερὴς πρασίῳ τοῖς φύλλοις. καυλὸς δὲ τετράγωνος ἡμιπηχυαῖος· περὶ ὃν ἐξοχαὶ ὅμοιαι λοβοῖς ὡς ἐπὶ τὴν ῥίζαν νενευκυῖαι, ἐν αἷς σπέρμα διάφορον· ἐπὶ μὲν γὰρ τοῦ ἀγρίου στρογγύλον εὑρίσκεται φαιόν· ἐπὶ δὲ τοῦ ἑτέρου, ἐπιμήκες καὶ μέλαν, οὗ περ ἡ χρῆσις. δοκεῖ δὲ καὶ τοῦτο σὺν οἴνῳ πινόμενον, συνουσίαν παρορμᾶν. ἀποκαθαίρει δὲ σὺν μέλιτι ἄργεμα, λευκώματα, καταπλασθὲν δὲ μεθ' ὕδατος καὶ οἰδήματα διαφορεῖ, καὶ σκόλοπας ἐπισπᾶται. καὶ ἡ πόα δὲ καταπλασθεῖσα, τὰ αὐτὰ ποιεῖ. τὸ δὲ ἄγριον ἰσχυροτέραν ἔχει τὴν δύναμιν. ὅθεν μίγνυται καὶ συγχρίσμασι, μάλιστα δὲ τῷ γλευκίνῳ.

Vulg. exempl. addunt ἥμερον

E

F

Περὶ Ηδυσάρου. Κεφ. ρμς'.

ΗΔΥΣΑΡΟΝ δὲ ὑπὸ τῶν μυρεψῶν καλούμενον πελεκῖνος, θάμνος ἐστὶ φυλλάρια ἔχων ἐρεβίνθῳ ὅμοια, λοβοὺς δὲ

De Satyrio. Cap. CXLIII.

SATYRIVM alij trifoliú vocant, quoniam vtplurimum terna folia in terram conuexa proferat, rumici aut lilio similia, attamé minora atq; rubescentia: caulem gerit nudú, cubitalem: floré lilij effigie, candidú: radicem bulbosam, mali magnitudine, rufam, intus verò albam, oui instar, sapore dulcem oríque gratá. Hanc in vino nigro austero bibere oportet, contra opisthotonon. Ipsa quoque vtere, si cum muliere ré habere volueris. Eam enim etiam ad venereos impetus concitatricé vim habere affirmant.

B

De Satyrio erythronio. Cap. CXLIIII.

Satyrium erythronium siue erythraïcum, semen habet lini similitudine, at maius, firmum, splendés ac læue: quod fertur etiam nó secus atque scincus libidinem excitare. Est verò cortex radicis aliquantum gracilis ac rufus: interna auté pars alba, sapore dulci, oríque grata. In apricis & montosis locis enascitur. Proditur & radix, si modò manu teneatur, veneré stimulare, cóque magis, si bibatur in vino.

De Hormino. Cap. CXLV.

HORMINVM herba est folijs marrubio similis: caule quadrángulo, semicubitali, circa quem eminentiæ siliquis similes conspiciuntur, quæ quidem radicé versus spectant, & in quibus semen diuersum recluditur. Siquidé in syluestri rotundum fuscúmque reperitur, at in altero oblongum & nigrius, cuius & vsus est. Creditur enim in vino bibitum, etiam venerem stimulare. Purgat verò cum melle oculorú argema & albugines: illitúmque ex aqua, etiá œdemata discutit, & infixos aculeos è corpore extrahit. Sed & imposita herba hæc eadé præstat. Syluestre auté magis viribus pollet: quamobrem etiam vnguentis, præsertímque gleucino immiscetur.

G *De Hedysaro. Cap. CXLVI.*

HEDYSARVM, quod vnguentarij pelecinum, id est, securidacam, vocant, frutex est minutis folijs, ciceri similibus: siliquis verò

cornicula referentibus, in quibus semen fuluum, quod ancipitem securim æmulatur (vnde & nomen accepit) gustu amarum, stomachóque in potu vtile. Additur & in antidota. Cum melle verò subditum, ante coitum spem partus adimere creditur. Cæterùm inter triticum & hordea nascitur.

De Onosmate. Cap. CXLVII.

ONOSMA, alij osmadem, alij phlonitim, alij denique ononim vocant: folia habet ad similitudinẽ anchusæ, oblonga, mollia, quatuor digitorum longitudine & vnius latitudine, in terra iacentia, denique anchusæ folijs quàm simillima. Est autem sine caule, sine semine, sine flore. Radicula verò subest longiuscula, infirma, tenuis, ac modicè rubescens. Gignitur in asperis. Folia in vino pota partus extrahunt. Sed & prægnans si herbam eam supergrediatur, abortum facere dicitur.

De Nymphæa. Cap. CXLVIII.

NYMPHÆA in paludibus stagnantibúsq; aquis nascitur: folia verò habet Ægyptiæ fabæ similia, at minora oblongioráque, plura ab vna eadémque radice prodeuntia: quorum alia super aquam quodammodo extant, alia in ea ipsa demerguntur: florẽ album, lilio similem, in quo medium croceũ est. At cùm defloruerit, calyculus rotundus, figura malo aut papaueris capiti similis, idémq; niger, extuberat: in quo semen nigrum, latum, densum, atque gustanti lẽtum glutinosúmve recluditur. Caulis est læuis, minimè crassus, niger, Ægyptiæ fabæ cauli similis: radix nigra, scabra, clauæ similis, quę autumno secatur. Ea sicca, cum vino pota, cœliacis ac dysentericis auxiliatur, lienémque consumit. Stomachi quoque ac vesicæ doloribus sedandis ipsa radix imponitur, & alphos ex aqua emẽdat: alopecijs etiamnum cum pice imposita medetur. Eadẽ contra veneris insomnia bibitur, siquidẽ illa in totũ adimit: quin & aliquot diebus cõtinẽter epota, genitale ita infirmat, vt arrigi minimè possit. Idẽ porrò seminis quoque poti effectus est. Cæterùm à nymphis nymphææ nomen sibi vendicasse creditur, quoniam loca amet aquosa. Plurima autem

A κερατίοις ἐοικότα· ἐν οἷς τὸ σπέρμα πυῤῥὸν, ὅμοιον πελέκει ἀμφιστόμῳ, ὅθεν καὶ ὠνόμασται· πικρὸν γεύσασθαι· εὐστόμαχον, ποθέν. μίγνυται δὲ καὶ ἀντιδότοις. σὺν μέλιτι δὲ προστεθὲν πρὸ τῆς μίξεως, ἀτόκιον εἶναι δοκεῖ. φύεται δὲ ἐν κριθαῖς καὶ πυροῖς.

Περὶ Ὀνόσματος. Κεφ. ρμζ'.

B ΟΝΟΣΜΑ, οἱ δὲ ὀσμάδα, οἱ δὲ φλονῖτιν, οἱ δὲ ὄνονιν καλοῦσι, τὰ μὲν φύλλα ἔχει ὅμοια τοῖς τῆς ἀγχούσης, προμήκη, μαλακὰ, ὡς τετραδάκτυλα τὸ μῆκος, τὸ δὲ πλάτος δακτύλου, ἐπὶ γῆς κατεστρωμένα, ἐμφερέστατα τοῖς τῆς ἀγχούσης. ἔστι δὲ ἄκαυλος, ἄκαρπος, ἀνανθής·
C ῥίζιον δὲ ὕπεστιν ὑπόμηκες, ἀσθενές, λεπτὸν, ἐνερευθὲς ἡσυχῇ· φύεται δὲ ἐν τραχέσι τόποις. Τούτου τὰ φύλλα ἐν οἴνῳ ποθέντα, ἔμβρυα ἄγει. φασὶ δὲ ὅτι κἂν ἔγκυος ὑπερβῇ τὴν πόαν, ἐκτιτρώσκει. Lacuna legit in vet. cod. ῥίζαν.

Περὶ Νυμφαίας. Κεφ. ρμη'.

ΝΥΜΦΑΙΑ φύεται ἐν ἕλεσι καὶ ὕδασι στασίμοις· φύλλα δὲ ἔχει ὅμοια κι-
D βωρίῳ, σμικρότερα δὲ καὶ ἐπιμηκέστερα, ποσῶς ὑπερέχοντα τοῦ ὕδατος· τὰ δὲ καὶ ἐν αὐτῷ τῷ ὕδατι, πλείονα ἐκ τῆς αὐτῆς ῥίζης· ἄνθος δὲ λευκὸν, ὅμοιον κρίνῳ, ἔχον κροκῶδες τὸ μέσον. ὅταν δὲ ἀπανθήσῃ, στρογγύλον, μήλῳ παραπλήσιον τῇ περι-
E φερείᾳ γίνεται, ἢ μήκωνος κεφαλῇ, μέλαν· ἐν ᾧ καρπὸς μέλας, πλατὺς, πυκνὸς, V. [illegible] pro his πλατὺς, πυκνὸς
γευομένῳ γλίσχρος· ὁ δὲ καυλὸς λεῖος, οὐ παχὺς, μέλας, ὅμοιος τῷ τοῦ κιβωρίου· ῥίζα μέλαινα, τραχεῖα, ῥοπαλοειδὴς, ἥτις τέμνεται Orib. παχεῖα
φθινοπώρῳ. Ξηρὰ δὲ αὕτη σὺν οἴνῳ ποθεῖσα, κοιλιακοὺς ὠφελεῖ, δυσεντερικοὺς, καὶ
F σπλῆνα τήκει. καταπλάττεται δὲ πρὸς στομάχου καὶ κύστεως ἀλγήματα ἡ ῥίζα, καὶ ἀλ- V. vsque ad ἰᾶται caret.
φοὺς σμήχει σὺν ὕδατι. ἀλωπεκίας τε σὺν πίσσῃ ἐπιτεθεῖσα ἰᾶται. πίνεται δὲ ἡ ῥί- V. omittit.
ζα καὶ πρὸς ὀνειρωγμούς· περιαιρεῖται γὰρ τούτους· ἀτονίαν τε ἐργάζεται αἰδοίου πρὸς ὀλίγας ἡμέρας, εἴ τις ἐνδελεχῶς
G πίνοι. τὸ αὐτὸ δὲ ποιεῖ καὶ τὸ σπέρμα ποθέν. δοκεῖ δὲ ὠνομάσθαι νυμφαία, διὰ V. ἀπὸ νυμφῶν
τὸ ἔνυδρον φιλεῖν τόπον. εὑρίσκεται δὲ

Orib. μιλησίῳ

πολλὴ ἐν Ἤλιδι ἐπὶ τοῦ Ἀνύγρου ποταμοῦ, καὶ τῆς Βοιωτίας ἐν Ἁλιάρτῳ. A

Περὶ Νυμφαίας ἄλλης. Κεφ. ρμθʹ.

V. non habet.

Al. λίφαρ

Γίνεται καὶ ἄλλη νυμφαία, ἧς τὸ ἄνθος βλέφαρα λέγεται, φύλλα ἔχουσα ὅμοια τῇ προειρημένῃ· ῥίζαν μέντοι λευκὴν καὶ τραχεῖαν ἔχει, ἄνθος μήλινον, στίλβον, ὅμοιον ῥόδῳ. B ποιεῖ δὲ ἡ ῥίζα καὶ τὸ σπέρμα πρὸς ῥοῦν γυναικεῖον ἐν οἴνῳ μέλανι πινόμενον. φύεται ἐν τοῖς περὶ Θεσσαλίαν τόποις κατὰ τὸν Πηνειὸν ποταμόν.

Addit Lacuna ex antiquo codice παραθαλασσίοις

Περὶ Ἀνδροσάκες. Κεφ. ρνʹ.

Al. ἀνδρόσακες

Al. ἄφυλλος

Al. ἐπὶ τῇ κεφαλῇ

ΑΝΔΡΟΣΑΚΕΣ γίνεται μὲν ἐν Συρίᾳ ἐν παραθαλασσίοις τόποις· πόα C δέ ἐστι λεπτή, λεπτόκαρφος, πικρά, ἄφυλλος, θυλάκιον ἐπὶ τῆς κεφαλῆς ἔχουσα περιεκτικὸν σπέρματος. Δύναμιν δὲ ἔχει ποθεῖσα σὺν οἴνῳ < β. πλῆθος, οὖρα πολλὰ ἐπὶ ὑδρωπικῶν ἄγειν. καὶ τὸ ἀφέψημα δὲ τῆς πόας καὶ ὁ καρπὸς πινόμενος, τὸ αὐτὸ ποιεῖ· καταπλάσσεται δὲ καὶ ἐπὶ ποδαλγικῶν ὠφελίμως. D

Addit Lacuna ex v. cod. αὐτῆς μετ' οἴνου.

Περὶ Ἀσπληνίου. Κεφ. ρναʹ.

Leg. πτέρυγα καλοῦσι. Corn. πτέριν

V. delet.

V. conclusa delet.

Add. Lacuna ex vet. cod. καὶ δυσουρίᾳ

ΑΣΠΛΗΝΟΝ, οἱ δὲ σκολοπένδριον, οἱ δὲ, σπλήνιον, οἱ δὲ ἡμιόνιον, οἱ δὲ πτέρυξ, φύλλα ἔχει σκολοπένδρᾳ τῷ θηρίῳ ὅμοια, πλείονα ἀπὸ μιᾶς ῥίζης περιεχόμενα. E φύεται ἐν τοίχοις καὶ πέτραις ταῖς ἀπὸ κοχλάκων παλισκίοις· ἄκαυλα, [ἀνθῆ,] ἄκαρπα [ἐντετμημένα ὡς τὰ τοῦ πολυποδίου, κάτωθεν ὑπόξανθα, καὶ δασέα, ἄνωθεν δὲ χλωρά.] Δύναμιν δὲ ἔχει τὰ φύλλα ἀποζεσθέντα σὺν ὄξει καὶ πινόμενα ἐπὶ ἡμέρας μʹ· σπλῆνα τήκειν· F δεῖ δὲ καταπλάσσειν καὶ τὸν σπλῆνα τοῖς φύλλοις λείοις σὺν οἴνῳ. βοηθεῖ καὶ στραγγουρίᾳ καὶ λυγμῷ, καὶ ἰκτέρῳ, καὶ λίθους τοὺς ἐν κύστει θρύπτει. δοκεῖ δὲ ἀτόκιος εἶναι καθ' ἑαυτήν, καὶ μετὰ ἡμιόνου σπληνὸς περιαπτομένη· ἀσπληνίου δὲ νυκτός φασι δεῖν αὐτὴν ὀρύσσειν εἰς ἀτόκιον. G

V. addit, ὃ ἕτεροι εἶδος σκολοπενδρίου

Περὶ Ἡμιονίτιδος. Κεφ. ρνβʹ.

ΗΜΙΟΝΙΤΙΣ, οἱ δὲ σπλήνιον, φύλλον ἀνίησιν ὅμοιον δρακοντίῳ, μη-

inuenitur in Helide, Anygro amne, & in Bœotiæ Aliarto.

De Nymphæa altera.
Cap. CXLIX.

EST & altera Nymphæa, cuius flos blephara dicitur, folijs antedictæ similis, at radice alba simul & aspera, flore luteo, splendente, rosæ simili. Radix & semen ad inhibenda fœminarum profluuia efficaciter ex vino nigro bibuntur. Nascitur autem in Thessalia, iuxta Peneum amnem.

De Androsace. Cap. CL.

ANDROSACES in maritimis Syriæ nascitur, herba verò est alba, tenuibus cirris, amara, sine folijs, folliculum habēs in cacumine, quo semen continetur. Ea drachmis duabus in vino pota, copiosam hydropicis vrinam ciet. Quin & herbæ decoctum, seménque largius ex vino potum, eundem præbet effectum. Vtiliter quoque podagricis illinitur.

De Aspleno. Cap. CLI.

ASPLENON aliqui scolopendrium, alij splenium, alij hemionion, alij denique pteryga vocant. Folijs est scolopendræ animali similibus, plurib' ab vna radice sparsis in ambitum. Nascitur in petris parietibúsque confectis è calculis silicibusve, iisque opacis. Nec verò caulem, nec florem, nec semen habet: folia autem filiculæ modo incisuris diuiduntur, subter flauescentia hirsutáque, supernè verò viridia. Vim hanc habet foliorum in aceto decoctum, vt per dies XL potum lienem absumat. Sed & folijs è vino tritis lienem illini oportet. Stranguriæ quoque, singultui, & regio morbo subuenit, atque calculos vesicæ comminuit. Cæterùm spem partus adimere creditur tum per sese, tum etiam cum muli liene amuleti instar adalligata. Verùm in eum vsum tradunt nocte quapiam illuni effodiendam.

De Hemionitide. Cap. CLII.

HEMIONITIN sunt qui splenium vocent. Folium emittit simile dracunculi, curuatæ in cornua

lunæ modo sinuatum. Radices subiacent multæ, exeq; tenues: sed neque caulem, neque semen, neque florem profert. In saxosis hæc herba nascitur, astringente sapore prædita, & ex aceto pota lienem quoq; absumit.

De Anthyllide. Cap. CLIII.

ANTHYLLIS duûm est generum: quædam enim folijs est mollibus, alioqui lenticulæ simillimis, & ramulis palmi altitudine rectis, radice tenui & parua. Nascitur in sabulosis, apricis, subsalsa gustanti. Altera est folijs ramusculisque chamæpityi similis, hirsutior tamen, breuior & asperior, flore purpureo, & odoris admodum grauis: radice cichorij. Hæc drachmis quatuor bibita, vrinæ difficultate laborantibus & nephriticis plurimùm prodest. Tritæ verò vteri inflammationes emolliunt, cum rosaceo & lacte subditæ, ac vulneribus quoque medentur. Quæ autem chamæpityos similitudinẽ refert, præter alia etiam comitiales sanat cum aceto mulso pota.

De Anthemide. Cap. CLIIII.

ANTHEMIDEM alij leucanthemon, alij eranthemon, quoniam vere floreat, alij chamæmelũ, quoniam odorẽ mali habeat, nonnulli melanthemon, alij chrysocomen, alij denique calliam vocant. Huius genera tria flore tantùm distantia: rami dodrantales, fruticosi, alis multis concaui: foliola parua, tenuia, numerosa: rotunda item capitula, intus quidem auri colore fulgentia, foris verò orbiculato ambitu floribus circundata candidis, aut melinis, aut purpureis, magnitudine foliorum rutæ. Nascitur in asperis, & iuxta semitas. Colligitur vere. Vim habent radices, flores & herba ipsa, excalfaciendi extenuandíque: seu potu seu insessione pellunt menstrua, partus, calculos & vrinas. Propinantur & aduersus inflationes & ilei tormenta. Sed & regium morbum expurgant, atque hepaticis medẽtur: decoctum quoque vesicæ fotibus accommodatur. Ex omnibus autem hisce generibus ad calculos efficacissima est

A νοειδές· ῥίζαι δὲ ὕπεισι πολλαί, λεπταί· οὔτε δὲ καυλόν, οὔτε καρπόν, οὔτε ἄνθος φέρει. φύεται ἐν πετρώδεσι τόποις. γευσαμένῳ δὲ ἡ πόα στυπτική· ἥτις σὺν ὄξει ποθεῖσα, τήκει σπλῆνα.

Περὶ Ἀνθυλλίδος. Κεφ. ρνγ'.

ΑΝΘΥΛΛΙΣ διττή· ἡ μὲν γὰρ φακῷ
B παραπλήσια φύλλα ἔχει, καὶ κλωνία σπιθαμιαῖα ὕψος, *ὀρθὰ δέ, καὶ τὰ φύλλα μαλακά. ῥίζα δὲ λεπτή, μικρά. φύεται ἐν *ὑφάμμοις τόποις καὶ εὐηλίοις, *γευομένῳ ὕφαλμος. ἡ δ' ἑτέρα χαμαιπίτυϊ τὰ φύλλα καὶ τὰ κλωνία ἔοικε, δασύτερα μέν τοι καὶ βραχύτερα, καὶ τραχύτερα]
C τὸ δ' ἄνθος πορφυροῦν, *βαρύοσμον ἰσχυρῶς· ῥίζα ὥσπερ κιχωρίου. Δύναται δὲ ἰσχυρῶς δυσουροῦσι καὶ νεφριτικοῖς πινομένη βοηθεῖν, πλῆθος < δ'. ἐκμαλάσσουσι δὲ *φλεγμονὰς τὰς ἐν ὑστέρᾳ λεῖαι, σὺν ῥοδίνῳ καὶ γάλακτι προστιθέμεναι· ἰῶνται δὲ καὶ τραύματα. ἡ δὲ τῇ χαμαιπίτυϊ ὁ-
D μοία, μετὰ τῶν ἄλλων καὶ ἐπιληπτικοὺς ἰᾶται σὺν ὀξυμέλιτι πινομένη.

Περὶ Ἀνθεμίδος. Κεφ. ρνδ'.

ΑΝΘΕΜΙΣ, οἱ δὲ λευκάνθεμον, οἱ δὲ ἠράνθεμον, διὰ τὸ ἀνθεῖν ἐπὶ ἔαρος, οἱ δὲ χαμαίμηλον, διὰ τὴν πρὸς τὰ μῆλα ὁμοιότητα τῇ ὀσμῇ, οἱ δὲ μελάνθεμον,
E οἱ δὲ *χρυσοκόμην, οἱ δὲ καλλίαν καλοῦσι· ταύτης εἴδη τρία ἄνθεσι μόνον διαφέροντα· κλῶνες *σπιθαμιαῖοι, θαμνοειδεῖς, μασχάλας ἔχοντες πολλάς, *κλωνάρια μικρά, λεπτά, πολλά, κεφάλια περιφερῆ· ἔνδοθεν μὲν ** χρυσίζοντα ἄνθη, ἔξωθεν δὲ περίκειται κυκλοτερῶς λευκά,
F ἢ μήλινα ἢ πορφυρᾶ, κατὰ μέγεθος πηγάνου φύλλων· φύεται ἐν τόποις τραχέσι καὶ παρὰ τὰς ὁδούς· συλλέγεται δὲ ἔαρος. Δύναμιν δὲ ἔχουσιν αἱ ῥίζαι καὶ τὰ ἄνθη καὶ ἡ βοτάνη θερμαντικήν, λεπτυντικήν· πινόμεναι δὲ καὶ ἐγκαθιζόμεναι, καταμήνια ἄγουσι καὶ ἔμβρυα, καὶ λίθους, καὶ οὖρα· *πίνεται δὲ καὶ πρὸς ἐμπνευματώσεις καὶ εἰλεούς, καὶ ἴκτερον δὲ ἀ-
G ποκαθαίρουσι, καὶ ἡπατικοὺς ἰῶνται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν εἰς πυρίας λαμβάνεται τὰς πρὸς κύστιν. δραστικώτεραι δὲ τοῖς λιθιῶσι

V. ὁμοίως δὲ καὶ τὰ φύλλα μαλ.

Sic v.cod. Plin. sabulosis. Vulg. ex ἐφάλμοις subsalsis.

V. nõ habet γευ. ὕφ.

Orib non legit conclusa.

V. addit, δασύτερον.

Sic v.cod. Lac. at vulg. exempl. φλέγματα ἐν

Orib. χρυσοκάλλιον

Marc. διανθέμιον

V. addit λευκὸν καὶ χρυσίζον ἐν αὐτῷ ... ἔχοντα

τὸ πορφυρανθὲς, ὅπερ τοῖς ὅλοις ἐστὶ μεῖζον, ἰδίως ἠράνθεμον καλούμενον. τὸ δὲ λευκάνθεμον καλούμενον, οὐρητικώτερον, καὶ τὸ χρυσάνθεμον. θεραπεύουσι δὲ καὶ αἰγίλωπα καταπλασσόμενα· διαμασσώμενα δὲ, καὶ ἄφθας ἰῶνται. χρῶνται δέ τινες καὶ * συγκλύσματι μετ' ἐλαίου, λειοτριβοῦντες αὐτὰ πρὸς ἀνάσχεσιν τῶν περιοδικῶν πυρετῶν. ἀποτίθεσθαι δὲ δεῖ τὰ φύλλα καὶ τὰ ἄνθη, ἕκαστον αὐτῶν κόπτοντας ἰδίᾳ, καὶ ἀναλαμβάνοντας τροχίσκους, τὴν δὲ ῥίζαν ξηραίνοντας. χρείας δὲ ἐπιζητουμένης, διδόναι ὁτὲ μὲν τῆς βοτάνης μέρη β'. ὁτὲ δὲ τοῦ ἄνθους ἢ τῆς ῥίζης μέρος ἕν. ὁτὲ δὲ τοὐναντίον, τοῦ ἄνθους μὲν β'. τῆς δὲ βοτάνης ἕν, ἐναλλὰξ διπλασιάζοντας παρ' ἡμέραν· πίνειν δὲ δεῖ ἐν οἰνομέλιτι κεκραμένῳ.

Περὶ Παρθενίου. Κεφ. ρνέ.

ΠΑΡΘΕΝΙΟΝ, οἱ δὲ ἀμάρακον, οἱ δὲ λευκάνθεμον, φύλλα ἔχει ὅμοια * κορίῳ, λεπτά· ἄνθη λευκὰ κύκλῳ, τὸ δὲ μέσον μήλινον, ὀσμῇ ὑπόβρωμον, τῇ δὲ γεύσει πικρίζον. Δύναται δὲ ξηρὰ σὺν ὀξυμέλιτι ἢ σὺν ἁλσὶ ποθεῖσα, ὡς τὸ ἐπίθυμον, φλέγμα καὶ χολὴν * ἄγειν κάτω· καὶ τοὺς ἀσθματικοὺς ὠφελεῖν, καὶ μελαγχολικούς. ἡ πόα δὲ χωρὶς τοῦ ἄνθους, ὠφελίμως ἐπὶ λιθιώντων καὶ ἀσθματικῶν ποτίζεται. τὸ δὲ ἀφέψημα αὐτῆς, ἐγκάθισμα ὑστέρας ἐσκληρυμένης ἢ φλεγμαινούσης ἐστί. καταπλάσσεται δὲ καὶ πρὸς ἐρυσιπέλατα καὶ φλεγμονὰς σὺν τοῖς ἄνθεσιν.

Al. margo, χαμαιμήλῳ

Lacuna add. ex v. cod. ἢ εἰμ

Περὶ Βουφθάλμου. Κεφ. ρνϛ'.

ΒΟΥΦΘΑΛΜΟΝ (οἱ δὲ κάχλαν καλοῦσι) * καυλία ἀνίησι τρυφερὰ, ὑπόλεπτα· φύλλα δὲ μαραθοειδῆ· ἄνθη μήλινα, μείζονα τῆς ἀνθεμίδος, ὀφθαλμοειδῆ· ὅθεν καὶ ὠνόμασται· φύεται δὲ ἐν πεδίοις καὶ περὶ τὰς πόλεις. Ταύτης τὰ ἄνθη λεῖα σὺν κηρωτῇ, οἰδήματα καὶ σκληρίας διαφορεῖ· φασὶ δὲ ὅτι ἐν τῷ βαλανείῳ μετὰ τὸ ἐξελθεῖν πινόμενον, εὔχροιαν ποιεῖ πρὸς χρόνον τινὰ τοῖς ἰκτερικοῖς.

Ald. καυλὸν ἀνίησι τρυφερὸν ὑπόλεπτον.

V. add. ... διαχεῖ

V. [illegible]

A quæ florem purpureũ habet, quæq; omni ex parte cæteris maior amplíorque est: hanc propriè Eranthemon vocãt. Ea verò cui leucanthemo nomen est, item quæ chrysanthemon dicitur, potentiùs vrinam ciũt: ægilopijs quoque illitæ medentur, & commanducatę vlcerum eruptiones in ore sanant. Nonnulli

B ijs in farinam tritis cum oleo vtuntur ad illitiones, idq; ad febres periodicas abigendas. Flores autem ac folia, singula inquam seorsim tusa & in pastillos digesta, recondi oportet: radix verò priùs exiccanda est. Ac vbi vsus exigit, modò herbæ partes duæ dari debent, modò floris aut radicis pars vna: aliâs contrà

C floris partes duę & herbæ pars vna, vicissim duplicato pondere alternis diebus. Bibere autem oportet in vino mulso diluto.

De Parthenio. Cap. CLV.

PARTHENIVM aliqui amaracum, alij leucanthemon vocant: folijs est coriandri, tenuibus, flori-

D bus per ambitum albis, in medio verò melinis, odore subuiroso & sapore subamaro. Siccatum cum aceto mulso aut sale potum, æquè ac epithymũ pituitam & bilem atram detrahit, suspiriosísque ac melancholicis prodest. At herba citra florẽ calculosis & anhelatoribus ma-

E gna vtilitate propinatur. Ipsius verò decoctum, ad insidendum valet in vuluarum duritijs & inflammationibus. Sed & ipsa cum floribus, erysipelatis & inflãmationibus imponitur.

De Buphthalmo. Cap. CLVI.

F BVPHTHALMVM (quidam cachlan vocant) teneros emittit cauliculos, & quodámodo tenues, folia fœniculi, flores melinos, maiores quàm anthemidis, oculorum similitudine: vnde & herba nomen traxit. In campestribus & circa oppida nascitur. Huius flores triti cũ cerato œdemata duritiásque discu-

G tiunt. Aiunt verò, post exitum à balneo epotam, regio morbo correptis ad tempus aliquod colorem gratiorem facere.

De Pæonia. Cap. CLVII.

PÆONIA siue glycyside quibusdam ˇpentorobon dicitur: sunt qui Idæos dactylos radicem pæoniam vocent. Caulis ferè in duorũ dodrantum altitudinem adolescit, adnascente numerosa sobole comitatus: ac mari quidem folia sunt qualia iuglandis, fœminæ verò incisuris Smyrnij modo diuisa. Summo caule fert vtraq; siliquas quasdam, veluti Græcas nuces: quibus dehiscentibus grana multa rubentia, parua, acinis punicorum similia inueniuntur, & inter hæc media quinque aut sex, nigra, purpurea. Radix maris digitali ferè est crassitudine, & palmi longitudine, gustu astringens, candida: fœminæ verò radicibus ceu glandes septem octóve adhærent, quales hastulæ regiæ radicibus adnascuntur. Radix fœminis à partu non purgatis exhibetur: ciet quoque menses nucis Græcæ magnitudine pota: vétris etiam doloribus in vino bibita auxiliatur. Prodest & arquatis, iísq; qui renum aut vesicæ cruciatibus infestantur. Eadem decocta in vino potáque aluum sistit. Seminis autem granula decem duodecimve rubentia in vino nigro & austero pota, sanguinolentum fluorem muliebrem sistũt: stomachicísque, qui erosiones ventriculi sentiunt, comesta opitulantur. Quin & à puerulis pota esitatáve, initia calculi eximunt. Quę verò nigra sunt grana, ˇsuppressionibus nocturnis quas ephialtas vocant, vuluæque strágulationibus ac vteri dolorib⁹, numero quindecim, in aqua mulsa aut vino pota, auxiliátur. Cęterùm nascitur pæonia in altissimis mõtibus, eorúmq; verticibus.

Sic Apul. à numero granorum eruo similium

A Περὶ Παιονίας. Κεφ. ρνζ.

ΠΑΙΟΝΙΑ, ἢ γλυκυσίδη, Ⓒ δὲ ˇπεντόβοβον· Ⓒ δὲ Ἰδαίους δακτύλους τὴν ῥίζαν παιονίαν καλοῦσι. καυλὸς ὡς διασπιθαμιαῖος ˇφύεται, παραφυάδας ἔχων πολλάς· φύλλα δὲ ἡ μὲν ἄρρην βασιλικῇ καρύᾳ ὅμοια· ἡ δὲ θή-
B λεια ἀπέσχισται τὰ φύλλα ὥσπερ σμύρνιον. λοβοὺς δέ τινας ἀνίησιν ἐπ' ἄκρου τοῦ καυλοῦ, ἀμυγδάλοις ὁμοίους· ὧν ἀνοιχθέντων εὑρίσκονται ἐρυθροὶ κόκκοι πολλοί, μικροί, ἐμφερεῖς τοῖς τῆς ῥοιᾶς, ἐν μέσῳ δὲ μέλανες, ἐμπόρφυροι, ε ἢ ς'. ῥίζα δὲ τῆς μὲν ἄρρενος, ˇπερὶ δακτύλου πά-
C χος, μῆκος δὲ σπιθαμῆς, γευομένῳ στύφουσα, ˇλευκή· ἐπὶ δὲ τῆς θηλείας, παραφυάδας ὥσπερ βαλάνους ἔχουσα ζ'. ἢ η'. ὥσπερ ἀσφόδελος. Δίδοται δὲ γυναιξὶν ἡ ῥίζα ταῖς ἐκ τόκου μὴ καθαιρομέναις· κινεῖ δὲ καὶ τὰ καταμήνια, ἀμυγδάλου μέγεθος πινομένη·
D ταῖς τε κατὰ γαστέρα ὀδύναις βοηθεῖ, ποθεῖσα ἐν οἴνῳ. ὠφελεῖ δὲ καὶ ἰκτερικούς ˇ, καὶ νεφριτικούς, καὶ κύστιν ἀλγοῦντας. ἑψηθεῖσα ἐν οἴνῳ ˇ καὶ πινομένη, κοιλίαν ἵστησι. τοῦ δὲ καρποῦ ι'. ἢ ιβ'. κόκκοι πυρροὶ ποθέντες ἐν οἴνῳ μέλανι αὐστηρῷ, ῥοῦν ἐρυθρὸν ἱστῶσι· στομαχικοῖς τε δα-
E κνομένοις ἐσθιόμενοι βοηθοῦσι. καὶ ὑπὸ τῶν παιδίων πινόμενοι ἢ ἐσθιόμενοι, ἀρχὰς λιθιάσεως παραιτοῦνται. οἱ δὲ μέλανες, καὶ πρὸς τοὺς ὑπὸ ἐφιαλτῶν πνιγμούς, καὶ πρὸς τὰς ὑστερικὰς πνίγας καὶ ὀδύνας μήτρας, ἐν μελικράτῳ ἢ οἴνῳ, ὅσον ιε'. κόκκοι πινόμενοι, ποιοῦσι.*

V. πεντόροβον

Sunt qui interserant ex Plinio ἀντίρρυθμον

Addit Orib. [illegible], quæ vox in Ald. codice interpolata reperitur. V. caret.

V. καὶ ἴκτερ[ιῶ]ντας μεθ' ἡμῖν

V. addit αὐστηρῷ

De Lithospermo. Cap. CLVIII.

LITHOSPERMON, quod nonnulli ęgonychon, alij exonychõ, alij heracleam vocát, propter seminis duritiam: à qua & lithospermi nomẽ accepit. Folijs est oleæ, longioribus tamen ˇ, latioribus atque molliotibus, & ijs quidem quæ in imo à terra exiliunt humi iacentibus: ramulis rectis, tenuibus, acuti iunci crassitudine, firmis, lignosis: in quorum cacumine bifida propago

F Περὶ Λιθοσπέρμου. Κεφ. ρνη.

ΛΙΘΟΣΠΕΡΜΟΝ, Ⓒ δὲ αἰγώνυχον, οἱ δὲ ἐξώνυχον, οἱ δὲ ἡράκλειαν, διὰ τὴν περὶ τὸ σπέρμα ἰσχύν· ὅθεν καὶ λιθόσπερμον ὠνόμασται· φύλλα ἔχει ὅμοια ἐλαίας, μακρότερα δὲ καὶ πλατύτερα, καὶ
G μαλακώτερα, καὶ τὰ περὶ Ⓒ πυθμένα ἐπὶ γῆς κείμενα· κλωνία δὲ ὀρθά, λεπτά, πάχος ὀξυσχοίνου, στερεά, ˇξυλώδη· ἐπὶ δὲ τῶν ἄκρων αὐτῶν * δίκηλος ἔκφυσις,

Orib. χειλώδη

Lac. legit in vet. cod. μακρά. Sic & Orib.
V. addit ὑπόλευκον
Sic Orib. & v. codex. Lacuna στρογγύλον, λευκόν, ὀρόβῳ μικρῷ ὅμοιον. Vulg. ex. στρογγύλον μικρὸν ὀρόβῳ ἴσον.
V. addit καὶ περὶ δυσουρίας ποιεῖ.

καυλώδης· ἔχουσα φύλλα μακρά, περὶ οἷς σπέρμα λιθῶδες, στρογγύλον, λευκόν, ὀρόβῳ μικρῷ ὅμοιον. φύεται ἐν τραχέσι τόποις καὶ ὑψηλοῖς. Δύναμιν δὲ ἔχει τὸ σπέρμα μετ' οἴνου λευκοῦ πινόμενον, λίθους θρύπτειν, καὶ οὖρα ἄγειν. A

Περὶ Φαλαρίδος. Κεφ. ρνθ'.

V. μεστά
Conclusa habentur in vet. cod. itémque apud Oribas. at in vulg. exempl. desiderantur.

ΦΑΛΑΡΙΣ, καυλία ἀνίησιν ἐκ ῥιζῶν λεπτῶν καὶ ἀχρήστων πολλά, διπάλαιστα, γονατώδη, καλαμοειδῆ, ἐοικότα τοῖς τῆς ζέας, [ἰσχνότερα δὲ καὶ γλυκέα τῇ γεύσει,] τὰ φύλλα δὲ ὅμοια τοῖς τῆς ζέας. [σπέρμα δὲ ἔπεστι μέγεθος κέγχρου, λευκόν, ὑπομήκες. Δύναμιν δὲ ἔχει κοπτομένη ἡ πόα καὶ χυλιζομένη δι' ὕδατος ἢ οἴνου, πρὸς τὰ τῆς κύστεως ἀλγήματα ποιεῖν, πινομένη. καὶ τοῦ σπέρματος δὲ * μετὰ κοχλιαρίου ὕδατος πλῆθος πινόμενον πρὸς τὰ αὐτὰ ποιεῖ. B C

Περὶ Ἐρυθροδάνου. Κεφ. ρξ'.

V. inscribit ἐρυθρόδανον.
Alii videntur γαλλίας legisse.
V. caret.
Addit Lacuna ex v. cod. καὶ κεντεῖται.

ΕΡΥΘΡΟΔΑΝΟΝ, ἢ ἐρευθέδανον, ἔνιοι δὲ τεύθριον καλοῦσι. ῥίζα δ' ἐστὶν ἐρυθρά, βαφική· ἡ μέν τις ἀγρία· ἡ δὲ σπαρτή, ὡς ἐν Θαβαίῃ τῆς Γαλιλαίας, καὶ Ῥαβέννῃ τῆς Ἰταλίας· καὶ ἐν Καρίᾳ μεταξὺ τῶν ἐλαιῶν σπειρόμενον, ὥσπερ ἐν ταῖς ἀρούραις. [ὠφελίμως δὲ σπείρεται] διὰ τὸ γίνεσθαι ἐκ τούτου πλείστην πρόσοδον. εἰσὶ δὲ αὐτοῦ οἱ καυλοὶ τετράγωνοι, μακροί, τραχεῖς, ὅμοιοι τοῖς τῆς ἀπαρίνης, κατὰ πάντα δὲ μείζονες καὶ ῥωμαλεώτεροι· ἔχοντες ἐκ διαστημάτων τὰ φύλλα καθ' ἕκαστον γόνυ, ὥσπερ ἀστέρας εἰς κύκλον περικείμενα· καρπὸν στρογγύλον, τὰ πρῶτα χλωρόν, εἶτα ἐρυθρόν, εἶτα πεπαινόμενον μέλανα· ῥίζα λεπτή, μακρά, ἐρυθρά, διουρητική· ὅθεν ἰκτερικοῖς μετὰ μελικράτου πινομένη βοηθεῖ, ἰσχιαδικοῖς τε καὶ παραλελυμένοις· ἄγει δὲ οὖρα πολλὰ καὶ παχέα, ἔσθ' ὅτε δὲ καὶ αἷμα. λούεσθαι μέντοι δεῖ καθ' ἡμέραν τοὺς πίνοντας, [καὶ ὁρᾶν τῶν κενουμένων τὴν διαφοράν.] θηριοδήκτοις τε βοηθεῖ ὁ καυλὸς μετὰ τῶν φύλλων* ποθείς, ὁ δὲ καρπὸς μετ' ὀξυμέλιτος πινόμενος, σπλῆνα τήκει· προστεθεῖσα δὲ ἡ ῥίζα, ἔμβρυα καὶ ἐμμήνια ἄγει καὶ δεύτερα. θεραπεύει δὲ καὶ ἀλφοὺς λευκούς, μετ' ὄξους καταπλασσομένη. D E F G

Hæc non habentur in Aldino codice, nisi inter notha.
V. ἰκτεριδικοῖς Paris. χυλὸς
V. καταχριομένη

cauliculorum ſpeciem exhibet, folijs longis: inter quæ ſemen lapidea duritie rotundum, candicans, erui parui magnitudine. Naſcitur in aſperis & editis locis. Vim habet ſemen, cum vino albo potum, calculos frangendi, vrináſque pellendi.

De Phalaride. Cap. CLIX.

PHALARIS cauliculos emittit à tenuibus ac nullius vſus radicibus numeroſos, bipalmes, geniculatos, culmis zeæ ſimiles, graciliores tamen ac ſapore dulces: folia itidem zeæ: ſemen verò milij magnitudine, candidum & oblõgum. Herbæ tuſæ ſuccus ex aqua aut vino expreſſus ad veſicæ cruciatus vtiliſſimè bibitur. Semẽ quoque cochlearis mẽſura ex aqua potum, ad eadem eſt efficax.

De Rubia. Cap. CLX.

RVBIA, Græcis Erythrodanum ſeu Ereuthodanum, aliquibus teuthrion vocatur: radix eſt rubra, tingendo idonea. Vna quidem ſylueſtris eſt, ſatiua altera, vt in Thebana Galilææ & Rauennæ in Italia. Sed & in Caria inter oleas ſeritur, velut in aruis. Vtiliter autem colitur, quòd multo polleat quęſtu, ex eáque ampliſſimus reditus percipiatur. Sunt ei caules quadranguli, longi, aſperi, quales aparinæ: ſed omni ex parte maiores atque robuſtiores, folijs in orbem per interualla, nempe circa ſingula genicula, ſtellæ modo decuſſatim radiatis: ſemine rotundo, inter initia viridi, mox rubro, ac poſtremò cùm ematuruit, nigro. Radix eſt tenuis, longa, rubra, ciendæ vrinæ vi prædita: qua de cauſa arquatis auxiliatur, pota cũ aqua mulſa: itémq; iſchiadicis atq; paralyticis. Craſſam porrò copioſámq; vrinam pellit, ac interdum etiam ſanguinem: bibẽtes tamen quotidie lauari oportet, & excrementorum quæ reddũtur differentiam contemplari. Contra ſerpentium morſus caulem cum folijs imponere prodeſt. Semẽ verò ex aceto mulſo potum, lienem abſumit. At ſubdita radix, partus, menſes ſecundáſq; trahit. Albæ quoque vitiligini illita ex aceto medetur.

De Lonchitide. Cap. CLXI.

A LONCHITIS folia habet porro perquàm similia, latiora tamé & rubentia, plurima, ad radicé circúfracta, veluti in terrá procumbétia. Habet & circa caulé pauca, in quo quidé flores ceu pileoli, hiantibus comicis personis figura similes, iiq; nigri, sed è rictu albam veluti paruá B linguam exerentes, quæ ad labrum inferius spectet: semen inuolucris clausum, triangulum & lanceæ cuspidi simile, vnde etiam planta ipsa sibi cognomentum arrogauit: radix dauci. Nascitur in asperis ac sitientibus. Radix ex vino pota, vrinam ciet.

De Lonchitide altera. C. CLXII.

C Lonchitis altera, quam alij asperam dicunt, folia profert scolopendrij, sed asperiora maioráque, ac multò magis diuisa. Vim porrò habet vulneraria, inflammationésque arcet. Lienem quoque pota ex aceto absumit.

De Althæa. Cap. CLXIII.

D ALTHÆA, quam nonnulli Ibiscum vocant, maluæ syluestris species est, folijs vti cyclamini rotúdis, lanuginosis: flore rosaceo: caule bicubitali: radice lenta glutinosáq;, intus alba. Althææ vero nomen inditum illi est, a multiplici excellentíque quam in medendo pręstat E vtilitate. Decocta enim in aqua mulsa aut vino, aut per se etiam tusa, efficaciter imponitur vulneribus, parotidibus, strumis, abscessibus, mámarú inflammationibus, sedis doloribus, contusis, flatuosis tumoribus ac neruorum distentionibus: siquidé discutit & maturat, aut rumF pit, & ad cicatricé perducit. At cocta, vti dictú est, si cum adipe suillo aut anserino, terebinthináve, subigatur, facit ad vuluæ inflammationes præclusionésq;, subdita in pesso. Sed & ipsius decoctum eundem obtinet effectum, relicta post partum in vtero purgamenta præthereà G extrahens. Succurrit & radicis decoctæ succus ex vino potus vrinæ difficultati, calculosorú sæuis acerbísque cruciatibus, dysentericis, ischiadicis, tremulis atque ruptis.

Περὶ Λογχίτιδος. Κεφ. ρξα΄.

A ΛΟΓΧΙΤΙΣ φύλλα ἔχει πρασοκάρπῳ ὅμοια, πλατύτερα δὲ καὶ ὑπέρυθρα πλεῖστα, περὶ τὴν ῥίζαν περικεκλασμένα ὡς ἐπὶ τὴν γῆν. ἔχει δὲ καὶ περὶ τὸν καυλὸν ὀλίγα, ἐφ' οὗ ἄνθη ὅμοια πιλίσκοις, τῷ τύπῳ δὲ κωμικοῖς προσωπείοις κεχηνόσι, μέλανα μὲν, λευκὸν δέ τι ἀπ' αὐτῶν B ἐξέχει ἀπὸ τοῦ χάσματος πρὸς τὸ κάτω χεῖλος, ὥσπερ γλωσσάριον· τὸ σπέρμα δὲ ὅμοιον λόγχῃ τρίγωνον ἐν περικαρπίοις· ὅθεν καὶ τῆς προσωνυμίας ἠξιώθη· ῥίζα δὲ ὁμοία δαύκῳ. φύεται ἐν τραχέσι καὶ ἀνίκμοις τόποις. ταύτης ἡ ῥίζα διουρητική, C πινομένη σὺν οἴνῳ.

Περὶ Ετέρας λογχίτιδος. Κεφ. ρξβ΄.

Λογχῖτις ἑτέρα, οἱ δὲ λογχῖτιν τραχεῖαν, φύλλα ἀνίησιν ὅμοια σκολοπενδρίῳ, τραχύτερα δὲ καὶ μείζονα, καὶ μᾶλλον ἐσχισμένα. Δύναμιν δὲ ἔχει τραυματικήν, ἀφλέγμαντον· τήκει δὲ καὶ σπλῆνα D μετ' ὄξους πινομένη.

Περὶ Ἀλθαίας. Κεφ. ρξγ΄.

ΑΛΘΑΙΑ, ἔνιοι δὲ ἰβίσκον καλοῦσι, μαλάχης ἐστὶν ἀγρίας εἶδος· φύλλα περιφερῆ ὥσπερ κυκλάμινος, ἔγχνοα· ἔχει δὲ ἄνθος ῥοδοειδές· καυλὸν δίπηχυν, E ῥίζαν δὲ γλίσχρον, λευκὴν ἔνδοθεν. Ὠνόμασται δὲ ἀλθαία, διὰ τὸ πολυαλθὲς καὶ πολύχρηστον αὐτῆς. ἑψηθεῖσα γὰρ ἐν μελικράτῳ ἢ οἴνῳ, καὶ καθ' ἑαυτὴν κοπεῖσα, ποιεῖ πρὸς τραύματα, παρωτίδας, χοιράδας, ἀποστήματα, μαστοὺς φλεγμαίνοντας, δακτυλίων ἀλγήματα, F θλάσματα, ἐμφυσήματα, συντάσεις νεύρων· διαφορεῖ γὰρ καὶ ἐκπέττει, ἢ ῥήσσει καὶ ἐπουλοῖ. συμμαλαχθεῖσα δὲ ἑφθή, ὡς εἴρηται, στέατι ὑείῳ ἢ χηνείῳ ἢ τερεβινθίνῃ, πρὸς ὑστέρας φλεγμονὰς καὶ μύσεις ἐν προσθέματι ποιεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς τὸ αὐτὸ ποιεῖ, ἄγον καὶ τὰ G καλούμενα λόχια. τὸ δὲ τῆς ῥίζης ἀφέψημα σὺν οἴνῳ πινόμενον, ὠφελεῖ δυσουροῦντας, λιθιώντων ὠμότητας, δυσεντερικούς, ἰσχιαδικούς, τρομώδεις, ῥηγματίας.

A καὶ πόνους ὀδόντων πραΰνει σὺν ὄξει ἀφεψηθεῖσα καὶ διακλυζομένη. ὁ δὲ καρπὸς χλωρὸς τε καὶ ξηρὸς λεῖος καταχρισθεὶς σὺν ὄξει ἐν ἡλίῳ, σμηκτικός ἐστιν ἀλφῶν· μετ' ὀξελαίου δὲ συγχριόμενος, προφυλακτικός ἐστιν ἰοβόλων. ποιεῖ δὲ καὶ πρὸς δυσεντερίας καὶ αἵματος ἀναγωγὴν καὶ διαῤῥοίας. τὸ δὲ ἀφέψημα τοῦ σπέρματος, πινόμενον καὶ πρὸς μελισσῶν καὶ τῶν λεπτῶν θηρίων πληγὰς πάντων, ἐν ὀξυκράτῳ ἢ οἴνῳ ποθέν. καὶ τὰ φύλλα δὲ μετ' ὀλίγου ἐλαίου καταπλάσσεται ἐπὶ τῶν δηγμάτων καὶ ἐπὶ τῶν πυρικαύστων. πήγνυσι δὲ ἡ ῥίζα καὶ ὕδωρ, μιγεῖσα λεία καὶ συνεξαιθριασθεῖσα.

Lac. in vet. cod. additū repertū καὶ ἐλαίῳ

Videntur hic præterea legisse interpretes καὶ σφηκῶν

V. cod Lacuna addit χλωρά

Περὶ Ἀλκέας. Κεφ. ρξδ'.

In antiquiss. codicib', teste Marcello, caput hoc cum superiore coniungitur.

Ἀλκέα καὶ αὕτη εἶδός ἐστιν ἀγρίας μαλάχης, ἔχουσα φύλλα ἐσχισμένα πρὸς τὰ τῆς ἱερᾶς βοτάνης· καυλοὺς γ'. ἢ δ'. φλοιὸν ἔχοντας κανάβει παραπλήσιον [ἄνθος μικρόν, ἐμφερὲς ῥόδῳ] ῥίζας λευκάς, πλατείας ε. ἢ ς'. ὅσον πήχεως· αἵ τινες οἴνῳ ἢ ὕδατι πινόμεναι, δυσεντερίας καὶ ῥήγματα ἰῶνται.

Vet. his caret. Margo vetust. μαλάχης μικρότερον δὲ. Quidam mauult ἀγρίας

Περὶ Καννάβεως ἡμέρου. Κεφ. ρξε'.

ΚΑΝΝΑΒΙΣ φυτόν ἐστιν εὔχρηστον ἐν τῷ βίῳ πρὸς τὰς τῶν εὐτονωτάτων σχοινίων πλοκάς· φύλλα φέρει παραπλήσια τῇ μελίᾳ, δυσώδη· καυλοὺς μακρούς, κενούς· καρπὸν στρογγύλον ὃς ἐσθιόμενος πλείων, σβέννυσι τὴν γονήν. χλωρὸς δὲ χυλισθεὶς, ἁρμόζει πρὸς τὰς τῶν ὤτων ἀλγηδόνας ἐνσταζόμενος.

Marcell. τῇ μελίᾳ perperam.

Περὶ Καννάβεως ἀγρίας. Κεφ. ρξς'.

Κάνναβις ἀγρία ῥαβδία φέρει ὅμοια τοῖς τῆς ἀλθαίας, μελάντερα δὲ καὶ τραχύτερα, καὶ μικρότερα, τὸ ὕψος πήχεως· τὰ δὲ φύλλα ὅμοια τῇ ἡμέρῳ, [τραχύτερα δὲ καὶ μελάντερα.] ἄνθη ὑπέρυθρα, λυχνίδι ἐμφερῆ· σπέρμα δὲ καὶ ῥίζαν ὅμοια τῇ ἀλθαίᾳ. Δύναμιν δὲ ἔχει ἡ ῥίζα ἑφθὴ καταπλασθεῖσα, φλεγμονὰς πραΰνειν, καὶ οἰδήματα διαφορεῖν, [καὶ πώρους διαχεῖν.] καὶ ὁ ἀπὸ ταύτης δὲ φλοιὸς, εὔθετος εἰς πλοκὴν σχοινίων.

Marc. παχύτερα legit. V. caret.

V. non habet conclusa.

V. non legit καὶ πώρ. διαχ.

A Eadem dentium mulcet dolorem, cum aceto decocta, colluto inde ore. Semen autē seu viride, seu etiam siccum, vitiligines in sole ex aceto perunctas emendat & exterit. Illud idem ex oxelæo perunctum, venenatorum animalium arcet iniurias. Vis quoque illi efficax contra dysenteriā, sanguinis per os reiectionem, aluíque profluuium. B Quin & bibitur in posca aut vino decoctū, contra apum aliarúmque omnium minutarum bestiolarum aculeatos ictus. Folia verò cum olei momento morsibus ipsis atque etiam igni ambustis imponuntur. Cæterùm ipsa radix aquam addensat atque coagulat, siquidē trita illi ammixta, C simúlque sub dio posita fuerit.

De Alcea. Cap. CLXIIII.

ALCEA & ipsa syluestrium maluarum generi assignatur: folia verò habet diuisa, verbenacæ proxima: caules tres aut quatuor cortice cannabino vestitos: florē paruū, rosæ similem: radices albas, latas, D quinque aut sex, ferè cubitales: quæ quidē cum vino aut aqua potæ, dysenteriæ ruptísque medentur.

De Cannabi satiua. Cap. CLXV.

CANNABIS satiua, plāta ad texendos funes validissimos mortalium generi perutilis, folia gerit E fraxini, sed fœdi odoris, caules proceros, inanes, semen rotundū: quod cibo largiore genituram extinguit. Ex eo recēte expressus succus conuenienter aurium doloribus instillatur.

De Cannabi syluestri. Cap. CLXVI.

F Syluestris cannabis virgulas profert quales althæa, sed nigriores, asperiores ac minores, cubiti altitudinem æquantes: folijs satiuæ, asperioribus tamen ac nigrioribus: floribus lychnidis, subrubris: semine & radice althææ. Vim habet decocta radix & imposita, inflammationes leniendi, G œdemata discutiendi, & tophos articulorum dissipandi. Sed & huius cortex torquēdis funibus est accommodatus.

De Ana-

De Anagyri. Cap. CLXVII.

ANAGYRIS siue Anagyros, quem alij acopon vocant, frutex est arboris instar, folijs & virgis vitici assimilis, perquàm grauis odore, *flore brassicæ, semine in longis corniculis renibus figura simili, versicolore ac solido, quod vua maturescente durescit. Huius folia recentia trita & imposita, œdemata reprimunt. Eadem (sicca) drachmæ pondere in passo suspiriosis potui dantur, itémque ad secundas, menses partúsque extrahendos, & contra capitis dolores in vino. Difficulter etiam parientibus amuleti instar adalligantur: sed à partu statim auferri abijcíque oportet. Radicis autem succus discutiẽdis concoquendísque adhibetur. Semen vero comestum vomitiones vehementer concitat.

Plin. flore oleæ. sic enim brassicã κατ' ἐξοχὴν appellat.

A Περὶ Ἀναγύρεως. Κεφ. ρξζ'.

ΑΝΑΓΥΡΙΣ, ἣ δὲ ἀνάγυρον, οἱ δὲ ˙ἄκοπον καλοῦσι, θάμνος ἐστὶ φύλλοις καὶ ταῖς ῥάβδοις προσεμφερὴς ἄγνῳ, δενδρώδης, βαρύοσμος ἰσχυρῶς· ἄνθος κράμβῃ ἐοικός· καρπὸς ἐν κερατίοις μακροῖς, τὸ σχῆμα νεφρῶν, ποικίλος, ˙στερεός· B σκληροῦται δὲ περὶ τὸν τῆς σταφυλῆς πεπασμόν. Ταύτης τὰ φύλλα ἁπαλά, λεῖα καταπλασσόμενα, οἰδήματα στέλλει. ποτίζεται δὲ < πλῆθος ἐν γλυκεῖ πρὸς ἆσθμα καὶ ἐκβολὴν χορίου, καὶ ἐμμηνίων καὶ ἐμβρύου· πρὸς δὲ *κεφαλαλγίας, σὺν οἴνῳ. ἔστι δὲ περίαπτον δυστοκούσαις· C δεῖ μέντοι μετὰ τὸ ἀποτεκεῖν εὐθέως ἀφελόντα ῥίπτειν τὸ περίαμμα. τῆς δὲ ῥίζης *χυλὸς διαφορεῖ καὶ ἐκπέσσει. ὁ δὲ καρπὸς ἐσθιόμενος, ἔμετον σφοδρῶς κινεῖ.

Orib. ἄκοπον

V. στερεοῦ ὄντος. alius, ὃ καὶ ὑποστερεοῦται

De Cepæa. Cap. CLXVIII.

CEPÆA portulacę similis est, verùm nigriora habet folia, radicémque tenuem. Folia in vino pota, stranguria & vesicæ scabie laborantibus opitulantur. Maximè verò id præstant, si cum asparagi radicum, quem myacanthon vocãt, decocto bibantur.

Περὶ Κηπαίας. Κεφ. ρξη'.

ΚΗΠΑΙΑ ἐμφερής ἐστιν ἀνδράχνῃ, μελάντερα δὲ ἔχει τὰ φύλλα, ῥίζαν D λεπτήν. βοηθεῖ δὲ τὰ φύλλα πινόμενα σὺν οἴνῳ, στραγγουριῶσι καὶ ψωριῶσι τὴν κύστιν· μάλιστα δὲ ποιεῖ, μετὰ ἑψήματος ῥιζῶν ἀσπαράγου τοῦ μυακάνθου καλουμένου *πινομένη.

De Alismate. Cap. CLXIX.

ALISMA aliqui alceam, alij damasonium, alij acyron, alij denique lyron appellãt. Folia ei plantaginis, sed angustiora, conuexáque in terram. Caulis tenuis, simplex, cubito altior, thyrsi specie, habens in cacumine capitula. Flores tenues, candidi, pallescentes, radices vt veratri nigri, tenues, odoratæ, acres ac modicè pingues: aquosos amat tractus. Radix drachmæ vnius aut alterius pondere in vino pota his conuenit qui leporem marinum deuorarunt: iísque qui à rana rubeta demorsi sunt, vt & ijs qui opium hauserunt. Valet & contra tormina ac dysenteriam, per se aut cum pari modo seminis dauci potui data. Sed & conuulsis & contra vuluæ vitia prodest. At herba ipsa sistit aluum, ac mẽses ciet, tumorésque imposita mitigat.

Περὶ Ἀλίσματος. Κεφ. ρξθ'.

Δύναμιν δὲ ἔχει τὸ σπέρμα πινόμενον ἐν οἴνῳ, ἐχιοδήκτους καὶ τὰ ἄλλα τῶν ἑρπετῶν δήγματα θεραπεύειν. δίδοται δὲ καὶ ἰσχιαC δικοῖς μετὰ *σμύρνης καὶ πεπέρεως*· ῥίζα δὲ ὕπεστι *λεπτὴ καὶ ἄχρηστος.

Περὶ Ἐρίνου. Κεφ. κθ'.

ΕΡΙΝΟΣ φύεται παρὰ ποταμοῖς καὶ κρήναις, φύλλα ἔχει ὠκίμοις ὅμοια, *μικρότερα δὲ καὶ ἐσχισμένα ἐκ τῶν ἄνωθεν μερῶν, κλωνία δὲ ε'. ἢ ς'. σπιθαμιαῖα, D ἄνθη λευκά· καρπὸν δὲ *μέλανα, μικρόν, στρυφνόν· ὀποῦ δὲ μεστός ἐστιν ὁ καυλὸς καὶ τὰ πέταλα. Τούτων ὁ καρπὸς < β'. πλῆθος μιγεὶς πρὸς μέλιτος ** τέσσαρας, ῥεύματα ὀφθαλμῶν ἐγχριόμενος ἵστησιν. ὁ δὲ χυλὸς ὤτων πόνον παύει μετὰ θείου ἀπύρου καὶ νίτρου ἐνσταζόμενος.

E Περὶ Ἀγρώστεως. Κεφ. λ'.

ΑΓΡΩΣΤΙΣ κλημάτια ἔχει γονατώδη ἕρποντα ἐπὶ τῆς γῆς, καὶ ἀπὸ τῶν κλάδων προϊέμενα ῥίζας γλυκείας, γονατώδεις· φύλλα ὀξέα, σκληρά, πλατέα, ὡς καλάμου μικροῦ, τρέφοντα βόας καὶ κτήνη. Ταύτης ἡ ῥίζα καταπλασσομένη λεία, F τραύματα κολλᾷ. τὸ δὲ ἀφέψημα αὐτῆς πινόμενον, πρὸς στρόφους ποιεῖ καὶ δυσουρίαν*. καὶ τὰ περὶ τὴν κύστιν ἕλκη, καὶ λίθους θρύπτει.

Περὶ Καλαμαγρώστεως. Κεφ. λα'.

Καλαμάγρωστις μείζων ἐστὶ κατὰ πάντα τῆς ἀγρώστεως. ἔστι δὲ κτηνῶν ἀναιρετικὴ βρωθεῖσα, καὶ μάλιστα ἡ ἐν Βαβυλῶνι G παρὰ ταῖς ὁδοῖς φυομένη.

Περὶ τῆς ἐν Παρνασσῷ ἀγρώστεως. Κεφ. λβ'.

Η δὲ ἐν τῷ Παρνασσῷ γινομένη ἄγρωστις, πολυκλαδωτέρα ἐστί· φύλλα

In altero hæc est inscriptio capitis, περὶ ἰτέρου ὠκίμου ἢ ὠκιμοειδοῦς. Goup.

V. caret. Ald. in nothis καὶ ἄλλου addit. V λεῖα

Tragus suspicatur legendũ μικρότερα.

Fortè μέλανα

Paris. καὶ δραχμὰς τέσσαρας.

Lacunæ v. cod. addit, καὶ δυσεντερίας.

δὲ κισσῷ ὅμοια· φέρει ἄνθος λευκὸν, εὐῶδες· καρπὸν μικρὸν, οὐκ ἄχρηστον· ῥίζας ε΄ ἢ ϛ΄. δακτύλου πάχος, λευκὰς, μαλακὰς, γλυκείας, ἰσχυράς. ὧν ὁ χυλὸς ἑψηθεὶς σὺν οἴνῳ καὶ μέλιτι συμμέτρῳ, καὶ σμύρνης ἡμίσει μέρει, πεπέρει τε καὶ λιβανωτοῦ τρίτῳ, φάρμακόν ἐστιν ἄριστον πρὸς ὀφθαλμούς· ἀποτίθεται δὲ ἐν χαλκῇ πυξίδι. τὸ δὲ ἀφέψημα τῶν ῥιζῶν, ποιεῖ πρὸς ἃ καὶ αὐτή. τὸ δὲ σπέρμα ταύτης ἰσχυρῶς διουρητικὸν, καὶ ἐμέτων καὶ κοιλίας ῥεούσης σταλτικόν. Ἡ δὲ ἐν Κιλικίᾳ γινομένη, ἣν οἱ ἐπιχώριοι Κίνναν καλοῦσιν, ὑγρὰ βρωθεῖσα πολλάκις, πιμπρησι τοὺς βόας.

Sic Ald. at Par. ἰσχυρῶς

Quidam v. cod. teste Lacuna habet. γίνεται δὲ ἐν Κιλικίᾳ εἶδος ἀγρώστεως, ἣν Κίνναν ἐπιχώριοι καλοῦσιν. ὑγρὰ βρωθεῖσα πολλάκις πίμπλησι τὰς βόας. Sic & Hermolaus legisse videtur.

Περὶ Σιδηρίτιδος. Κεφ. λγ΄.

ΣΙΔΗΡΙΤΙΣ, ἣν δὲ Ἡρακλείαν, πόα ἐστὶ φύλλα ἔχουσα ὅμοια πρασίῳ, ἐπιμηκέστερα δὲ πρὸς τὰ τοῦ ἐλελισφάκου ἢ δρυὸς, μικρότερα μέντοι καὶ τραχέα· καυλοὺς δὲ ἀνίησι τετραγώνους, σπιθαμιαίους ἢ καὶ μείζονας, οὐκ ἀηδεῖς ἐν τῇ γεύσει, καὶ πως ὑποστύφοντας· ἐν οἷς ἐκ διαστημάτων σπόνδυλοι περιφερεῖς ὥσπερ πρασίου, καὶ ἐν αὐτοῖς σπέρμα μέλαν· φύεται δὲ ἐν ὑποπέτροις χωρίοις.

Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλασσόμενα, τραυμάτων κολλητικὴν καὶ ἀφλεγμάντων.

V. χλωρὰ
Catac βρωθεῖσα ἐμπίμπρησι
Hanc solam describit Byzantinus codex.
V. delet.
V ἐλελισφάκῳ πρὸς τὰ τῆς δρυός.
V. τραχείας
V. ἀηδεῖς.
V. add. διὰ τὸ φύσει.

Περὶ Ἑτέρας Σιδηρίτιδος. Κεφ. λδ΄.

Ἄλλη σιδηρῖτις κλῶνας ἔχει διπήχεις, λεπτούς· φύλλα δὲ ἐπὶ μίσχων, μακρῶν, ὅμοια τοῖς τῆς πτερίδος, ἀκροσχιδῆ πολλὰ ἑκατέρωθεν, ἐκ δὲ τῶν ἀνωτέρω μασχαλῶν, ἀποφύσεις μακρὰς, λεπτὰς, ἐπ᾽ ἄκρου σφαιροειδεῖς, κεφαλὴν ἐχούσας τραχεῖαν, ἐν οἷς σπέρμα ὅμοιον τεύτλῳ, στρογγυλώτερον δὲ καὶ σκληρότερον. Δύναμις δὲ καὶ ταύτης ἐστὶ καὶ * τῶν φύλλων τραυματική.

Περὶ Ἑτέρας Σιδηρίτιδος. Κεφ. λε΄.

Ἔτι καὶ ἑτέρα εἶναι λέγεται Σιδηρῖτις, ἣν καὶ αὐτὴν Κρατεύας Ἡρακλείαν καλεῖ, φυομένη ἐν τοίχοις καὶ ἀμπελῶσιν, ἔχουσα φύλλα πολλὰ ἀπὸ μιᾶς ῥίζης ὅμοια κοριάννῳ περὶ καυλίοις σπιθαμιαίοις, λείοις, τρυφεροῖς, ὑπολεύκοις, ἐνερευθέσιν· ἄνθη δὲ φοινικᾶ, μικρὰ, γλοιομένῳ

Lacuna legit in v. cod. φύλλα μικρὰ, πολλὰ καὶ λεπτὰ μικρὰ unde add Orib.
Al. κοριάννῳ

A hederaceis, flore candido & odorato, semine paruo, non inutili: radicibus quinis senísue, digitali crassitudine, cãdidis, mollibus, dulcibus ac robustis. Quarũ succus si in vino cũ pari melle ac myrrhæ dimidio pipe rísque ac thuris tertijs portionibus decoquatur, præstantissimum fiet ad oculos medicamentum. Id verò B in æ rea pyxide reconditur. Radicũ autem decoctum eadem quæ herba ipsa præstat. At semẽ vehementiùs vrinam impellit, vomitionésq; & alui profluuia sistit. Natum porrò in Cilicia gramen, quod indigenæ Cinnam appellant, boues *inflammat, si eo virenti sæpe pascantur.

al. saginat

C *De Sideritide. Cap. XXXIII.*

SIDERITIS, quam aliqui Heracleam vocãt, herba est foliis marrubij, sed oblongioribus, ad saluiæ aut quercus foliorum similitudinẽ, minoribus tamen & asperis. Caules verò edit quadrangulos, dodrantales, aut etiam maiores, non iniucundi gustus, & quodammodo leuiter D astringentes, in quibus ex interuallis orbiculata verticilla spectantur, ceu marrubij, & in ijs semẽ nigrum. In locis sub quibus petræ latent nascitur. Vim porrò habent imposita folia, vulnera glutinandi, & ab inflammatione vindicandi.

De Sideritide altera. Cap. XXXIIII.

E Sideritis altera ramos habet binûm cubitorum, exiles: folia longis hęrentia pediculis, ceu filicis, in extrema sui parte incisuris diuisa, vtrinq; numerosa: è superioribus autem alarum cauis nouos erumpentes surculos, longos, tenues, capitulis in cacumine globosis & asperis, F in quibus semen cõtinetur, ceu betæ, verùm aliquantò rotundius atque durius. Huius etiam foliorum vis vulneribus vtilis est.

De Sideritide tertia. Cap. XXXV.

Traditur & tertia Sideritis, quam etiam Crateuas Heracleam vocat. G In macerijs vinetísque nascitur, folijs ab vna radice multis, coriandro similibus, circa cauliculos dodrantales, læues, teneros, cũ rubore candicantes: floribus puniceis, paruis,

gustu amaris & lentis. Huius etiam impositæ ea vis est, vt cruenta recentiáque vulnera glutinet.

De Achillea. Cap. XXXVI.

ACHILLEAM sunt qui etiam Sideritin vocent. Gerit autem scapos dodrantales, aut etiam maiores, fusorum effigie, folijs circundatos minutulis, ex obliquo crebras habentibus incisuras, coriandro proximis, subfuluis, lentis, odore multo, nõ insuaui, sed medicato: vmbellam verò in cacumine rotundam, floribus candidis, & aurum æmulantibus. Læto solo prouenit. Huius etiam coma trita, vulnera cruenta glutinat & ab inflammationis periculo tuetur, necnon ab ijs erumpentem sanguinẽ inhibet: vti etiam ab vtero, subdita in pesso. Sed & ipsius decocto vtiliter insident fœminæ vteri fluore laborantes. Denique & ad dysenteriam illa bibitur.

De Rubo. Cap. XXXVII.

RVBVS notitiæ vulgaris, astringit & siccat, capillósque tingit. Summorum autẽ ipsius ramorum decoctũ potu aluum sistit, fluorémque muliebrem cohibet, necnon & contra presteris morsum valet. Firmant & gingiuas, orisque vlcera sanant commanducata folia. Imposita verò, herpetas cohibent, vlceribúsque in capite manantibus, oculis procidentibus, condylomatis itẽ & hæmorrhoidibus remedio sunt. Eadem cardiacis quoque & stomachicis trita conuenienter imponuntur. Cæterùm contusis caulibus ac folijs expressus succus sole coactus, ad antedicta vitia efficacior est. At fructus perfectam maturitatem assecuti succus, stomaticis, hoc est, oris medicamentis accommodatur. Sistit & aluum [*]subcrudus fructus in cibo sumptus, ęquè ac flos in vino potus.

[*] vel præmaturus, hoc est, [illegible] Id e[illegible] significat, teste Valla [illegible]

De Rubo Idæo. Cap. XXXVIII.

Idæus rubus appellatus est, quoniã copiosus in Ida nascatur. Est autẽ lõgè tenerior priore, exiguis spinis prędicus, [quanquã & sine spinis inueniatur:] eadẽ verò præstat quæ supradictus. At ex abundanti flos

A πικρά, γλίσχρα. καὶ ταύτης ἡ δύναμις ἐπιτιθεμένης, κολλητικὴ ἐναίμων καὶ νεοτρώτων.

Περὶ Ἀχιλλείου. Κεφ. λϛ'.

ΑΧΙΛΛΕΙΟΣ, καλοῦσι τινὲς καὶ τὴν ἀχίλλειον σιδηρῖτιν· φέρει δὲ ῥαβδία σπιθαμιαῖα ἢ καὶ μείζω, ἀτρακτοειδῆ, καὶ
B περὶ αὐτὰ φυλλάρια λεπτὰ, ἐκ πλαγίων ἐντομὰς ἔχοντα πυκνὰς, προσεμφερῆ κορίῳ, °ὑπόπυῤῥα,° γλίσχρα, πολύοσμα, οὐκ ἀηδῆ, φαρμακώδη δὲ τὴν ὀσμήν· σκιάδιον ἐπ' ἄκρου περιφερὲς, ἄνθη λευκὰ καὶ χρυσίζοντα· φύεται ἐν εὐγείοις τόποις. Καὶ τούτου ἡ κόμη λεία, ἐν-
C αίμων ἐστὶ κολλητική, καὶ ἀφλέγμαντος, αἱμοῤῥαγίας τε ἐφεκτική, καὶ τῆς ἐκ μήτρας ἐν προσθέτῳ. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς ἐστιν ἐγκάθισμα ῥοικαῖς. πίνεται δὲ καὶ πρὸς δυσεντερίαν.

V. caret.

V. addit καὶ περιφερῆ.

V. quidam cod. ad finem addit, ἄλλο κοπτόμενον μετ' ἀξουγγίου παλαιοῦ, ἕλκη καὶ δυσεπούλωτα θεραπεύει. ἔστι δὲ κοπτόμενον καὶ μάλιστα μηρίων ὄντι ἀνακαθαρτικόν.

Περὶ Βάτου. Κεφ. λζ'.

ΒΑΤΟΣ, ἐστὶ γνώριμος, στύφει καὶ ξη-
D ραίνει· τρίχας βάπτει. τὸ δὲ ἀφέψημα τῶν ἀκρεμόνων αὐτῆς, κοιλίαν ἵστησι πινόμενον, καὶ ῥοῦν ἐπέχει γυναικεῖον· καὶ πρηστῆρος δήγματι βοηθεῖ. κραταιοῖ δὲ καὶ οὖλα καὶ ἄφθας ὑγιάζει διαμασώμενα τὰ φύλλα. καὶ ἕρπητας ἐπέχει, καὶ ἀχῶρας τοὺς ἐν κεφαλῇ θεραπεύει, καὶ ὀφθαλμῶν
E προπτώσεις, καὶ κονδυλώματα, καὶ αἱμοῤῥοΐδας καταπλασσόμενα τὰ φύλλα. καὶ ἐπὶ στομαχικῶν δὲ καὶ καρδιακῶν λεῖα ἐπιτιθέμενα ἁρμόζει. ὁ δὲ χυλὸς αὐτῆς ἐκθλιβέντων τῶν καυλῶν καὶ τῶν φύλλων συστραφεὶς ἐν ἡλίῳ, βέλτιον ποιεῖ εἰς πάντα τὰ εἰρημένα. τοῦ δὲ καρποῦ αὐτῆς ὁ
F χυλὸς πεπείρου ὄντος τελείως, εἰς τὰ στοματικὰ ἁρμόζει· ἵστησι δὲ καὶ κοιλίαν ἐσθιόμενος ὁ μέσος πέπειρος, καὶ τὸ ἄνθος δὲ αὐτῆς ποθὲν σὺν οἴνῳ κοιλίαν ἵστησι.

V. [illegible]

Περὶ Ἰδαίας Βάτου. Κεφ. λη'.

Βάτος Ἰδαία ἐκλήθη μὲν, διὰ τὸ πολλὴν ἐν τῇ Ἴδῃ γίνεσθαι. ἔστι δὲ ἁ-
G παλωτέρα πολλῷ τῆς πρὸ αὐτῆς, ἀκάνθας μικρὰς ἔχουσα. [εὑρίσκεται δὲ καὶ χωρὶς ἀκανθῶν.] δύναται δὲ τὰ αὐτὰ τῇ πρὸ αὐτῆς. ἐκ περισσοῦ δὲ τὸ αὐτῆς ἄνθος

Hanc periodum quamuis non habebatur in vulg. exemplaribus ex cod. Ald. nos hic adiecimus.

σὺν μέλιτι λεανθὲν, ὀφθαλμικαῖς φλεγμοναῖς περιχριόμενον βοηθεῖ, καὶ ἐρυσιπέλατα σβέννυσι· στομαχικοῖς τε μεθ' ὕδατος ἐν ποτῷ δίδοται.

Περὶ Ἑλξίνης. Κεφ. λθ'.

Cat. ἑλξίνη.
V. addit, καὶ λεπτά.
Sic Lac. ex vet. cod. legit. Sic etiam habet Cetae. at vulg. exempl. μακρά
Epit. addit καὶ σκληρὰ μελανίζοντα.

"ΕΛΞΙΝΗ* ἔχει φύλλα ὅμοια κισσῷ, ἐλάττονα δὲ, "καὶ κλωνία "μακρὰ, περιπλεκόμενα ὅπου ἂν τύχῃ. φύεται δὲ ἐν φραγμοῖς καὶ ἀμπελῶσι καὶ σίτῳ.

Δύναμιν δὲ ἔχει τῶν φύλλων ὁ χυλὸς πινόμενος λυτικὴν κοιλίας."

Περὶ Ἐλατίνης. Κεφ. μ'.

V. οἱ δὲ κισσάμπελον.
Orib. μακρότερα
V. add. ἐσχισμένα πως.
V. ἀπὸ τῆς γῆς ἢ τῆς ῥίζης.

ΕΛΑΤΙΝΗ "τὰ μὲν φύλλα ἔχει ὅμοια τῇ ἑλξίνῃ, "μικρότερα δὲ καὶ στρογγυλώτερα, δασέα, "κλῶνας λεπτοὺς, σπιθαμιαίους ε. ἢ ς'. "ἀπὸ τῆς ῥίζης, φύλλων πλήρεις στρυφνῶν ἐν τῇ γεύσει. φύεται ἐν σίτοις καὶ τόποις ἐργασίμοις. Δύναμιν δὲ ἔχει τὰ φύλλα καταπλαττόμενα σὺν ἀλφίτοις, φλεγμαίνοντας καὶ ῥευματιζομένους ὠφελεῖν ὀφθαλμούς. ἑψηθεῖσα δὲ καὶ ῥοφουμένη, δυσεντερίαν ἵστησιν."

V. καὶ κοιλίαν, ἀρμόττει ἄγαν παραδίδοται. Lacuna add. repert in v. cod. ἢ κοιλιακὴν διάθεσιν.

Περὶ Εὐπατωρίου. Κεφ. μα'.

V. delet.
V. add. φρυγανώδη
Al. ὑλώδη
V. ἀνὰ μέσον
V. delet. ἐν
Addunt alii, καὶ ἡπατικοὺς

ΕΥΠΑΤΩΡΙΟΝ πόα ἐστὶ "φρυγανώδης, ῥάβδον ἀναφέρουσα μίαν, λεπτὴν, "ξυλώδη, ὀρθὴν, μέλαιναν, ἔνδασυν, πηχυαίαν ἢ καὶ μείζονα· φύλλα δὲ ἐκ διαστημάτων, ἐσχισμένα μάλιστά που εἰς ε. μοίρας ἢ καὶ πλείους, τοῖς τῆς πενταφύλλου ἢ καννάβεως μᾶλλον ἐοικότα, καὶ αὐτὰ δὲ ὑπομέλανα *πριονοειδῶς ἐξ ἄκρων ἐντετμημένα· σπέρμα δὲ περιπέφυκεν "ἀπὸ μέσου τοῦ καυλοῦ, ὑπόδασυ, κάτω νενευκὸς, ὡς "ἐν τοῖς ἱματίοις ἐνίσχεσθαι ξηρανθέν. Ταύτης τὰ φύλλα μετὰ στέατος χοιρείου παλαιοῦ λεῖα ἐπιτεθέντα, τὰ δυσεπούλωτα τῶν ἑλκῶν ἰᾶται. τὸ δὲ σπέρμα ἢ ἡ πόα μεθ' οἴνου πινόμενα, δυσεντερικοὺς" καὶ ἑρπετοδήκτους ὠφελεῖ. ἔνιοι ταύτην *ἀρτεμισίαν ἐκάλεσαν πλανηθέντες· ἑτέρα γάρ ἐστιν ὡς ἀπεδείξαμεν.

Περὶ Πενταφύλλου. Κεφ. μβ'.

V. κλωνία
V. add. ὡς

ΠΕΝΤΑΦΥΛΛΟΝ "κλῶνας φέρει καρφοειδεῖς, λεπτοὺς, σπιθαμιαίους, ἐφ' ὧν ὁ καρπός· φύλλα δὲ ἔχει ἐοικότα "ἡδυόσμῳ,

A ipsius ex melle subactus oculorum inflammationibus commodè illinitur, & erysipelata restinguit. Stomachicis quoque ex aqua bibendus datur.

De Helxine. Cap. XXXIX.

HELXINE [cognométo cissampelos] folijs est hederç, at minoribus: ramulis verò longis, quibus
B circumplectitur quodcunque contigerit adminiculum. Nascitur in sepibus, vinetis ac segetibus. Potus foliorũ succus aluum soluendi vim habet.

De Elatine. Cap. XL.

ELATINE folia habet helxinæ, at minora rotundioráque, pilo-
C sa: ramos tenues, dodrantales, quinos senósve, à radice statim folijs refertos gustu acerbis. Nascitur in segetibus & cultis. Folia cum polenta imposita, inflammatis fluxionéque infestatis oculis auxiliantur. Cocta verò herba sorbitionis vsu dysenteriam sistit.
D

De Eupatorio. Cap. XLI.

EVPATORIVM herba est è cremiorum genere, vnicum proferens thyrsum, cúmque tenuem, lignosum, rectum, nigrum, hirsutum, cubitalem aut etiam altiorẽ, folijs per interualla quinquepartitò vtplurimùm aut etiam ampliùs diui-
E sis, quinquefolij aut cannabis potiùs similibus, nigricantibus & ipsis ac per ambitum serrç modo incisis. Semen à medio statim caule adnascitur subhirsutum, ac ita deorsum inclinatum, vt etiam siccatum vestibus inhærescat. Trita huius folia & cum veteri suillo adipe imposita, cicatricem ægrè trahentibus vlce-
F ribus medentur. Tum semen tum & herba potu ex vino dysentericis, hepaticis, & à serpentibus demorsis auxiliantur. Cæterùm hanc nonnulli errore ducti argemonem appellarunt, cùm tamen longè alia sit, vti demonstrauimus.

De Quinquefolio. Cap. XLII.

G QVINQVEFOLIVM ramulos fert festucarũ similitudine, tenues, dodrantales, in quibus semẽ: folia mentæ, quina singulis pedicu-

lis pediculis, rarò plura, in ambitu serrata: florem ex candido pallescentem, auri æmulum. Naſcitur in aquoſis locis & iuxta riuos. Subrubram verò habet radicem, oblongam, veratro nigro craſſiorem, cuius eſt multiplex vſus. Ius radicis ad tertias decoctæ ſi ore detineatur, dolores dentium ſedat, putrida oris vlcera collutione ſiſtit, arteriç ſcabritias gargarizatu emendat, contra alui profluuiũ & dyſenteriã auxiliatur, itémque arthriticis & iſchiadicis potum. Trita eadem in aceto cocta & impoſita, herpetas cohibet. Strumas, duritias, œdemata, aneuryſmata & abſceſſus diſcutit. Eryſipelatis, digitorum pterygijs, condylomatis pſoríſque medetur. At tenerę radicis ſuccus contra iecinoris pulmoníſq; vitia prodeſt, itémque aduerſum venena. Folia autem cum hydromelite aut vino diluto & piperis exiguo bibuntur contra febrium circuitus: in quartana quidem, quaternûm ramulorum folia: in tertiana verò, ternûm: in quotidiana, vnius. Eadem comitialibus tricenis diebus pota ſuccurrunt. Celeriter quoque regio morbo medetur foliorum ſuccus, tribus cyathis aliquot diebus epotus. Illa eadem cum ſale ac melle impoſita, tam vulneribus quàm fiſtulis remedio ſunt. Opitulatur & quinquefolium enterocelicis, ac erumpentem ſanguinem ſiſtit tum potu, tum etiam illitu. Inciditur & ad expiationes luſtrationéſque, atque hæmorrhagias.

De Phœnice. Cap. XLIII.

PHOENICEA herba, quam aliqui rhun, alij anchinopa vocant, folia quidem habet hordei, at breuiora & anguſtiora: ſpicam verò lolio ſimilem, & ramos circa radicem ſenûm digitorum, ac ſeptenas octonáſve ſpicas. In aruis, tectíſque recens illitis naſcitur. Vim hãc habet in auſtero vino pota, vt alui profluuium, erumpentémque ab vtero ſanguinem, vrinarúmque largiorem fluxum ſiſtat. Tradunt & nonnulli in puniceo vellere amuleti inſtar adalligatam, ſanguinẽ ſupprimere.

A πέντε καθ' ἕκαστον μίσχον, σπανίως δέ που πλείονα, κύκλωθεν ἐχισμένα πριονοειδῶς· ἄνθος δ' ὑπόλευκον, χρυσοειδές. φύεται δ' (V. ὠχρόν) ἐν ἐφύδροις τόποις καὶ παρ' ὀχετοῖς. ῥίζαν δ' ἔχει ὑπέρυθρον, ἐπιμήκη, παχυτέραν ἑλλε- (V. ὑπόπαχυν) βόρου μέλανος. ἔστι δ' πολύχρηστος. Δύναται δ' τὸ τῆς ῥίζης ἀφέψημα ἄχρι τρίτου καταB βιβασθὲν ἐν τῇ ἑψήσει, ὀδονταλγίας παύειν διακρατούμενον ἐν τῷ στόματι καὶ σηπε- (V. caret.) δόνας τὰς ἐν τῷ στόματι διακλυζόμενον ἵστησι· καὶ τραχύτητας ἀρτηρίας ἀναγαργαριζόμενον παραιτεῖται· κοιλίᾳ τε ῥευσάσῃ καὶ δυσεντερίᾳ βοηθεῖ· ἀρθριτικοῖς τε καὶ ἰσχιαδικοῖς πινόμενον. ἑψηθεῖσα δ' ἐν ὄξει λεία καC ταπλασσομένη, ἕρπητας ἐπέχει· διαφορεῖ χοιράδας, σκληρίας, οἰδήματα, ἀνευρύ- (V. πύεσιν ἀνευρύσματα) σματα, ἀποστήματα. ἐρυσιπέλατα, πτερύ- (Catac. ἀποστήματα καὶ πτερύγια τὰ ἐν δακτύλοις.) για τὰ ἐν δακτύλῳ, καὶ κονδυλώματα καὶ ψώρας ἰᾶται. ὁ δ' χυλὸς τῆς ῥίζης ἁπαλῆς, (In vet. Lacunę cod. add καὶ ἀχῶρας) ποιεῖ πρὸς τὰ ἐν ἥπατι καὶ πνεύμονι πάθη καὶ τὰ θανάσιμα. τὰ δὲ φύλλα πίνεται καὶ D μεθ' ὑδρομέλιτος ἢ οἴνου κεκραμένου καὶ πεπέρεως ὀλίγου πρὸς περιόδους· ἐπὶ μὲν τοῖ τεταρταίου, τεσσάρων κλωναρίων φύλλα, ἐπὶ δὲ τριταίου τριῶν, ἐπὶ δ' ἐφημερινοῦ ἑνός. ἀρήγει δ' καὶ ἐπιληψίας πινόμενα ἐφ' ἡ- (Al. ἀνὰ φύλλα λ'. V. πινόμενα φύλλα λ', ἀνὰ ἡμέραν ἐπὶ ἡμέρας τριάκοντα.) μέρας λ'. ὑγιάζει δὲ καὶ ἴκτερον ταχέως ὁ χυλὸς τῶν φύλλων ποθεὶς ἐπὶ τινὰς ἡμεE ρας τριῶν κυάθων πλῆθος. τραύματά τε καὶ σύριγγας μεθ' ἁλῶν καὶ μέλιτος καταπλασ- (V. add. ἐρυσιπέλατα καὶ πτερύγια καὶ συρ. V. quidã vſque ad finem caret.) σόμενα ἰᾶται· βοηθεῖ δ' καὶ ἐντεροκηλικοῖς, καὶ αἱμορραγίας ἵστησι πινόμενον καὶ καταπλασσόμενον. τέμνεται δὲ καὶ πρὸς κα- (V παραλαμβάνεται καὶ πρὸς καθαρμοὺς καὶ ἁγνείας) θαρμοὺς καὶ αἱμορραγίας καὶ ἁγνείας.

Περὶ Φοίνικος. Κεφ. μγ'. (Suſpicatur Manardus eam vocẽ ineptè accreuiſſe, quam etiam prætermiſit Ruellius.)

F ΦΟΙΝΙΞ, οἱ δὲ ῥοῦν, οἱ δὲ ἀγχίνωπα, τὰ μὲν φύλλα ἔχει ὅμοια κριθῇ, βραχύτερα δὲ καὶ στενώτερα, στάχυν δ' ἐμφερῆ τῇ αἴρᾳ· κλῶνας δὲ ἑξαδακτύλους κύκλῳ τῆς ῥίζης. καὶ στάχυς ζ'. ἢ η'. φύεται δὲ ἐν ἀρούραις, καὶ ἐπὶ τῶν στεγῶν τῶν νεοκαταχρισθεισῶν. Δύναμιν δὲ ἔχει πινόμενον ἐν G οἴνῳ αὐστηρῷ, διάρροιαν καὶ αἱμορραγίαν τὴν ἐκ μήτρας, καὶ οὔρων πλείονα φορὰν ἱστᾶν. ἱστοροῦσι δέ τινες καὶ ἴσχαιμον αὐτὴν εἶναι ἐνδεσμουμένην φοινικῷ ἐρίῳ καὶ περιαπτομένην.

Περὶ Ἰδαίας ῥίζης. Κεφ. μδ'.

ΙΔΑΙΑ ῥίζα, ὀξυμυρσίνῃ τὰ φύλλα ἔοικε· παρ' αὐτὰ δὲ ὡς ἕλικες μικραὶ πεφύκασιν, ἐξ ὧν καὶ τὸ ἄνθος. ταύτης ἡ ῥίζα στυπτικὴ σφόδρα, ἁρμόζουσα ἐφ' ὧν στύψεως ἐστὶ χρεία. πίνεται δὲ καὶ πρὸς κοιλίας ῥεύματα καὶ ῥοῦν γυναικεῖον αἱμορραγίας τε πάσας ἵστησι.

Quidam v. hoc caput nō habet.

Περὶ Ῥοδίας ῥίζης. Κεφ. με'.

ΡΟΔΙΑ ῥίζα γεννᾶται ἐν Μακεδονίᾳ, ἐοικυῖα κόστῳ, *κουφοτέρα δὲ καὶ ἀνώμαλος, ῥόδων ἐν τῇ διατρίψει ἀποφορὰν ποιοῦσα ὁμοίαν. *χρησιμεύει δὲ ἐπὶ τῶν κεφαλαλγούντων, σὺν *ῥοδίνῳ ὀλίγῳ λεπτὴ *ἐπιτιθεμένη καὶ ἐμβρεχομένη μετώπῳ καὶ κροτάφοις.*

Al. add. τῷ πάχει ἰσχνοτέρα

Marc. legit ναρδίνῳ
V. caret.

Margini additur, σωθεῖ δὲ ἰσχει καὶ γυναικείων ῥοῦν.

Περὶ Ἱππούριδος. Κεφ. μϛ'.

ΙΠΠΟΥΡΙΣ φύεται ἐν τόποις ἐφύδροις καὶ τάφροις· *καυλία ἔχει κενά, ὑπέρυθρα, ὑπότραχεα, στερεά, γόνασι διειλημμένα *ἐμπεφυκόσιν εἰς ἄλληλα· περὶ δὲ αὐτὰ σχοινώδη φύλλα πυκνά, λεπτά. αὔξεται δὲ εἰς ὕψος ἀναβαίνουσα ἐπὶ τὰ παρακείμενα στελέχη, καὶ καταχρημνᾶται περικεχυμένη κόμαις πολλαῖς μελαίναις, καθάπερ ἵππου οὐρά· ῥίζα ξυλώδης, σκληρά. στυπτικὴ δὲ ἡ πόα· ὅθεν ὁ χυλὸς αὐτῆς αἱμορραγίας ἵστησι τὰς ἐκ μυκτήρων καὶ δυσεντερίας ὠφελεῖ, πινόμενος μετ' οἴνου· κινεῖ δὲ οὖρα. τὰ δὲ φύλλα ἔναιμα τραύματα κολλᾷ, λεῖα ἐπιπασσόμενα. ἡ δὲ ῥίζα καὶ ἡ πόα βήσσουσί τε καὶ ὀρθοπνοϊκοῖς καὶ ῥηγματίαις βοηθεῖ. ἱστορεῖται δὲ καὶ ἐντέρου διαιρέσεις καὶ κύστεως διακοπὴν, καὶ ἐντεροκήλην συνάγειν τὰ φύλλα πινόμενα ἐν ὕδατι.*

V. add. καὶ τραχέα, καυλοὺς ἔχουσα

V. caret his, ἐμπ. εἰς ἀλλ.

V. add. καὶ καταμήνια ἱστῶσι

Περὶ Ἑτέρας Ἱππούριδος. Κεφ. μζ'.

Ἵππουρις ἑτέρα. [καυλός ἐστιν ὀρθός, ἴσος, μείζων δὲ πήχεως, ὑπόκενος. [κόμας ἐκ διαστημάτων *ἔχουσα βραχυτέρας καὶ λευκοτέρας καὶ μαλακωτέρας. ἥτις καὶ αὐτὴ λεανθεῖσα σὺν ὄξει τραύματα ἰᾶται, τὴν αὐτὴν ἔχουσα δύναμιν.

Cōclusa à Ruellio expressa ex codicis Ald. nostris adiecimus.

Περὶ Κόκκου βαφικῆς. Κεφ. μη'.

ΚΟΚΚΟΣ βαφική, θάμνος ἐστὶ μικρός, φρυγανώδης, ᾧ παράκεινται

A *De Idæa radice.* *Cap. XLIIII.*

IDÆÆ radicis folia *oxymyrsinen referunt: iuxta ipsa verò exigui sunt veluti pampini seu capreoli, ex quibus etiam flos erumpit. Radix præclarè astringit, ijs iccirco cōueniēs, quibus astrictione opus est. Bibitur & aduersus alui profluuia B fluorémque muliebrē, & omnem sanguinis eruptionem sistit. ruscum

De Rhodia radice. *Cap. XLV.*

RHODIA radix in Macedonia gignitur, costo similis, at leuior & inæqualis, quæ dum conteritur, rosarum odorem spirat. Caput dolentibus vtilis est, si cum pauco C rosaceo tritā capiti imponatur, aut madefacta frōti ac temporibus adhibeatur.

De Equiseto. *Cap. XLVI.*

EQVISETVM in riguis & scrobibus nascitur. Cauliculos edit inanes, rubescentes, subasperos, solidos, geniculis in sese farctis interseptos: ac circum ipsos folia iuncea, D crebra tenuiáque. In sublime autē attollitur, vicinos scandens arborum caudices, ex iisque dependet circūfusum comis multis, nigris, vt est equi cauda: radix lignosa est ac dura. Est verò herbæ vis adstrictoria: quamobrē ipsius succus fluentem è naribus sanguinem sistit, prodéstque dysenterijs in vino potus, E & vrinam ciet. Folijs autem tritis & inspersis vulnera cruenta glutinantur. Radix verò, itémque herba ipsa, tussientibus, orthopnoicis ruptísque succurrunt. Narrantur & folia in aqua bibita diuisum intestinum, dissectámque vesicam & enteroecelen cogere & agglutinare.

F

De Equiseto altero.
Cap. XLVII.

Equisetum alterum caule est recto, ęquali, cubito maiore, quodammodo inani, comis per interualla breuioribus, candidioribúsque & mollioribus. Id cum aceto subactū vulneribus etiam remedio est, G eadémque qua prius illud facultate pollet.

De Cocco tinctili. *Cap. XLVIII.*

COCCVM tinctile frutex est páruus è cremiorum genere, cui

grana ceu lentes adhærēt, quæ quidē exempta decerptáve reponuntur. Optimum gignitur in Galatia & Armenia, deinde in Asia & Cilicia: locum postremū obtinet quod in Hispania prouenit. Vis huic astringere: cuius ratione vulneribus neruisque sauciatis tritum ex aceto conuenienter imponitur. Nascitur porrò Cilicium in quercubus, exilis cochleæ similitudine, quod illius regionis mulieres ore legunt & coccum vocitant.

De Tragio. Cap. XLIX.

TRAGIVM in Creta tātùm nascitur, lentisco simile, foliis semine ac ramis, singulis tamen minoribus. Liquorem verò profert gummi similem. Folia, semen & lacryma impositione ex vino spicula omniáque corpori impacta euocant. Pota eadem drachmæ vnius pondere stranguriæ medentur, calculos vesicæ comminuunt, & menses trahunt. Aiunt & syluestres capras sagittis ictas huius herbæ pabulo spicula excutere.

De Tragio altero. Cap. L.

Tragium alterū folia scolopendrij habet, & radicem tenuem, candidam, syluestris raphani similem. Hæc seu cruda seu cocta comedatur, dysentericis est auxilio. Cæterùm folia per autumnum hircini virus odorem emittunt: vnde & herba tragij nomen obtinuit. Prouenit in montibus & præcipitijs.

De Trago. Cap. LI.

TRAGVS, quam aliqui Scorpiō, alij Traganon vocāt, frutex est pusillus in maritimis maximè nascens, & per terram sparsus, oblongus, at non ita magnus, palmi altitudine, aut paulò amplior: & is quidē sine folijs est: circa ramos autē hærētes habet velut acinos pusillos, rufos, triticei grani magnitudine, summa parte acuminatos, numerosos, gustuq; admodū astringētes. Racemorū acini decē ex vino poti, cœliacis, fœminísque fluore laborantibus auxiliantur. Sunt & qui tusos digerunt in pastillos, quò fœliciùs asseruentur, iísque ita vtuntur.

A κόκκοι ὡς φακοὶ, οἵτινες ἐκλεγόμενοι συντίθενται. ἀρίστη δέ ἐστιν ἡ Γαλατικὴ καὶ ἡ Ἀρμενιακὴ, ἔπειτα ἡ ἐν *Ἀσίᾳ *καὶ ἡ Κιλίκιος· ἐσχάτη δὲ πασῶν ἡ ἐν Ἰσπανίᾳ. Δύναμιν δὲ ἔχει στυπτικὴν, ἁρμόζουσαν τραύμασι καὶ νεύρων τρώσεσι, λεία μετὰ ὄξους καταπλασσομένη. γίνεται
B δὲ ἡ ἐν Κιλικίᾳ ἐν ταῖς *δρυσὶν ὁμοίως κοχλίᾳ μικρῷ, ἣν αἱ τῇδε γυναῖκες τῷ *στόματι ἀναλέγουσαι κόκκον καλοῦσιν.

V. non habet.

V. ἐν στόματι. Sed Scholion est. al. στόματι.

Περὶ Τραγίου. Κεφ. μθ'.

ΤΡΑΓΙΟΝ φύεται μὲν ἐν Κρήτῃ μόνῃ, ἔχει δὲ τὰ φύλλα σχίνῳ ὅμοια, καὶ τὰς ῥάβδους καὶ τὸν καρπόν, μικρότερα δὲ
C πάντα. φέρει δὲ ὀπὸν κόμμει παραπλήσιον. Ταύτης τὰ φύλλα, καὶ ὁ καρπὸς καὶ τὸ δάκρυον καταπλασσόμενα σὺν οἴνῳ, ἐπισπᾶται σκόλοπας καὶ πάντα τὰ ἐμπηγνύμενα. πινόμενα δὲ, στραγγουρίας ἰᾶται, καὶ λίθους τοὺς ἐν κύστει θρύπτει, καὶ καταμήνια ἄγει. λαμβάνεται δὲ ὁλκὴν
D < α'. φασὶ δὲ καὶ τὰς ἀγρίας αἶγας τοξευθείσας καὶ νεμηθείσας τὴν πόαν, ἐκβάλλειν τὰς ἀκίδας.

Περὶ ἄλλου Τραγίου. Κεφ. ν'.

Τράγιον ἄλλο τὰ μὲν φύλλα ἔχει ὅμοια σκολοπενδρίῳ, ῥίζαν δὲ λεπτὴν, λευκὴν, παραπλησίαν ῥαφανίδι ἀγρίᾳ. Ἥτις
E βοηθεῖ δυσεντερικοῖς ὠμή τε καὶ ἑφθὴ ἐσθιομένη. προσβάλλει δὲ κατὰ τὸ φθινόπωρον τὰ φύλλα τράγου ὀσμήν· ὅθεν καὶ ὠνόμασται τράγιον. Φύεται δὲ ἐν ὀρεινοῖς καὶ κρημνώδεσι τόποις.

Hæc ex Ald. codicis nothis huc trāsferre visum est.

Περὶ Τράγου. Κεφ. να'.

ΤΡΑΓΟΣ, οἱ δὲ, σκορπίον, οἱ δὲ, τράγανος*· φύεται παρὰ θάλασσαν μάλι-
F στα, *θαμνίσκος ἐπὶ γῆς, ἐπιμήκης, οὐ μέγας, ὅσον σπιθαμῆς ἢ μείζων, φύλλα δὲ οὐκ ἔχει· ἐπὶ δὲ τῶν κλάδων προσπεφύκασιν οἱονεὶ ῥᾶγες μικραὶ, πυρραὶ, κατὰ μέγεθος πυροῦ, ὀξεῖαι ἐπ' ἄκρου, πολλαί, λίαν γευσαμένοις στυπτικαί. τούτου ὁ καρπὸς ὡς ῥᾶ-
G γες δέκα σὺν οἴνῳ ποθεῖσαι, κοιλιακοὺς καὶ ῥοϊκὰς γυναῖκας ὠφελοῦσιν. ἔνιοι δὲ καὶ κόπτοντες αὐτόν, ἀναπλάττουσι τροχίσκους εἰς ἀπόθεσιν, καὶ οὕτω χρῶνται.

V. οἱ δὲ, κόκκος βαφικὸς Cat. ac. θαμνίσκος χαμαίφυλλος ἐπὶ γῆς &c. V. conclusis caret.

Περὶ Σχοίνου. Κεφ. νβ'. A

Ald. cod. σχοῖνος λεία τὸ μὲν τι αὐτοῦ καλεῖται σχοῖνος λεία &c. fortè λεία. Sic enim AEgin. quẽ secutus est Hermol. Quidam ex Gal. sic emendãt Σχοῖνος λεία ἄποξυς ἐπ' ἄκρου. ταύτης διαφορὸν εἶδος. τὸ μὲν δὲ αὐτοῦ ὀξύσχοινος, τὸ δὲ ὁλόσχοινος. τῆς δὲ ὀξυσχοίνου δύο εἰσὶν εἴδη. ἡ μὲν γὰρ ἄκαρπος &c. hoc est: Iunci leuis in acutum fastigiati duo sunt genera: vnũ oxyschœnos, alteru holoschœnos: rursus oxyschœni duo assignãtur genera, vnum sterile &c.
V. add. [illegible]
V. [illegible]

ΣΧΟΙΝΟΣ, τούτου διαφορὸν εἶδος. ὃ μὲν τι αὐτοῦ καλεῖται σχοῖνος λεία, τὸ δὲ, ὀξύσχοινος ἄποξυς ἐπ' ἄκρου· διαφορὸν δὲ καὶ ταύτης εἶδος· ἡ μὲν γὰρ ἄκαρπος, ἡ δὲ, καρπὸν μέλανα ἔχει, περιφερῆ. παχύτεροι δὲ ταύτης οἱ κάλαμοι, καὶ σαρκωδέστεροι. Ἔστι δὲ καὶ τρίτη πολλῷ σαρκωδεστέρα B καὶ *παχυτέρα τοῖν δυοῖν, ὁλόσχοινος λεγομένη. ἔχει δὲ καὶ αὐτὴ καρπὸν ἐπ' ἄκρου ὅμοιον τῷ περὶ αὐτῆς. Ἀμφοτέρων δὲ ὁ καρπὸς φρυγεὶς καὶ πινόμενος μετὰ κεράματος, κοιλίας καὶ ῥοῦν ἐρυθρὸν ἵστησι, καὶ οὖρα κινεῖ· ἔστι δὲ καὶ κεφαλαλγής. τὰ δὲ πρὸς τὴν ῥίζαν ἁπαλὰ φύλλα κα- C ταπλαττόμενα, φαλαγγιοδήκτοις ἁρμόζει. Ἡ δὲ *Αἰθιοπικὴ σχοῖνος ὑπνωτικὸν ἔχει τὸν καρπόν· φυλάττεσθαι δὲ δεῖ αὐτοῦ ἐν ταῖς πόσεσι τὸ πλῆθος· καροῖ γὰρ λίαν.

De Iunco. Cap. LII.

IVNCI duo sunt genera: vnum leuis nominati, alterũ oxyschœni dicti, qui quidem in mucronem fastigiatur. Huius rursum duo assignantur genera: vnum quidem sterile: alterum semẽ profert nigrum, rotundum, culmis crassioribus carnosioribúsque. Est & tertius iuncus, qui vocatur Holoschœnos, prioribus illis multò carnosior atq; crassior: is & semen in cacumine gerit, antedicto simile. Porrò semen vtriusque tostum & ex vino diluto potum, sistit aluum *rubentémque fluorem muliebrem: vrinas quoque cit: at capitis dolores facit. Folia autẽ tenera quæ radici proxima sunt, phalangiorũ morsibus conuenienter imponuntur. Cæterùm Æthiopicus iuncus semen habet alliciendi somni vi præditum: at vitanda in potionibus maior ipsius copia, quoniam altum grauémque nimiùm soporem inuehit.

Pl. feminei mensis

Περὶ Λειχῆνος. Κεφ. νγ'. D

ΛΕΙΧΗΝ ὁ ἐπὶ τῶν πετρῶν, οἱ δὲ, βρύον καλοῦσι, βρύον ἐστὶ προσεχόμενον ταῖς ἐνδρόσοις πέτραις. τοῦτο καταπλασθὲν αἱμορραγίας ἵστησι, καὶ φλεγμονὰς παραιτεῖται, καὶ λειχῆνας θεραπεύει· ὠφελεῖ δὲ καὶ ἰκτερικοὺς μετὰ μέλιτος διαχριόμενον· στόματος δὲ καὶ τῆς γλώττης ῥευματισμοὺς παραιτεῖται. E

De Lichene. Cap. LIII.

LICHEN qui petris innascitur, & aliquibus bryon appellatur, ceu muscus est roscidis petris inhærens. Is impositus sanguinis eruptiones sistit, inflammationes lenit, ac impetigini medetur. Iuuat & arquatos cum melle illitus: cæterùm defluxionibus oris ac linguæ succurrit.

Al. πέπλιον

Περὶ Παρωνυχίας. Κεφ. νδ'.

ΠΑΡΩΝΥΧΙΑ φύεται ἐν πέτραις, θαμνίσκιον ὅμοιον πέπλῳ, τῷ δὲ μήκει ἔλαττον, τοῖς δὲ φύλλοις μεῖζον. ὅπερ καταπλασθὲν λεῖον ὅλον παρωνυχίας καὶ κηρία θεραπεύει.

De Paronychia. Cap. LIIII.

PARONYCHIA frutex est pusillus in saxosis nascens, peplo similis, at breuior: folijs tamen maioribus. Ea tota contrita paronychijs atque fauis remedio est.

V. οἱ δὲ φοινικόμην καλοῦσι.
Volg. exempl. [illegible]
Dal. κορυμβώδη corymbis onusta.
Auth. aduers. μελαίνας.
V. κυπερίσκῳ
Auth. aduers. [illegible]
V. [illegible]
V. caret.

Περὶ Χρυσοκόμης. Κεφ. νε'. F

ΧΡΥΣΟΚΟΜΗ *θαμνίον ἐστὶ σπιθαμιαῖον· ἔχον κόμην *κορυμβοειδῆ, ὁμοίαν ὑσσώπῳ· ῥίζαν δασεῖαν, λεπτὴν, ὡς ἐλλεβόρου *μέλανος, γευσαμένῳ οὐκ ἀπηνῆ, *κυπείρῳ *ἴσην ὄσδω, ἐν δὲ γλυκὺ ὑπαυστηρόν· φύεται ἐν παλισκίοις καὶ πετρώδεσι.

Δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ στυπτικὴν ἡ ῥίζα· ἡπατικοῖς καὶ περιπνευμονικοῖς ἁρμόζουσα· λαμβάνεται δὲ καὶ σὺν ὑδρομέλιτι ἑφθὴ πρὸς κάθαρσιν ὑστέρας. G

De Chrysocome. Cap. LV.

CHRYSOCOME frutex est exiguus, palmi altitudine, coma specie corymborum, hyssopo simili, radice densa & ceu veratri nigri tenui, cyperum æquante, gustu minimè aspero, sed ex dulci subaustero. In opacis petrosísque nascitur. Radix calfactoriam adstrictoriámque vim habet, hepaticis & peripneumonicis accommodatam. Sed & eadem decocta in aqua mulsa ad purgandam vuluam assumitur.

De Chrysogono. Cap. LVI.

CHRYSOGONON densè fruticat, folijs quernis, flore verbasci coronarij, radice rapi, intus quidem ruberrima, foris verò nigra. Hæc cum aceto subacta & imposita, contra muris aranci morsus auxiliatur.

De Helichryso. Cap. LVII.

HELICHRYSVM quidã chrysanthemon, alij etiam amarantum vocant, quo Deorum simulachra coronant: ramulum habet ex candido virẽtem, rectum, solidum: folia ex interuallis angusta, abrotono similia: comam in orbem circumactam, aureæ lucis fulgore: vmbellam rotundam, veluti corymbis aridis dependentibus: radicem gracilem. Nascitur in asperis & salebrosis. Coma ex vino pota, contra vrinę difficultatem, serpentiũ morsus, ischiada ruptáque opitulatur, mensésque ciet. Sanguinem concretum ventris aut vesicæ absumit, cum mulso pota. Sistit & destillationes, trium obolorum põdere ieiunis potui data in vino albo diluto. Vestibus quoque interponitur, vt eas à teredinum iniurijs tueatur.

De Chrysanthemo. Cap. LVIII.

CHRYSANTHEMON seu chalcas, alijs buphthalmũ, herba quidem est tenera, at fruticosa, læues proferens caules, foliáque multifida: flores autem luteos eximio splendore micantes, & oculi orbem imitãtes, vnde & buphthalmi nomen obtinuit: propter oppida nascitur: ipsius verò caules olerum instar esitantur. At flores cum cerato triti, steatomata discutere produntur: regio autẽ morbo correptis breui colorem reddunt meliorem, si è balneo post longiorem in eo moram egressis propinentur.

De Agerato. Cap. LIX.

AGERATVM frutex est è cremiorum genere, duorum palmorũ altitudine, humilis, simplex, origano maximè similis, vmbellam gerens, in qua flos aureis quasi bullis emicat, helichryso minor. Age-

A Περὶ Χρυσογόνου. Κεφ. νϛ´.

ΧΡΥΣΟΓΟΝΟΝ *φύλλα ἔχει ὅμοια δρυΐ· ὁ δὲ θάμνος ἐστὶ πυκνός. ἄνθος δὲ παραπλήσιον τῷ στεφανωματικῷ φλόμῳ. ῥίζαν ὁμοίαν γογγύλῃ, ἔνδοθεν ἰσχυρῶς ἐρυθρὰν, ἔξωθεν δὲ μέλαιναν. ἥτις βοηθεῖ σὺν ὄξει λειανθεῖσα καὶ ἐπιτεθεῖσα μυ-
B γαλῆς δήγμασιν.

V. οἱ δὲ σπλάγχνον ἢ χρυσάνθεμον, & picturam ostendit alteræ similem, vt ait Samb.

Περὶ Ελιχρύσου. Κεφ. νζ´.

ΕΛΙΧΡΥΣΟΝ, ⊕ οἱ δὲ, χρυσάνθεμον, οἱ δὲ καὶ τοῦτο ἀμάραντον καλοῦσιν, ᾧ καὶ *τὰ εἴδωλα στεφανοῦσι· ῥάβδιον *λευκὸν, χλωρὸν, ὀρθὸν, στερεόν· φύλλα στενὰ ἐκ διαστημάτων ἔχον πρὸς τὰ τοῦ ἀβροτό-
C νου· κόμην κυκλοτερῆ, *χρυσοφανῆ, σκιάδιον περιφερὲς, ὥσπερ κορύμβοις ξηροῖς, ῥίζαν λεπτήν. φύεται δὲ ἐν τραχέσι καὶ χαραδρώδεσι τόποις. Βοηθεῖ δὲ ἡ κόμη σὺν οἴνῳ ποθεῖσα, δυσουρίαις καὶ ἑρπετῶν δήγμασι, καὶ ἰσχιάσι καὶ ῥήγμασι· καὶ ἔμμηνα ἄγει. καὶ θρόμβους αἵματος
D τοὺς ἐν κύστει *ἢ κοιλίᾳ] τήκει, [σὺν *οἰνομέλιτι πινομένη· ἴσχει δὲ καὶ καταρροίας ὅσον τριώβολον νήστει δοθεῖσα ἐν κράματι οἴνου λευκοῦ· συντίθεται δὲ καὶ μετὰ ἱματίων, ἄβρωτα τηροῦσα αὐτά.

Al. τοὺς θεοὺς
V. his caret χρυσοφ.
Forte, χρυσαυγῆ
V. caret. Lacuna in vet. cod. legit, σὺν οἴνῳ ἢ οἰνομέλιτι

Περὶ Χρυσανθέμου. Κεφ. νη´.

E ΧΡΥΣΑΝΘΕΜΟΝ, ἢ *χαλκὰς, ⊕ οἱ δὲ, βούφθαλμον· τρυφερά τις πόα, *θαμνοειδὴς δὲ, *λείους ἀναφέρουσα καυλοὺς καὶ φύλλα *πολυσχιδῆ· ἄνθη μήλινα, ἰσχυρῶς στίλβοντα, καὶ ὀφθαλμὸν κυκλοτερῆ, διὸ καὶ οὕτως ὠνόμασται· φύεται περὶ τὰς πόλεις· ⊕ καυλοὶ δὲ αὐτοῦ λα-
F χανεύονται. Τὰ δὲ ἄνθη λεῖα μετὰ κηρωτῆς, στεατώματα λέγεται διαφορεῖν· ἰκτερικοὺς δὲ προσκαίρως εὐχρόους ποιεῖ, ποθεῖσα μετὰ τὴν ἐν τοῖς λουτροῖς ἀπὸ τῆς μακρᾶς διατριβῆς ἔξοδον.

Al. καλχάς, vt lib. 3 cap. 157.
V. θαμνώδης
V. πλείους
V. πολυσχιδῆ

Περὶ Αγηράτου. Κεφ. νθ´.

ΑΓΗΡΑΤΟΝ θάμνος ἐστὶ φρυγανώδης, *σπιθαμώδης, ταπεινὸς, ἁπλοῦς,
G ἐμφερὴς μάλιστα ὀριγάνῳ· σκιάδιον ἔχων, ἐφ' οὗ ἄνθος πομφολυγῶδες, χρυσοειδὲς, *ἔλαττον ἑλιχρύσου. ὠνόμασται δὲ ἀγή-

V. caret his duobus.

Margo: ἀναδίδωσι δὲ διαφόρου κόμης τινὰς ἀφεψήματος.
V. ἡ πόα non habet.

ρᾶτον, διὰ τὸ ἐπιπολὺ τὸ ἄνθος ὁμοιοειδὲς φυλάττεσθαι. Δύναμιν δὲ ἔχει τὸ ἀφέψημα αὐτοῦ* πυριατικήν· καὶ αὐτὴ * ἡ πόα ἀναθυμιωμένη οὖρα ἄγει, καὶ τὰ περὶ ὑστέραν μαλάττει.

Περὶ Περιστερεῶνος. Κεφ. ξ'.

V. ἐνδιατρίβειν αὐτῇ.

V. μονόκαυλος. Samb. μονόκλαδος.

V. νεαρῷ

ΠΕΡΙΣΤΕΡΕΩΝ φύεται ἐν ἐνύδροις τόποις. δοκεῖ δὲ ὠνομάσθαι ἐκ τοῦ τὰς περιστερὰς ἡδέως* διατρίβειν ἐν αὐτῇ. πόα δέ ἐστι σπιθαμιαῖον ἔχουσα τὸ ὕψος, ἢ καὶ μεῖζον, πέταλα ἐντετμημένα, ὑπόλευκα, ἐκπεφυκότα ἐκ τοῦ καυλοῦ· *μονόκλωνος ὡς τὸ πολὺ καὶ μονόρριζος εὑρίσκεται. Δοκεῖ τε τὰ φύλλα σὺν ῥοδίνῳ ἢ στέατι χοιρείῳ *νεαρῷ προστιθέμενα, ἀνώδυνον ὑστέρας ποιεῖν. στέλλει δὲ καὶ ἐρυσιπέλατα σὺν ὄξει καταπλασθεῖσα, καὶ σηπεδόνας ἐπέχει, καὶ τραύματα κολλᾷ, καὶ τὰς οὐλοῖ τὰ παλαιὰ σὺν μέλιτι.

G. Vterq; codex hunc titulũ περὶ περιστερεῶνος ὑπτίου habet. Antiquus codex manuscriptus habet ὑπτίου.

Περὶ Ἱερᾶς Βοτάνης. Κεφ. ξα'.

V. caret.

Ἱερὰ βοτάνη, ἣν δὲ περιστερεῶνα* ἐκάλεσαν, ῥάβδους ἀνίησι πηχυαίους ἢ καὶ μείζονας, γωνιοειδεῖς, περὶ ἃς τὰ φύλλα ἐκ διαστημάτων ἐοικότα δρυΐ, πλὴν στενώτερα* καὶ ἥττονα,] ἐντετμημένα δὲ περὶ κύκλῳ, ὑπόγλαυκα· ῥίζαν δὲ ὑπομήκη, λεπτήν· ἄνθη πορφυρᾶ, λεπτά.

Lacuna legit in antiquo exemplari, πρὸς ἑρπετὰ καὶ ἐρυσιπέλατα.

E Ταύτης τὰ φύλλα καὶ ἡ ῥίζα ποτιζόμενα μετ' οἴνου καὶ καταπλασσόμενα, ποιεῖ πρὸς ἑρπετά· πρὸς δὲ ἴκτερον τὰ φύλλα ὅσον < ὁλκὴν μετὰ λιβανωτοῦ τετρωβόλου, σὺν οἴνου* παλαιοῦ κοτύλῃ μιᾷ νήστει ἐφ' ἡμέρας μ'. πινόμενα· οἰδήματά τε χρόνια καὶ φλεγμονὰς καταπλασθέντα πραΰνει.

V. addit, τὰ φύλλα καταπλασθέντα

F καὶ ῥυπαρὰ ἕλκη καθαίρει. ἑψηθεῖσα δὲ ὅλη σὺν οἴνῳ, ἐσχάρας τὰς ἐν παρισθμίοις περιρρήσσει, καὶ νομὰς τὰς ἐν στόματι ἀναγαργαριζομένη ἐφίστησι. ῥαινόμενόν τε ἐν συμποσίοις τὸ ἀπόβρεγμα, διαγωγοτέρους ἱλαρωτέρους ποιεῖν· δίδοται δὲ τριταΐζουσι πίνειν τὸ τρίτον γόνυ ἀπὸ τῆς γῆς σὺν τοῖς περικειμένοις φύλλοις· τεταρταΐζουσι δὲ τὸ

G τέταρτον.* καλοῦσι δὲ αὐτὴν ἱερὰν βοτάνην, διὰ τὸ εὔχρηστον ἐν τοῖς καθαρμοῖς εἶναι εἰς περιάμματα.

V. caret sequentibus.

A rati nomen illi inditum est, quoniam flos diutissimè in sua coloris specie conseruatur. Vis decocti fotibus apta. Herbæ quoque ipsius vstæ nidor vrinas ciet, vuluæq; duritias emollit.

De Peristereone, seu Verbenaca recta. Cap. LX.

B VERBENACA in aquosis nascitur: nomen autem Græcum ex eo duxisse videtur, quòd libẽter circa eam columbæ commorentur. Herba est palmi altitudine, aut etiã maior, folijs incisis, subalbidis, è caule prodeuntibus: singulari plerunque ramo & radice vnica reperitur. Folia cum rosaceo aut adipe

C suillo recenti subdita, vuluæ dolorem adimere creduntur. Ipsa quoque herba imposita cum aceto, erysipelata reprimit, putridáque vlcera cohibet: vulnera etiamnũ glutinat, veteráque cum melle ad cicatricem perducit.

De Hierabotane, seu Verbenaca supina. Cap. LXI.

D Herba sacra, quam etiã nonnulli peristereona vocarunt, ramulos emittit cubitales, aut etiam maiores & angulosos, circa quos folia sunt ex interuallis, quernis similia, sed angustiora minoráque, diuisuris incisa per ambitum, & colore aliquatenus glauco: radicem lõgiusculam

E & gracilem, flores purpureos ac tenues. Huius folia cum radice ex vino pota illitáve, aduersus serpentes pollent: eadem illa contra morbum regiũ drachmæ vnius pondere ex vini veteris & calidi hemina vna quaternis diebus ieiuno ventriculo bibuntur. Sed & œdemata diuturna inflammationésq; imposita

F mitigant, sordidáq; vlcera purgant. Tota verò herba in vino decocta, tonsillarũ crustas abrumpit, & oris nomas gargarizatu cohibet. Aiunt, si aqua spargatur tricliniũ quâ maduerit, lætiores hilariorésve conuiuas fieri. Datur & potandum tertiana laborantibus tertium à terra

G geniculum vnà cum folijs circundantibus, vti & quartanã, quartum. Cæterùm sacram herbam ideò vocant, quòd in expiationibus sit ad amuleta perutilis.

De Astra-

De Astragalo. Cap. LXII.

ASTRAGALVS paruus est à terra frutex, folijs & ramulis ciceri similis: floribus purpureis, paruis: radice rotunda, raphani modo prægrandi: quæ adnatas habet appẽdices, easque solidas, nigras, præduras, ceu cornua inter se implicatas, gustúque astringentes. Nascitur in ventosis, opacis atque niualibus: magna verò copia in Pheneo Arcadiæ. Radix fluentem aluum in vino pota sistit, vrinásque mouet: veteribus quoque vlceribus sicca efficaciter inspergitur, sanguinémq; supprimit: verùm difficilè soliditatis suæ ratione tunditur.

De Hyacintho. Cap. LXIII.

HYACINTHVS folia habet bulbi, caulem dodrantalem, læuem, minimo digito graciliorẽ, & herbacei coloris, cui coma incumbit incurua, florũ purpurascentium plena: radicem quoq; bulbaceam. Hæc, vt creditur, pueris è vino albo illita, pubertatem coërcet, & nõ patitur erumpere. Sistit & aluum, vrinámque impellit pota, phalangiorúmq; morsibus resistit. At semen astringentius est, atque adeò cœliacis auxiliatur, theriacísq; ipsum expetitur, ac regium quoque morbũ emendat cum vino potum.

De Papauere erraticõ. Cap. LXIIII.

PAPAVER erraticũ, quod à flore protinus deciduo rhœadis nomen à Græcis accepit, in aruis vere nascitur, quo quidẽ tempore etiam colligitur. Folia origano aut erucæ aut cichorio aut thymo similia spectantur, eáque diuisa, sed longiora & scabra. Caulis ei lanuginosus, rectus, asper, & ferè cubitali altitudine. Flos puniceus, interdum & candidus, syluestris anemones similitudine: caput oblongum, sed quàm anemones minus: semen rufum: radix oblonga, subalbida, parui digiti crassitudine & amara. Huius capitula quinque aut sex in vini cyathis tribus decocta dum ad duos redeant, ijs potui dabis, quibus somnum inducere volueris. At semen acetabuli mensura ex aqua mul sapotũ, aluum leniter emollit:

A Περὶ Ἀστραγάλου. Κεφ. ξβ΄.

ΑΣΤΡΑΓΑΛΟΣ θαμνίσκος ἐστὶ μικρὸς ἐπὶ γῆς, φύλλοις καὶ κλωνίοις ὅμοιος ἐρεβίνθῳ· ἄνθη πορφυρᾶ, μικρά· ῥίζα δὲ ὕπεστι στρογγύλη ὥσπερ ῥάφανος εὐμεγέθης, παραφυάδας ἔχουσα στερεάς, μελαίνας, σκληροτέρας, ὡς κέρατα αὐτεμ- B πεπλεγμένας ἀλλήλαις, γευσαμένῳ στυπτικάς. φύεται δὲ ἐν εὐανέμοις καὶ συσκίοις καὶ χιονιζομένοις τόποις. πολλὴ δὲ ἐν Μεμφίδι τῆς Ἀρκαδίας. Ἵστησι δὲ κοιλίαν ῥευματιζομένην ἐν οἴνῳ ποθεῖσα ἡ ῥίζα· κινεῖ τε καὶ οὖρα· ποιεῖ καὶ πρὸς παλαιὰ ἕλκη ξηρὰ ἐπιπασσομένη· καὶ αἷμα ἴσχει· κόπτε- C ται δὲ δυσχερῶς διὰ τὸ στερεὸν αὐτῆς.

V. θάμνος
V. φοινικᾶ.
Dalech βάλανος legendum suspicatur.
Al. σκληροτάτας
V. non habet.
V. ἀνηλίοις καὶ χιονιζομένοις
V. φινεῷ. Orib. φαινεῷ

Περὶ Ὑακίνθου. Κεφ. ξγ΄.

ΥΑΚΙΝΘΟΣ φύλλα ἔχει ὅμοια βολβῷ· καυλὸν σπιθαμιαῖον, λεῖον, λεπτότερον τοῦ μικροῦ δακτύλου, χλωρόν· κόμην ἐπικεκλιμένην κυρτήν, ἄνθους πλήρη πορφυροειδοῦς· ῥίζαν καὶ αὐτὴν ἐμ- D φερῆ βολβῷ. Ἥτις σὺν οἴνῳ καταπλασθεῖσα λευκῷ ἐπὶ παίδων, ἀνήβους τηρεῖν πεπίστευται· ἵστησι δὲ καὶ κοιλίαν, καὶ οὖρα ἄγει ποθεῖσα, καὶ φαλαγγιοδήκτους ὠφελεῖ. ὁ καρπὸς δὲ στυπτικώτερος ὢν καὶ αὐτός, θηριακοῖς ἁρμόζει· ἴκτερόν τε ἀποκαθαίρει σὺν οἴνῳ πινόμενος.

V. non habet.
Al. ἐπὶ γῆς κεκλιμένην
Al. φοινικοῦντος
V. caret.
Lacuna legit in antiquo, καὶ αὐτὸς κοιλιακοὺς ὠφελεῖ.
V. inserit, καὶ κοιλιακοῖς.

E Περὶ Μήκωνος ῥοιάς. Κεφ. ξδ΄.

ΜΗΚΩΝ ῥοιάς, ὠνόμασται δὲ διὰ τὸ ταχέως τὸ ἄνθος ἀποβάλλειν, φύεται ἐν ἀρούραις ἔαρος, ὅτε καὶ συλλέγεται. ἔοικε δὲ τὰ φύλλα ὀριγάνῳ, ἢ εὐζώμῳ ἢ κιχωρείῳ ἢ θύμῳ, ἐπεσχισμένα, μακρότερα δὲ καὶ τραχέα· καυλὸν δὲ * σχοινώδη, F ὄρθιον, τραχύν, ὡς πήχεως· ἄνθος φοινικοῦν, ἐνίοτε δὲ καὶ λευκόν, ὅμοιον τῷ τῆς ἀγρίας ἀνεμώνης· κεφαλὴ δὲ παραμήκης, ἥττων μέντοι ἢ τῆς ἀνεμώνης· καρπὸς πυρρός· ῥίζα ἐπιμήκης, ὑπόλευκος, δακτύλου ἔχουσα μικροῦ πάχος, πικρά. Ταύτης τὰ κεφάλια πέντε ἢ ϛ΄. G μετ' οἴνου κυάθων τριῶν ἑψήσας ὡς εἰς β΄. ἀγαγεῖν, πότιζε οὓς ἂν βούλῃ ὑπνῶσαι. τοῦ δὲ σπέρματος ποθὲν ὅσον ὀξύβαφον σὺν μελικράτῳ, κοιλίας ἠπίως μαλάσσει·

Al. ἐν ἀρίστοις.
Quidam ἢ εὐζώμῳ non legunt.
Tragus. ἀργεμώνης
Cornarius τεττάρων ex Plinio legendum suspicatur.

V. nõ habet quæ conclusa sunt.

μίγνυται δὲ καὶ μελιπλώμασι [καὶ ἰτρίοις A πρὸς τὸ αὐτό.] τὰ δὲ φύλλα σὺν ταῖς κωδίαις καταπλασθέντα, φλεγμονὰς ἰᾶται. καὶ τὸ ἀφέψημα δὲ αὐτῶν ἀντληθὲν, ὑπνοποιόν ἐστι.

Sic Lac. ex vet. cod. at vulg. ex. ἄντλημα

Περὶ Μήκωνος ἡμέρου * καὶ ἀγρίας.

Κεφ. ξε'.

B Μήκωνος ἡ μέν τίς ἐστιν ἥμερος, κηπευτή, ἧς τὸ σπέρμα ἀρτοποιεῖται εἰς τὴν ἐν ὑγείᾳ χρῆσιν· καὶ σὺν μέλιτι δὲ ἀντὶ σησάμης αὐτῇ χρῶνται. καλεῖται δὲ θυλακῖτις, ἐπιμήκης ἔχουσα τὸ κεφάλιον, καὶ τὸ σπέρμα λευκόν. Ἡ δέ τις ἀγρία ἐστὶ καθημένην ἔχουσα τὴν κωδίαν, μέλαν σπέρμα. ἣν καὶ πιθῖτιν ὀνομάζουσιν· ὑπ' ἐνίων δὲ ῥοιὰς C καὶ αὐτή, διὰ τὸ ῥεῖν ἐξ αὐτῆς τὸν ὀπόν. Τρίτη δὲ ἀγριωτέρα καὶ φαρμακωδεστέρα καὶ μακροτέρα τούτων, ἔχουσα τὴν κωδίαν ἐπιμήκη. Κοινὴ δὲ αὐτῶν δύναμις ψυκτική· ὅθεν τὰ φύλλα καὶ αἱ κωδίαι καθεψηθεῖσαι ἐν ὕδατι καὶ προσαντλούμεναι, ὑπνοποιοῦσι. πίνεται δὲ πρὸς ἀγρυπνίαν D τὸ ἀφέψημα. καὶ εἰς τὰ καταπλάσματα δὲ λεῖαι αἱ κωδίαι μετὰ ἀλφίτων μιγνύμεναι, πρὸς φλεγμονὰς καὶ ἐρυσιπέλατα ἁρμόζουσι. δεῖ δὲ κόπτοντας αὐτὰς χλωρὰς ἀναπλάττειν εἰς τροχίσκους, καὶ ξηραίνοντας ἀποτίθεσθαι, καὶ οὕτω χρῆσθαι. καθ' ἑαυτὰς δὲ ἑψηθεῖσαι αἱ κωδίαι ἐν ὕ- E δατι μέχρις ἡμίσεως, εἶτα σὺν μέλιτι πάλιν ἑψηθεῖσαι, ἄχρις ἂν συστραφῇ τὸ ὑγρόν, ποιοῦσι φάρμακον ἐκλεικτὸν, ἀνώδυνον πρὸς βῆχας καὶ ῥευματισμοὺς ἀρτηρίας καὶ κοιλιακὰς διαθέσεις. ἐνεργέστερον δὲ γίνεται, μιχθέντων αὐτῷ ὑποκιστίδος χυλοῦ καὶ ἀκακίας. τὸ δὲ σπέρμα τῆς F μελαίνης μήκωνος λεῖον σὺν οἴνῳ ποτίζεται πρὸς ῥεῦμα κοιλίας καὶ γυναικεῖον ῥοῦν. καταπλάσσεται δὲ ἐπὶ τῶν ἀγρυπνούντων μεθ' ὕδατος, κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων. ὁ δὲ ὀπὸς καὶ αὐτὸς ψύχων ἐπιπλέον καὶ παχύνων καὶ ξηραίνων· ληφθεὶς βραχὺς ὅσον ὄροβος, ἀνώ- G δυνός ἐστι καὶ ὑπνοποιὸς καὶ πεπτικός· βοηθεῖ βηξὶ καὶ κοιλιακαῖς διαθέσεσι· πλείων δὲ ποθεὶς, βλάπτει ποιῶν ληθαργικούς, καὶ ἀναιρεῖ. ποιεῖ δὲ καὶ κεφαλαλ-

V. ἐπιμήκη

Al. [illegible]

Dodon. legit, μικροτέρα

V. legit, καταπλάσσεται δὲ ἐπὶ τοῦ μετώπου καὶ τῶν κροτάφων, ὅπου χρεία ὑπνῶσαι.

Al. βραχεῖς

ad idem præstandum mellitis placentulis & dulciarijs libis admiscetur. Cæterùm folia cum calycibus imposita, inflammationibus medentur: ac eorundem quoque decoctum fotu seu perfusione somniferum est.

De Papauere satiuo & syluestri.

Cap. LXV.

Papaueris genus quoddam est satiuum & hortense, cuius semen in sanorum vsum ad panes adhibetur: eo etiam ex melle pro sesama vtuntur: thylacitin, quasi folliculosum, vocant. Capitulum id habet oblongum, & semen candidum. Alterum est syluestre papaueris genus, sessili calyculo & semine nigro. Nõnullis & ipsum rhœas ex eo dicitur, quòd ab eo liquor emanet. Quod pithithitis, quasi doliare nominatur. Est & tertium agrestius, ac medicatius, hísque longius, oblongo capitulo. Omnibus in commune vis est refrigerandi: proinde si folia cum capitibus ipsis in aqua decocta fuerint, somnum fotu conciliant: bibitur & decoctum contra vigilias. Calyces verò triti & cum polenta cataplasmatis admisti, inflãmationibus ac erysipelatis prosunt. Verùm ex ipsis dum adhuc virent tusis fingi trochiscos oportet, cósque siccatos ad vsum recondere. Ex ijsdem quoque calycibus per se in aqua decoctis ad dimidias, iterúmque deinde cum melle ad iustam spissitudinem percoctis eclegma conficitur, quod in tussi, arteriæ fluxionibus, cœliacísque affectibus doloris leuamentum præstat. Efficacius tamen redditur, additis hypocisthidis succo & acacia. Papaueris autem nigri semen tritum cum vino, potui datur contra fluxionem alui fluorémque muliebrem. At in peruigilijs fronti temporibúsque ex aqua imponitur. Ipse verò liquor refrigerat magis, incrassat, exiccatq́. Súptus erui magnitudine, dolores sedat, somnum conciliat, & concoctioné adiuuat: tussi, cœliacorumq́ affectibus auxiliatur. Verùm si copiosior hauriatur, accersito lethargo etiá mortifer est. Est & ad capi-

tris dolores efficax, si cũ rosaceo irrigetur: vti & ad aurium dolores, si cũ amygdalino, myrrha & croco instilletur. Oculorũ inflãmationibus cum oui luteo tosto & croco proficit: erysipelatis ac vulneribus, cum aceto: podagris, cum lacte muliebri & croco: denique sedi pro balano subditus somnum facit. In eo liquoris genere præstantissimus censetur qui densus & grauis est, odoratu soporifer, gustu amarus, quíque facilè aqua diluitur, læuis, candidus, neq; asper neque grumosus, quiq; inter colandum non vti cera coit densatúrve, sed Soli expositus diffunditur, & ad lucernam accẽsus, minimè atra obscuráve lucet flãma: qui denique postquã extinctus fuerit, suã odoris vim etiamnum conseruat. Ipsum porrò admixto glaucio, aut gummi, aut syluestris lactucæ succo adulterant. Veruntamẽ qui glaucio fucatus est, dũ diluitur colorẽ croci reddit: qui verò agrestis lactucę succo, exili & euanido est odore, asperiórq; spectatur: qui deniq; gummi vitiatus est, inualidus est, inodorus atq; pellucidus. Nec desunt qui eò demẽtiæ deuenerint, vt & adipem illi admiscerẽt. Porrò ad oculorum medicamenta fictili nouo torretur, dum mollior fuluiórq; appareat. At Erasistratus, Diagorã testatur illius vsum damnasse in auriũ doloribus & oculorum lippitudinibus, quoniã & visus aciem hebetaret & soporifer esset. Addidit Andreas protinus excæcatum iri qui eo illinerẽtur, nisi adulteraretur. Mnesidemus prętereà vsum duntaxat olfactandi probauit ad conciliandũ somnum: alioqui ceu noxium damnat. Quæ quidẽ omnia cõmentitia esse experimento deprehenditur, siquidẽ effectus virium huiusce medicamẽti fidem facit. Quare nõ abs re fuerit liquoris illius excipiendi rationem subtexere. Nonnulli capita foliáque ipsa tundũt & prælo exprimũt, mox terentes in mortario, pastillos effingunt: id meconium vocatur, multum opio ignauius. At opij faciendi ratio hæc est: Cum ros exaruerit, stellulam (quæ in summo papaueris capite visitur) cultello ita scarificare oportet, vt ne penitus intrò adigatur, & à capitis late-

A γῆσι σὺν ῥοδίνῳ ἐμβρεχόμενος· ὠταλγοῦσι δὲ, σὺν ἀμυγδαλίνῳ καὶ κρόκῳ καὶ σμύρνῃ ἐγχεόμενος· ἐπὶ δὲ φλεγμονὰς ὀφθαλμῶν, σὺν λεκύθῳ ὀπτῇ καὶ κρόκῳ· καὶ πρὸς ἐρυσιπέλατα δὲ καὶ τραύματα, σὺν ὄξει· πρὸς δὲ ποδάγρας, σὺν γάλακτι γυναικείῳ καὶ κρόκῳ· προστεθεὶς δὲ δακτύλῳ ἀντὶ βαλάνου, ὕπνον ποιεῖ.
B κράτιστος δὲ ἐστιν ὀπὸς ὁ πυκνὸς καὶ βαρὺς, ἐν δὲ τῇ ὀσμῇ καρωτικὸς, πικρὸς ἐν τῇ γεύσει, εὐχερῶς διϊέμενος ὕδατι, λεῖος, λευκὸς, οὐ τραχὺς, οὔτε θρομβώδης, οὔτε συστρεφόμενος ἐν τῷ διηθεῖσθαι ὡς κηρὸς, ἔν τε τῷ ἡλίῳ τεθεὶς, διαχεόμενος, καὶ πρὸς λύχνον ἐξα-
C πτόμενος οὐ ζοφώδει φλογί· φυλάσσων τε μετὰ τὸ σβεσθῆναι τὴν ἐν τῇ ὀσμῇ δύναμιν. δολοῦσι δὲ αὐτὸν γλαύκιον μιγνύντες ἢ κόμμι, ἢ χυλὸν ἀγρίας θρίδακος· ἔστι δὲ ὁ μὲν ἐκ τοῦ γλαυκίου, κροκίζων ἐν τῇ ἀνέσει· ὁ δὲ ἐκ τῆς θρίδακος, ἐξίτηλος τὴν ὀσμὴν καὶ τραχύτερος· ὁ δὲ
D ἐκ τοῦ κόμμεως, ἄτονος καὶ διαυγής. ἔνιοι δὲ εἰς τοσοῦτον ἀνοίας παραγίνονται, ὡς καὶ στέαρ παραμιγνύναι αὐτῷ. φώγνυται δὲ εἰς τὰ ὀφθαλμικὰ ἐπ' ὀστράκου καινοῦ, ἕως ἂν μαλακώτερος καὶ κιῤῥότερος φανῇ. Ἐρασίστρατος μέντοι Διαγόραν φησὶν ἀποδοκιμάζειν αὐτοῦ τὴν χρῆσιν ἐπὶ τῶν ὠταλγι-
E κῶν καὶ ὀφθαλμιώντων, διὰ τὸ ἀμβλυωπὲς εἶναι καὶ καρωτικόν. Ἀνδρέας δὲ φησιν, ὅτι εἰ μὴ ἐδολοῦτο, ἐτυφλοῦντο ἂν οἱ ἐγχριόμενοι ὑπ' αὐτοῦ. Μνησίδημος δὲ φησι μόνην αὐτοῦ χρῆσιν εἶναι τὴν κατ' ὄσφρησιν, εἰς ὕπνον ἁρμόζουσαν· ἄλλως δὲ ἐπιβλαβῆ τυγχάνειν· ἅπερ ἐστὶ ψευδῆ, ὑπὸ τῆς
F πείρας ἐλεγχόμενα· διὰ τὸ ἐπιμαρτυρεῖσθαι τοῖς ἔργοις τὴν ἐνέργειαν τοῦ φαρμάκου. οὐκ ἄτοπον δὲ ὑπογράψαι καὶ τὸν τρόπον ᾧ συλλέγουσι τὸν ὀπόν. ἔνιοι μὲν οὖν τὰς κωδίας μετὰ τῶν φύλλων κόπτοντες ἐκθλίβουσι διὰ πιεστῆρος, καὶ τρίβοντες ἐν θυίᾳ, ἀναπλάττουσι τροχίσκους· καλεῖται δὲ τὸ τοιοῦτον μη-
G κώνιον, ἀδρανέστερον τοῦ ὀποῦ. ὀπίζοντας δὲ δεῖ, μετὰ τὸ τὰς δρόσους ἀναξηρανθῆναι, περιχαράσσειν μαχαιρίῳ τὸν ἀστερίσκον, ὡς μὴ εἰς τὰ ἐντὸς διατρῆσαι, καὶ ἐκ πλα-

Al. ὠοῦ

Al. δακτυλίῳ

Lacuna legit ex vet. cod. i. πυκνότατος καὶ βαρύοσμος

Addit Lacuna ex vet. cod. καὶ ἄοσμος

Al. ἀγνοίας

V. codex bis caret.

ζόμων δὲ τῆς κωδίας ἐπ' εὐθείας ἐκτέμνειν A
ἐξεπιπολῆς, καὶ ἀποψᾶν τὸ δάκρυον ἐκθλι-
χόμενον δακτύλῳ εἰς μύακα· καὶ πάλιν ἐ-
πιπορεύεσθαι μετ' οὐ πολύ· εὑρίσκεται γὰρ ἐ-
πισυνεστώς, καὶ τῇ ἐπιούσῃ δὲ οὕτως εὑρίσκε-
ται. δεῖ δὲ ἐν θυΐᾳ τρίβειν καὶ ἀποτίθεσθαι
ἀναπλάσσοντας. ἐν μέν τοι τῷ τέμνειν ὀ-
πίσω ἀναχωρεῖν δεῖ, πρὸς τὸ μὴ ἀποψᾶ- B
σθαι τῶν ἱματίων τὸν ὀπόν.

Vterq; Goupyl. codex ὡς συμπλαῖσ τ.

Περὶ Μήκωνος κερατίτιδος. Κεφ. ξϛʹ.

Μήκων κερατῖτις, οἱ δὲ, παράλιον, οἱ δὲ, ἀγρίαν μήκωνα, οἱ δὲ, θαλάσσιον· φύλλα ἔχει λευκά, δασέα, ὅμοια φλόμῳ, πεπρισμένα τὴν περιφέρειαν, ὥσπερ τὰ τῆς ἀγρίας μήκωνος, καὶ τὸν καυλὸν ὅμοιον, C ἄνθος ὠχρόν. καρπὸν δὲ *μικρὸν, καμπύλον ὥσπερ κέρας, ὅμοιον τῷ τῆς τήλεως ὅθεν καὶ ἐπωνόμασται· σπέρμα δὲ μικρὸν, μέλαν, ὅμοιον τῷ τῆς μήκωνος. ῥίζαν ἐξεπιπολῆς φυομένην, μέλαιναν, παχεῖαν. φύεται ἐν παραθαλασσίοις τόποις καὶ τραχέσι.

Vetus ξηρία addit, & probe, ait Samb.

Ald. παῖδας

Δύναμιν δὲ ἔχει ἡ μὲν ῥίζα ἑψηθεῖσα D ἄχρις ἡμίσεος ἐν ὕδατι καὶ ποθεῖσα, ἰσχιάδας καὶ ἡπατικὰς διαθέσεις θεραπεύειν· καὶ τοὺς παχέα ἢ ἀραχνώδη οὐροῦντας ὠφελεῖν. τὸ δὲ σπέρμα πλῆθος ὀξυβάφου ποθὲν σὺν μελικράτῳ, κοιλίαν ἐπιεικῶς καθαίρει· τὰ δὲ φύλλα καὶ τὰ ἄνθη ἐσχάρας περιρρήσσει, καταπλασθέντα σὺν ἐλαίῳ· ἐγχριόμενα E δὲ, τὰ ἐπὶ κτηνῶν ἄργεμα καὶ νεφέλια ἀποκαθαίρει. ἔνιοι δὲ ἐπλανήθησαν, νομίσαντες ἐκ ταύτης τὸ γλαύκιον γίνεσθαι διὰ τὴν τῶν φύλλων ἐμφέρειαν.

Περὶ Μήκωνος ἀφρώδους. Κεφ. ξζʹ.

Μήκων ἀφρώδης, ὑπὸ δέ τινων Ἡράκλεια κληθεῖσα, καυλὸν ἔχει σπιθαμιαῖον, F καὶ τὰ φύλλα σφόδρα μικρά, στρουθίῳ ἐοικότα, καὶ καρπὸν ἐπ' αὐτοῖς λευκόν. ἔστι δὲ τὸ ὅλον δὲ βοτάνιον λευκὸν ἔστι καὶ ἀφρῶδες· ῥίζαν δὲ λεπτὴν *ἐπιπλέον. Ταύτης ὁ καρπὸς συλλέγεται ὅταν τελείως ἁδρυνθῇ θέρους, καὶ ξηρανθεὶς ἀποπέσῃ· καθαίρει δὲ δι' ἐμέτων, ὀξυβάφου πλῆθος G σὺν μελικράτῳ λαμβανόμενος· ἰδίως δὲ ἡ τοιαύτη κάθαρσις ἐπιληπτικοῖς ἁρμόζει.

V. inserit πανδ.

V. non legit conclusa.

Mathioli & Orib. cod. ἀποπίπτῃ.

ribus per directum summam cutem incidere, & erumpentem lacrymam digito in conchulam abstergere, ac non ita multò pòst eò redire: tũ enim rursum & alia densata reperitur, atque etiam postero die. Tandem in pila teri & in pastillos coacta reponi debet. Veruntamen interea dum inciditur, retrocedendum est, vt ne liquor vestium affrictu deradatur.

De Cornuto papauere. Cap. LXVI.

Corniculatum papauer alij paralium, seu thalassion, quasi in maritimis nascens, alij agreste vocát: folia habet candida, hirta, verbasco similia, serrata in ambitu syluestris papaueris modo, & caule non dissimili, flore ex luteo pallescente, siliqua longa, in corniculi modũ inflexa ceu fœnigræci, vnde & nomen accepit: semine exili nigróque ceu papaueris: radice per summa cespitum nascente, nigra, crassa. Gignitur in maritimis & asperis. Radici ea vis inest, vt decocta in aqua ad dimidias coxendicũ & iecinoris vitia potu sanet, iisque prosit qui crassa & araneosa quædam cum lotio reddunt. Semen acetabuli mensura ex aqua mulsa potũ, leniter aluũ purgat. Illita ex oleo folia florésque, crustas emarginát: argemas & nubeculas iumentorum inunctione depurgant. Cęterùm non desunt qui ex hoc papaueris genere factitari glaucium falsò existimarint, decepti quadam foliorum similitudine.

De Papauere spumeo. Cap. LXVII.

Papauer spumeum, ab aliquibus Heracliũ vocatũ, caule est dodrantali, foliis admodum paruis, radiculæ similibus, semine inter ea candido. Sed & herbula tota candida est atque spumea, radice alba, in summa terra nascente. Legitur æstate semen, cùm integrè adoleuerit, aridúmque deciderit. Acetabuli autẽ mensura sumptum in aqua mulsa, vomitione purgat, priuatímque huiusmodi purgatio comitialibus prodest.

P. l. in summa terra cort.

De Hypecoo. Cap. LXVIII.

HYPECOON aliqui hypopheō vocant. Nascitur in triticeis segetibus aruísque, folio ceu rutæ, ramulis exilibus. Natura ei eadē, quæ papaueris succo.

De Apollinari, siue Hyoscyamo. Cap. LXIX.

HYOSCYAMVS frutex est caules emittēs crassos, folia lata, oblōga, diuisa, nigra, hirsuta: secūdùm verò caulē continua quasi serie flores prodeunt, tanquā punicorū cytini, scutulis septi seminum plenis, ceu papaueris. Tria porro sunt eius genera. Vnū siquidē flores profert penè purpureos, folia smilaci proxima, semen nigrum, ac cytinos prædurós & spinosos: alterū flores habet luteos, folia & siliquas molliores teneriorésve, & semē subflauū, irionis semini simile. Ambo insaniā gignūt & soporem, ideóque vix in communē vsum recipiūtur. Tertiū genus quod mitissimum est, adeóq; ad medicinam vtile, pingue, molle, lanuginosum, candidis floribus ac semine. In maritimis ruderibúsque nascitur. Albo itaq; vtendū est: idq; si desit, flauū vsurpari oportet. Nigrum enim ceu deterrimū improbatur. Recenti semine, folijs caulibúsque tusis succus exprimitur, qui ad solem exiccatur. Vsus autem eius ad annum dūtaxat prorogatur, quia facilè corruptionē sentit. Elicitur & separatim succus ex semine, cùm inaruit affusa aqua calida tuso & expresso. Est autem expressus eiusmodi succus liquore seu lacteo eiusdem succo præstātior, leniendísque doloribus accōmodatior. Ipsa verò herba virens contusa, farina è tritico trimestri addita, in pastillos redigitur atque reconditur. Porrò prius succi genus, & quod è sicco semine exprimitur, collyrijs sensum doloris auferentibus vtiliter inseruntur: prosunt & contra acres calidásq; fluxiones, aurium dolores ac vuluæ mala. Cum farina autem polentáve, contra oculorum, pedum cæterarúmque partium inflammationes. Semen eadem præstat, prætereáque ad tussim, destillationem, oculorum fluxiones dolo-

A Περὶ Ὑπηκόου. Κεφ. ξη'.

ΥΠΗΚΟΟΝ, οἱ δὲ ὑπόφεων καλοῦσι· φύεται δὲ ἐν τῷ σίτῳ καὶ ταῖς ἀρούραις· φύλλον δὲ ἔχει πηγάνῳ ὅμοιον, κλῶνας μικρούς. Δύναμιν δὲ ἔχει ἀναλογοῦσαν τῷ τῆς μήκωνος ὀπῷ.

Περὶ Ὑοσκυάμου. Κεφ. ξθ'.

B ΥΟΣΚΥΑΜΟΣ, θάμνος ἐστὶ καυλοὺς ἀφιεὶς παχεῖς, φύλλα πλατέα, ἐπιμήκη, ἐσχισμένα, μέλανα, δασέα. παρὰ δὲ τὸν καυλὸν ἐφεξῆς πεφύκασιν ἄνθη ὥσπερ ῥοιᾶς κύτινοι, πεφραγμένοι ἀσπιδίσκοις σπέρματος μεστοῖς, ὥσπερ μήκωνος. ἔστι δὲ αὐτοῦ διαφορὰ τρισσή. ὁ μὲν γὰρ, ἄνθη C ὑπόπορφυρα φέρει, φύλλα σμίλακι ὅμοια, σπέρμα μέλαν, καὶ τοὺς κυτίνους σκληροὺς καὶ ἀκανθώδεις. ὁ δέ τις, ἄνθη μηλοειδῆ, φύλλα καὶ λοβοὺς ἁπαλώτερα, σπέρμα ὑπόξανθον ὥσπερ ἐρύσιμον· ἀμφότεροι δὲ οὗτοι μανιώδεις ὑπάρχουσι καὶ καρωτικοί, δύσχρηστοι. Εὔχρηστος δὲ εἰς θεραπείαν ἐπι- D τήδειος ὢν ὁ τρίτος λιπαρὸς καὶ ἁπαλὸς ἐστὶ καὶ χνοώδης, ἄνθη λευκὰ ἔχων, καὶ τὸ σπέρμα λευκόν· φύεται παρὰ θαλάττῃ καὶ ἐρειπίοις. χρηστέον οὖν ἐστὶ τῷ λευκῷ. εἰ δὲ μὴ παρείη τοῦτος, χρηστέον δεῖ τῷ ξανθῷ, ὁ γὰρ μέλας ἀποδοκιμάζεται ὡς χείριστος. Χυλίζεται δὲ ὁ καρπὸς ἁπαλὸς ὢν καὶ τὰ φύλλα καὶ E οἱ καυλοὶ κοπτόμενοι καὶ ἐκθλιβόμενοι, ἐν ἡλίῳ ξηραινομένου τοῦ ὑγροῦ· χρῆσις δὲ αὐτοῦ πρὸς ἐνιαυτὸν, διὰ τὸ εὔσηπτον. χυλίζεται δὲ καὶ τὸ σπέρμα αὐτοῦ καὶ ἰδίᾳ κοπτόμενον ξηρὸν, ὑφ' ὕδατος θερμοῦ καταβρεχομένου καὶ ἐκθλιβομένου. ἔστι δὲ βέλτιον τοῦ ὀποῦ τὸ χύλισμα, καὶ ἀνωδυνώτερον. ἡ δὲ F χλωρὰ κοπεῖσα καὶ μιγεῖσα σεμιδαλίῳ ἀλεύρῳ, ἀναπλάσσεται εἰς ἀρτίσκους, καὶ ἀποτίθεται. ἁρμόζει δὲ τὸ προειρημένον χύλισμα καὶ τὸ ἀπὸ ξηροῦ τοῦ σπέρματος εἰς κολλύρια ἀνώδυνα, καὶ πρὸς ῥεῦμα δριμὺ καὶ θερμόν· ὠταλγίας τε καὶ τὰ περὶ ὑστέραν. σὺν ἀλεύροις δὲ ἢ ἀλφίτοις, πρός G τε ὀφθαλμῶν φλεγμονὰς καὶ ποδῶν καὶ τὰς ἄλλας. τὸ δὲ σπέρμα τὰ αὐτὰ παρέχει, ποιοῦν καὶ πρὸς βῆχας καὶ κατάρρους, καὶ ῥεῦμα ὀφθαλμῶν καὶ περιω-

Orib. addit, πολλούς

Matthiolus non floribus, seu siliquis ista tribui debere censuit.

V. διαφορὰ δ' ἑτέρα.

Ista addūt Orib. & v. codex Lacunæ.

V. Lac. cod. add. τὸ λευκοῦ.

Marc. legit χλόη.

Lacuna legit in antiquo cod. σεμιδαλίνῳ ἀλεύρῳ ἢ πηγαίῳ. Al. σιτανίῳ ἀλεύρῳ καὶ πηγαίῳ

A δυσίας, πρός τε ῥοῦν γυναικεῖον καὶ τὰς ἄλλας αἱμοῤῥαγίας, ὅσον ὀβολὸς σὺν μήκωνος σπέρματι καὶ μελικράτῳ ποθέν. ἁρμόζει καὶ πρὸς ποδάγρας, ὄρχεις πεφυσημένους, μαστοὺς ἐν τοκετῷ ἐπαιρομένους, λεῖον μετ' οἴνου καταπλασσόμενον, καὶ εἰς τὰ ἄλλα ἀνώδυνα καταπλάσματα μίγνυται ὠφελίμως. *καὶ τὰ

B ἀναπεπλασμένα φύλλα, εἰς πάντα τὰ ἀνώδυνα εὔχρηστα, μιγνύμενα ἀλφίτοις καὶ καθ' ἑαυτὰ καταπλασσόμενα. τὰ δὲ πρόσφατα φύλλα *καταπλασθέντα, ἀνωδυνώτατα πρὸς πάντα πόνον. *τρία δὲ ἢ τέσσαρα ποθέντα σὺν οἴνῳ, ἠπιάλους πυρετοὺς θεραπεύει· ἑψηθέντα δὲ ὡς

C λάχανα καὶ βρωθέντα τρυβλίου πλῆθος, μετρίαν παράκοπην ἐργάζεται. *φασὶ δὲ ὅτι ἐάν τις ἕλκος ἔχοντα ἐν *κώλῳ ἐγκλύσῃ*, ὃ αὐτὸ ἀπεργάζεται. ἡ δὲ ῥίζα μεθ' ὄξους ἑψηθεῖσα, ὀδονταλγίας ἐστὶ διάκλυσμα.

V. caret vsque ad καὶ καθ' ἑαυτὰ.

Additur in vet. cod. Lac. λεῖα. Legitur in antiquo exēpl. Lac. τρεῖς δὲ ἢ τέσσαρες.

V. caret hac periodo.

V. ἐν κώλῳ.

V. quidam add. σὺν γλυκεῖ, vt annotat Lacuna.

Περὶ Ψυλλίου. Κεφ. ο'.

D ΨΥΛΛΙΟΝ φύλλον ἔχει κορωνόποδι ὅμοιον, δασὺ καὶ μακρότερον· κλῶνας δὲ σπιθαμιαίους, καὶ τὸ ὅλον βοτάνιον χορτῶδες· ἄρχεται δὲ αὐτοῦ ἡ κόμη ἀπὸ μέσου τοῦ καυλοῦ, κεφάλια δὲ δύο ἢ τρία *ἐπ' ἄκρου συνεστραμμένα· ἐν οἷς σπέρμα ψύλλοις ὅμοιον, μέλαν, σκληρόν· φύε-

E ται ἐν ἀρούραις καὶ χέρσοις. Δύναμιν δὲ ἔχει *ψυκτικήν. ὠφελεῖ δὲ καταπλασσόμενον ἀρθρίτιδα, παρωτίδας, φύματα, οἰδήματα, *ῥέμματα, κεφαλαλγίας, μετὰ ῥοδίνου ἢ ὄξους ἢ ὕδατος· ἐντεροκήλας τε τὰς ἐπὶ παίδων καὶ ἐξομ-

F φάλους ὑγιάζει καταπλασσόμενον σὺν ὄξει. δεῖ δὲ ὀξυβάφου πλῆθος λεάναντας βρέχειν ἐν δυσὶν ὕδατος *δακτύλοις, καὶ ὅταν παγῇ τὸ ὕδωρ, ἐπιπλάττειν· ψύχει γὰρ ἱκανῶς, *καὶ εἰς ὕδωρ δὲ ζέον ἐπιτιθεμένη καταστέλλει τὴν θέρμην. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα. φασὶ δὲ ὅτι κομισθεῖσα ἐν

G οἴκῳ χλωρά, οὐκ ἐᾷ ψύλλας γεννᾶσθαι. κοπεῖσα δὲ μετὰ στέατος, τὰ ῥυπαρὰ καὶ κακοήθη τῶν ἑλκῶν ἀνακαθαίρει. ὁ δὲ χυλὸς μετὰ μέλιτος πρὸς ὦτα ῥευματιζόμενα ποιεῖ καὶ σκώληκας ἔχοντα.

V. περὶ ψυλλίου ἢ κυνοκεφαλίου.

Addendum hoc annotauit Goupylus ex vtroq; antiquo, quod in vulg. exēpl. desiderabatur.

V. addit ἢ πλείονα.

V. caret.

Alii codices legunt, μαλακτικήν. Sed vulgata scriptura potior. Add. Lac. ψυκτικόν.

Al. ἀποστήματα.

V. ad finē vsque horum nihil legit.

A résque efficax, itémque contra fluorem muliebrem, aliásque sanguinis eruptiones, si oboli pondere cum papaueris semine ex aqua mulsa bibatur. Subuenit & podagris, testibus inflatis, mammísque à partu tumentibus, si tritum ex vino imponatur. Denique & alijs cataplasmatis quæ doloris leuamentum præ-

B stant vtiliter admiscetur. Quin & in pastillos digesta folia medicamentis omnibus dolores sedátibus tum per se, tum etiam ex polenta vtiliter imponuntur. At recentia folia illita, ad mitigandos omne genus dolores apprimè sunt idonea. Eadē terna quaternáve cum vino pota, febres epialas depellunt. Cocta

C verò olerum instar, & tryblij mensura esitata, mediocrem mentis alienationem faciūt. Aiunt & idem efficere, si cui in colo vlcus sentienti infundantur. Cæterùm radice in aceto decocta dentes vtiliter in dolore colluuntur.

De Psyllio. Cap. LXX.

D PSYLLIVM folio est coronopodis, hirsuto, at longiore, ramulis dodrantalibus, totáque herbula fœni modo tenuis ac minutula. Coma verò ipsius à medio caule ducit initiū, capitulis duobus tribúsve conglobatis: in quibus semen pulicibus simile, nigrum atque durum. Nascitur in aruis & incultis. Vis ei re-

E frigerans: articulorum morbis, parotidibus, tuberculis, œdematis luxatísque & capitis dolori cum rosaceo aut aceto aquáve impositū auxiliatur. Infantium quoque enterocelis ac eminenti vmbilico illitum ex aceto medetur. Acetabuli verò mensuram tritam in duabus aquæ

F heminis macerari oportet, ac vbi sese aqua densauerit, lentorémve contraxerit, illini. Siquidem vehementer refrigerat: sed & in feruentem aquam immissa calorem reprimit: denique & contra erysipelata est efficax. Fama est, si virens herba domum importetur, pulices ar-

G ceri. Tusa porrò cum adipe, sordida malignáq; vlcera repurgat. Succus fluxione infestatis ac vermiculosis auribus ex melle prodest.

De Solano hortensi. *Cap. LXXI.*

SOLANVM hortense frutex est esculentus, haud ita magnus, alarũ cauis multis, foliis nigris & quàm ocymi maioribus ac latioribus, fructu rotundo, ac primùm quidem viridi, mox vbi maturitatem assecutus est, nigro aut fuluo: est verò herba innocentis gustus. Vis ei refrigerandi: quare folia erysipelatis & herpetibus cum polline polentæ conuenienter imponuntur. Trita autem & per se imposita, ægilopa capitisque dolorem sanant, & stomacho æstuanti auxiliantur: parotidas cum sale detrita illitu discutiunt. Sed & ipsius succus valet aduersus erysipelata & herpetas cum cerussa, rosaceo & argenti spuma: ęgilopas verò, cum pane. Infantibus quoque inflammatione laborantibus quam Siriasin vocant cum rosaceo infusus proficit. Inseritur & aquę vel oui vice collyrijs, quę contra fluxiones acres illinuntur: quin & aurium dolori instillatus prodest: fluorem etiamnũ muliebrem sistit in vellere subditus. Denique succus fuluo gallinarum cortalium fimo subactus & linteo appositus, ęgilopijs præsentaneo est remedio.

De Solano Halicacabo.
Cap. LXXII.

Est & alterum Solanum, quod peculiari nomine halicacabum vocant, alij physalida, id est, vesicariá, foliis antedicto similibus, verùm latioribus: huius caules posteaquam adoleuerũt, proni terram spectant: est autẽ fructus intra folliculos orbiculatos vesicis similes [Rutilus] fuluus, rotundus ac læuis ceu vuæ acinus: quo etiam coronarij vtuntur, corollis intorquentes. Vim vsúmque obtinet hortensis solani, nisi quòd in cibos minimè recipitur. Valet autẽ fructus epotus ad expurgandũ morbum regium, qua præditus est vrinæ ciendæ facultate. Cæterùm ex vtriusque solani herba succus elicitur, qui siccatus in vmbra reconditur, & ad eadem illa pollet.

De Solano somnifico. *C. LXXIII.*

Solanum somnificum aliqui etiam halicacabum vocant: frutex est

A Περὶ Στρύχνου. Κεφ. οά.

ΣΤΡΥΧΝΟΣ κηπαῖος ἐδώδιμος ἐστὶ θαμνίσκος, οὐ μέγας, μασχάλας ἔχων πολλάς· φύλλα μέλανα, ὠκίμου μείζονα καὶ πλατύτερα· καρπὸν περιφερῆ, χλωρόν. μέλας δὲ ὁ κιῤῥὸς γίνεται μετὰ τὸ πεπανθῆναι· ἀβλαβὴς δὲ ἡ βοτάνη πρὸς γεῦσιν. [V. add. μέλανος, κιῤῥοῦ.] [Alius codex nõ habet.]

B Δύναμιν δὲ ἔχει ψυκτικήν· ὅθεν τὰ φύλλα καταπλασσόμενα, ἁρμόζει πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας μετὰ παιπάλης ἀλφίτου· καθ᾽ ἑαυτὰ δὲ ἐπιτιθέμενα λεῖα, αἰγίλωπα θεραπεύει καὶ κεφαλαλγίαν· καὶ στομάχῳ καυσουμένῳ βοηθεῖ· παρωτίδας δὲ διαφορεῖ σὺν ἁλσὶ λεῖα καταπλασσόμενα. C καὶ ὁ χυλὸς δὲ αὐτοῦ ποιεῖ πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας, σὺν ψιμμυθίῳ καὶ ῥοδίνῳ καὶ λιθαργύρῳ· πρὸς αἰγίλωπα δὲ, σὺν ἄρτῳ. ἁρμόζει καὶ σειριῶσι παιδίοις, σὺν ῥοδίνῳ ἐμβρεχόμενος· μίγνυται δὲ καὶ κολλυρίοις ἀντὶ ὕδατος ἢ ὠοῦ τοῖς πρὸς ῥεύματα δριμέα· εἰς τὰ ἐγχεόμενα D ὠφελεῖ καὶ ὠταλγίαν ἐνσταγείς. ἴσχει δὲ καὶ ῥοῦν γυναικεῖον, ἐν ἐρίῳ προστεθείς. ὁ δὲ χυλὸς ἀναγκαῖος ἐστὶ πρὸς αἰγίλωπας, συμμαλασσόμενος ἀφόδῳ πυῤῥᾷ ὀρνίθων κατοικιδίων, καὶ ῥάκει ἐπιτιθέμενος. [V. ὁ καυλὸς μιγείς] [V. μιγεὶς σὺν ψιμμυθίῳ] [V. ξηρὸν] [Al. καρπός. V: hæc non habet.]

Περὶ Στρύχνου Ἁλικακάβου. Κεφ. οβ΄.

E Ἐστὶ καὶ ἕτερον στρύχνον, ὃ ἰδίως Ἁλικάκαβον καλοῦσιν, τινὲς δὲ, φυσαλίδα, φύλλοις ὅμοιον τῷ προειρημένῳ, πλατυτέροις μέντοι· οἱ καυλοὶ δὲ αὐτοῦ μετὰ τὸ αὐξηθῆναι χαμαικλινεῖς γίνονται· καρπὸν δὲ ἔχει ἐν θυλακίοις περιφερέσιν ὅμοιον φύσαις, πυῤῥὸν, περιφερῆ, λεῖον, ὡς ῥᾶγα σταφυλῆς, F ᾧ καὶ οἱ στεφανοπλόκοι χρῶνται καταπλέκοντες τοῖς στεφάνοις. Δύναμιν δὲ ἔχει καὶ χρῆσιν τὴν αὐτὴν τῷ κηπαίῳ στρύχνῳ, χωρὶς τοῦ βιβρώσκεσθαι. Δύναται δὲ ὁ καρπὸς αὐτοῦ πινόμενος ἴκτερον ἀποκαθαίρειν, οὐρητικὸς ὤν. χυλίζεται δὲ ἀμφοτέρων ἡ πόα, καὶ ξηραίνεται ἐν σκιᾷ πρὸς ἀπόθεσιν· G ποιεῖ δὲ πρὸς τὰ αὐτά. [V. κλίνονται.] [Samb. τοῖς στεφάνοις] [V. ὑγρά δὲ ἀφόρητα add.]

Περὶ Στρύχνου ὑπνωτικοῦ. Κεφ. ογ΄.

Στρύχνον ὑπνωτικὸν, οἱ δὲ, ἁλικάκαβον, θάμνος ἐστὶ κλάδους ἔχων πολ-

λευκοῖς, πυκνοῖς, στελεχώδεσι, δυσθραύστοις, φύλλων πλήρεις λιπαρῶν, ἐμφερῶν μήλῳ κυδωνίῳ· ἄνθος ἐρυθρὸν, εὐμέγεθες· καρπὸν ἐν λοβοῖς κροκίζοντα· ῥίζαν φλοιὸν ἔχουσαν ὑπέρυθρον, εὐμεγέθη· φύεται ἐν πετρώδεσι τόποις, οὐ πόρρω θαλάσσης. Ταύτης ὁ φλοιὸς τῆς ῥίζης ἐν οἴνῳ ποθεὶς < ὁλκῆς, ὑπνωτικὴν ἔχει δύναμιν τοῦ ὀποῦ τῆς μήκωνος ἐπιεικεστέραν. ὁ δὲ καρπὸς οὐρητικός ἐστιν ἄγαν· δίδονται δὲ ὑδρωπικοῖς κόρυμβοι ὡς ιβ'. πλείονες δὲ ποθέντες, ἔκστασιν ἐργάζονται. βοηθοῦνται δὲ μελικράτῳ πολλῷ ποθέντι. μίγνυται καὶ ἀνωδύνοις ὁ χυλὸς αὐτῆς, καὶ τροχίσκοις· ἀφεψηθεὶς δὲ οἴνῳ καὶ διακρατούμενος, ὀδονταλγίαις ἀρήγει. ὁ δὲ χυλὸς τῆς ῥίζης ἀμβλυωπίας μετὰ μέλιτος ἐγχριθεὶς περιαιρεῖται.

V. caret.
V. σωλακίοις μικροῖς
Margo addit, ἄνθος ἐρυθρὸν, ... σπέρμα στρογγύλον ὥσπερ ὀρόβου ...
Al. ἐν πέτραις
V. caret.
Al. ὁ χυλὸς ἐν οἴνῳ
Al. ἀνωδύνοις τροχίσκοις ὁ χυλὸς αὐτῆς καὶ ὁ φλοιὸς αὐτῆς.
V. quidā φλοιὸς atque ita legit Lacuna.
Al. διακρατούμενος ἐν τῷ στόματι ὀδονταλγίας παύει

numerosis præditus ramis, densis, caudicosis, fractu contumacibus, pinguium foliorum cotoneęq; mali similium plenis: flore rubro, prægrandi: fructu in folliculis croci colorem æmulante: radice denique grandi, cortice subrubro vestita. Nascitur in petrosis locis, non procul à mari. Radicis cortex drachmæ pondere in vino potus, somniferam vim habet, quàm opium mitiorem: fructus autem potenter vrinam cit: atque adeò corymbi duodecim hydropicis exhibentur: quòd si plures numero propinentur, mentem è sua sede & statu dimouent. Sed remedio est aqua mulsa copiosa potui data. Pastillis etiam ac doloris leuamentum prębentibus medicamentis succus eius admiscetur. Idē decoctus in vino si ore contineatur, doloribus dentium succurrit. Cæterùm radicis succus cum melle inunctus, oculorū hebetudines tollit.

Περὶ Στρύχνου μανικοῦ. Κεφ. οδ'.

De Solano manico seu furiali. Cap. LXXIIII.

Στρύχνον μανικὸν, ὃ ἔνιοι * πέρσιον, οἱ δὲ, θρύον ἐκάλεσαν. τούτου δὲ μὲν φύλλον παραπλήσιον ἐστὶν εὐζώμῳ, μεῖζον δὲ περὶ τὰ τῆς ἀκάνθης, ἥ τις καὶ παιδέρως καλεῖται· καυλοὺς δὲ ἀνίησιν ἀπὸ τῆς ῥίζης ὑποφυεῖς δέκα ἢ ιβ'. ὀργυιᾶς ἔχοντας ὕψος· τὴν κεφαλὴν ἐπικειμένην ὥσπερ ἐλαίαν, δασυτέραν δὲ ὡς πλατάνου σφαῖραν· μείζονα δὲ καὶ * πλατυτέραν· ἄνθος μέλαν. μετὰ δὲ τοῦτο καρπὸν ἔχει βοτρυοειδῆ, στρογγύλον, μέλανα, ῥαγάδας ι' ἢ ιβ'. ὁμοίας κισσοῦ κορύμβοις, μαλακὰς ὥσπερ σταφυλή. ῥίζα δὲ ὕπεστι λευκὴ, παχεῖα, κοίλη ὡς πηχέως· φύεται ἐν ὀρεινοῖς χωρίοις καὶ προσηνέμοις καὶ παραθαλαττίοις. Δύναμιν δὲ ἔχει ἡ ῥίζα πινομένη μετ' οἴνου < α' πλῆθος, φαντασίας ἀποτελεῖν οὐκ ἀηδεῖς· δύο δὲ < ποθεῖσαι, ἐξιστάνουσιν ἄχρι τριῶν ἡμερῶν· δ'. δὲ ποθεῖσαι, καὶ ἀναιροῦσιν. ἀντιφάρμακον δὲ ἐστὶν αὐτοῦ μελίκρατον, πολὺ πινόμενον καὶ ἐξεμούμενον.

Theoph. θρύορον, pro quo reponit Scaliger θρύον, & legit.
Vtrerque ῥάγας, quæ, ex sentētia Goupyli, vera est huius loci scriptura. Sic & ὁμοίους, μαλακούς.
V. παχεῖα

Solanum manicum seu furiale nonnulli perisson, alij thryon appellauere. Huic folium erucæ proximum, at maius, ad acanthi quem pęderota vocant, foliū accedens. Caules verò à radice proceros emittit decem aut duodecim, vlnæ altitudine adolescentes: caput in cacumine oliuæ figura, at platani pilularum instar hirsutius, maius tamen illa atque crassius: florem nigrum, cui succedit fructus racemosus, rotundus, niger, denis aut duodenis constans acinis, corymbis hederæ similibus & ceu vuæ mollibus. Radix subiacet candida, crassa, concaua & ferè cubitalis. Nascitur in montosis locis vento perflatis, atque littoralibus petris. Vis ea radici, vt drachmæ vnius pondere pota ex vino, vanas species & imagines haud iniucundas menti repræsentet: duplicatus autem hic modus ad triduum vsque insaniam, seu mentis alienationem faciat, & quadruplicatus, mortem etiam repræsentet. Remedio est aqua mulsa largiùs epota, móxque identidem vomitione reddita.

De Dorycnio. Cap. LXXV.

DORYCNION (Crateuas halicacabū aut calleam vocat) frutex oleæ nuper prodeunti similis: nascitur in petris nō procul à mari, ramis cubito breuioribus, folijs oleæ similibus colore, at minoribus firmioribúsque ac vehementer asperis, flore candido, folliculis in cacumine densis, ceu ciceris: in quibus quina senáve minuta semina, rotūda, exigui erui magnitudine, læuia, firma & versicolora: radix ad digiti crassitudinem & cubiti longitudinem adolescit. Et hoc quoque somniferū esse creditur: copiosius verò haustum, enecare. Nec desunt qui dicāt eius semen in amatoria expeti.

A Περὶ Δορυκνίου. Κεφ. οε΄.

ΔΟΡΥΚΝΙΟΝ, Κρατεύας ἁλικάκκαβον ἢ καλλέαν καλεῖ, θάμνος ὅμοιος ἐλαίᾳ ἀρτιφυεῖ· κλῶνας ἔχων ἐλάσσονας πήχεως· φύεται ἐν πέτραις, οὐ πόρρω θαλάσσης, φύλλα δὲ τῷ χρώματι ἐλαίᾳ παραπλήσια, μικρότερα δὲ καὶ στερρότερα, καὶ τραχέα ἰσχυρῶς· ἄνθος λευκόν, ἐπ' ἄκρου ἔχει πυκνὰ θυλάκια ὥσπερ ἐρεβίνθου. ἐν οἷς σπερμάτια στρογγύλα ε ἢ ς΄. ὅσον ὄροβοι μικροί, λεῖα, ἰσχυρὰ καὶ ποικίλα· ῥίζαν πάχος δακτύλου, μῆκος δὲ πήχεως· δοκεῖ δὲ καὶ τοῦτο ὑπνωτικὸν εἶναι· πλεονασθὲν δέ, ἀναιρεῖν· φασὶ δέ τινες καὶ τὸ σπέρμα αὐτοῦ
C εἰς τὰ φίλτρα παραλαμβάνεσθαι.

(Margin: V. Epit. ἄλλοι δὲ [illegible]. — Quidam inserit ὑπόλευκα. Ald. in nothis, λευκὰ καὶ τὰ &c. — B — Quidam, στενώτερα δὲ καὶ μακρότερα. Lac. legit in vet. cod. μακρότερα δὲ καὶ στενότερα.)

De Mandragora. Cap. LXXVI.

MANDRAGORAM nonnulli antimalum, aliqui dircæam, alij etiam circæam iccirco vocant, quòd credatur radix in amatorijs efficax esse. Duo eius genera: niger, qui fœmina existimatur, thridacias appellatus, folijs est quàm lactucæ angustioribus & longioribus, virosis ac graueolētibus, in terra sparsis: atque inter ipsa, mala gerit sorbis similia, ex luteo pallida, odorata, & in his semen ceu pyrorū. Radicibus autē inhæret bene magnis, binis ternisve inuicem implicitis, nigris foris, intus albis, crasso cortice vestitis: caule verò viduus est. Alterius candidi, qui & mas dicitur, & nonnullis morion vocatus est, folia sunt magna, alba, lata, læuia ceu betæ: poma quàm prioris duplo maiora, colore in crocum inclinante, iucundè cū grauitate quadam olentia: quæq; si mandantur à pastoribus, ij quodammodo soporantur: radix antedictæ similis, at maior atque candidior: orbata & hæc caule. E radicis recenti cortice tuso ac prælis subiecto succus exprimitur, quem in sole versatum, vbi densatus fuerit, fictili vase recondi oportet. Succus fit & è malis simili planè modo, sed aliquantò ignauior. Quin & detractus radici cortex filóque traiectus ad vsum suspenditur. Aliqui radices in vino ad tertias decoquunt, excolatúmque ius asseruant, eiúsque cya-

Περὶ Μανδραγόρου. Κεφ. ος΄.

ΜΑΝΔΡΑΓΟΡΑΣ, οἱ δὲ ἀντίμηλον, οἱ δὲ δίρκαιαν, οἱ δὲ κιρκαίαν καλοῦσιν, ἐπειδὴ δοκεῖ ἡ ῥίζα φίλτρων εἶναι ποιητική. ἔστι δὲ αὐτοῦ ὁ μέν τις θῆλυς, ὁ μέλας, θρι-
D δακίας καλούμενος· φύλλα ἔχων στενώτερα καὶ μακρότερα θρίδακος, βρωμώδη καὶ βαρέα κατὰ τὴν ὀσμήν, κεχυμένα δὲ ἐπὶ γῆς. καὶ παρ' αὐτὰ μῆλα οὔοις ἐμφερῆ, ὠχρά, εὐώδη, ἐν οἷς καὶ καρπὸς ὥσπερ ἀπίου. ῥίζαι εὐμεγέθεις δύο ἢ τρεῖς, ἀντεμπεπλεγμέναι ἀλλήλαις, μέλαιναι κατὰ τὴν ἐπιφάνειαν,
E ἔνδοθεν λευκαὶ καὶ παχύφλοιοι· καυλὸν δὲ οὐ φέρει. Τοῦ δὲ ἄρρενος καὶ λευκοῦ, ὃν ἔνιοι μώριον ἐκάλεσαν, φύλλα ἐστὶ μεγάλα, λευκά, πλατέα, λεῖα καθάπερ τεύτλου· τὰ δὲ μῆλα διπλάσια, κροκίζοντα τῇ χροιᾷ, εὐώδη μετὰ βάρους τινός· ἃ καὶ ἐσθίοντες οἱ ποιμένες ποσῶς ὑποκαροῦνται· ῥίζα δὲ
F ὁμοία τῇ πρὸ αὐτῆς, μείζων δὲ καὶ λευκοτέρα· ἄκαυλος δὲ καὶ αὐτή. Χυλίζεται δὲ ὁ φλοιὸς τῆς ῥίζης χλωρὸς κοπεὶς καὶ ὑποτεθεὶς πιεστῆρι. δεῖ δὲ ἡλιάσαντας μετὰ τὸ συστραφῆναι ἀποτίθεσθαι ἐν ὀστρακίνῳ ἀγγείῳ. χυλίζεται δὲ καὶ τὰ μῆλα ὁμοίως, ἀμυδρὸν δὲ γίνεται τὸ ἐξ αὐτῶν χύλισμα. καὶ
G ὁ φλοιὸς δὲ τῆς ῥίζης περιαιρεθεὶς καὶ διαβληθεὶς λίνῳ, κρεμᾶται εἰς ἀπόθεσιν. ἔνιοι δὲ καθέψουσιν οἴνῳ τὰς ῥίζας ἄχρι τρίτου, καὶ διυλίσαντες ἀποτίθενται· χρώμενοι ἐ-

(Margin: V. quiddā addit, πρὸς τὴν ῥίζαν. Vulg. exepl. μικρότερα. quidam vetus, μακρότερα. — V. δυσώδη — V. λευκώδεις [illegible] — V. ὀχρώδη. nec male, nisi Diosc. sibi contrarius esse velit. Samb. — V. addit, καθάπερ [illegible] — Al. φλοιώδεις — V. πίειραν — V. φέρει — Al. τριπλάσια — Lac. legit in vet. cod. καὶ λεπτοτέρα — V. subdit, καὶ μετὰ τὸ συστραφῆναι [illegible] ἀποτίθεσθαι.)

τοῖς ἀγρυπνοῦσι καὶ περιωδυνῶσι κυάθῳ ἑνί, καὶ ἐφ' ὧν βούλονται ἀναισθησίαν τεμνομένων ἢ καιομένων ποιῆσαι. ὁ δὲ ὀπὸς ποθεὶς °ὀβολῶν δυοῖν] πλῆθος ὁλκῆς, σὺν μελικράτῳ, ἄγει ἄνω φλέγμα καὶ °μέλαιναν] χολὴν° ὡς ἐλλέβορος· πλείων δὲ ποθεὶς, ἐξάγει τοῦ ζῆν. μίγνυται καὶ εἰς τὰς ὀφθαλμικὰς καὶ ἀνωδύνους δυνάμεις, καὶ πεσσοῖς μαλακτικοῖς. καθ' ἑαυτὸν δὲ ὅσον ἡμιωβόλιον προστεθεὶς, ἔμμηνα καὶ ἔμβρυα ἄγει, δακτυλίῳ τε αὐτῷ βαλάνου ἐπιτεθεὶς, ὕπνον ποιεῖ. μαλάσσειν δὲ καὶ ἐλέφαντα λέγεται ἡ ῥίζα συνεψομένη αὐτῷ ἐπὶ ὥρας ς'. καὶ εὔπλαστον° αὐτὸν εἰς ὃ ἄν τις βουληθῇ σχῆμα παρασκευάζειν. τὰ δὲ φύλλα πρόσφατα ἁρμόζει πρός τε ὀφθαλμῶν φλεγμονὰς, καὶ τὰς ἐπὶ τῶν ἑλκῶν, μετὰ ἀλφίτου καταπλασσόμενα. διαφορεῖ δὲ καὶ πᾶσαν σκληρίαν καὶ ἀποστήματα, χοιράδας, φύματα· παρατριβόμενά τε ἡσυχῇ ἐπὶ ἡμέρας ε' ἢ ς'. στίγματα ἄνευ τοῦ ἑλκῶσαι ἀφανίζει. ταριχευθέντα δὲ τὰ φύλλα, ἀποτίθεται πρὸς τὰς αὐτὰς χρείας. ἡ δὲ ῥίζα σὺν ὄξει λεία, ἐρυσιπέλατα ἰᾶται· πρὸς δὲ ἑρπετῶν πληγὰς, σὺν μέλιτι ἢ ἐλαίῳ· σὺν ὕδατι δὲ, χοιράδας καὶ φύματα διαχεῖ· καὶ ἄρθρων πόνους παύει μετὰ ἀλφίτων. σκευάζεται δὲ καὶ δίχα ἑψήσεως οἶνος ἐκ τοῦ φλοιοῦ τῆς ῥίζης. δεῖ δὲ ἐμβάλλειν μνᾶς γ'. εἰς μετρητὴν οἴνου γλυκέος, διδόναι τε ἐξ αὐτοῦ° κυάθους γ'. τοῖς μέλλουσι τέμνεσθαι ἢ καίεσθαι, ὡς προείρηται· οὐ γὰρ ἀντιλαμβάνονται τοῦ ἀλγήματος, διὰ τὸ καταφέρεσθαι. τὰ δὲ μῆλα ὀσφραινόμενα καὶ ἐσθιόμενα, °καρωτικά· καὶ ὁ ἐξ αὐτῶν χυλὸς πλεονασθέντα δὲ, καὶ ἀφώνους ποιεῖ. τὸ δὲ σπέρμα τῶν μήλων ποθὲν, ὑστέρας καθαίρει· προστεθὲν δὲ μετ' ἀπύρου θείου, ῥοῦν ἵστησιν ἐρυθρόν. ὀπίζεται δὲ περιχαρασσομένης τῆς ῥίζης °πολυειδῶς, καὶ τοῦ συρρέοντος εἰς τὴν κοιλότητα συλλεγομένου. ἔστι δὲ ἐνεργέστερος τοῦ ὀποῦ ὁ χυλός. οὐκ ἐν πολλοῖς δὲ τόποις φέρουσιν ὀπὸν αἱ ῥίζαι· ἀποδείκνυσι δὲ τὸ τοιοῦτον ἡ πεῖρα.

V. caret.
V. caret.
V. quidã carent.
V. addit, τὸν ἀδιανοῦντα καὶ δερματώσιν ἔμπυρα.
V. κυάθον ἕνα διδόασι.
Epit. addit, διὰ τὸ μετέχειν ὑγρότητος καρωτικῆς. Sed putat ascriptũ Samb.
V. πολυειδῶς. & Marc. πολυειδῶς.

A thum vnum propinant in peruigilijs grauioribúsque partium quarúmuis doloribus, itémque ante sectiones vstionésve, vt ne sentiãtur. Ipse verò liquor binis obolis ex aqua mulsa potus, veratri instar supernè pituitam bilémq; atram extrahit: at potu largiore, vitam adimit. Miscetur & oculorum medicamentis, B iisque quibus dolores leniuntur, ac pessis quoque emollientibus. Per se autem semioboli pondere appositus, mensos ciet atque partus: sedi quoque pro balano inditus, somnum conciliat. Porrò & radix ebur emollire fertur, quæ senis horis cũ eo decocta fuerit: prætereáque ita tractabile ipsum efficere, C vt quam quisque voluerit formam facilè suscipiat. Folia verò recétia oculorum inflammationibus, iisque quæ vlceribus superueniunt, cum polenta conuenienter imponuntur. Sed & duritias omnes, apostemata, strumas & tubercula discutiunt. Eadem si quinis senísve diebus leniter affricentur, stigmata ci- D tra exulcerationem delét. Illa quoque ad eosdé vsus in muria seruantur. Radix autem ex aceto trita, erysipelatis medetur: serpentium auté ictibus, cum melle aut oleo. At ex aqua, strumas atque tubercula dissipat, & articulorum cruciatus cum polenta sedat. Paratur & citra coctũram vinũ è cortice radicis, dum E ternæ minæ in vini dulcis cadum conijciuntur: atque dantur ex eo terni cyathi ijs qui secari vríve debent, vti antè dictum est: neque enim altiore somno sopiti dolorem percipiunt. Poma verò & olfactu & cibo sunt soporifera, itémque expressus ex ijs succus. At illa seu nimio odore, seu etiam largiore cibo, F vocis vsum præcludunt. Semen autem ipsorum epotum, vuluam purgat, subditúmque cum sulphure ignem minimè experto, rubrum sistit fluorem muliebrem. Cæterùm circunscarificata punctísque multifariam aperta radice liquor seu lacryma erumpit, quæ quidem in ca- G uitatem recepta colligitur. At succus hac lacryma efficacior est. Neque verò, quod experiẽtia testatur, vbique lacrymam radices fundunt.

Porrò & alium tradũt esse mandragoram, qui morion etiam nominetur. Nascitur is in opacis & iuxta specus, folijs albi mandragoræ, at minoribus, penè dodrantalibus, candidis, radicem ambienti bus: quæ quidem tenera est candidáq;, paulò maior palmo, pollicémque crassitudine æquat. Hanc narrant epotam drachmę pondere, aut cum polenta in placenta obsonióve deuoratam, infatuare, vsúmque rationis intercipere. Obdormiscit enim homo eadē qua illam comederit figura, sensus impos ternis quaternísve ex quo data est horis. Sed & illa Medici vtuntur, cùm secandi vrendíve necessitas adest. Aiunt insuper pro antidoto esse radicem, si cum solano manico bibatur.

A Ἱστοροῦσι δὲ καὶ ἑτέραν μόριον λεγομένην, φυομένην ἐν παλισκίοις καὶ περὶ τὰ ἄντρα, φύλλα ἔχουσαν ὅμοια τῇ λευκῇ μανδραγόρᾳ, μικρότερα δὲ ὡς σπιθαμιαῖα, λευκά, κύκλῳ περὶ τὴν ῥίζαν, οὖσαν ἁπαλὴν καὶ λευκήν, μικρῷ μείζονα σπιθαμῆς, πάχος δακτύλου μεγάλου. B ταύτην φασὶ πινομένην ὅσον < α. ἢ μετὰ ἀλφίτων ἐσθιομένην ἐν μάζῃ ἢ ὄψῳ, ἀπομωραίνειν. καθεύδει γὰρ ὁ ἄνθρωπος ἐν ᾧ ποτ' ἂν φάγοι σχήματι, αἰσθανόμενος οὐδενὸς ἐπὶ ὥρας γ'. ἢ δ'. ἀφ' οὗ ποτ' ἂν προσενέγκηται. χρῶνται δὲ καὶ ταύτῃ οἱ ἰατροί, ὅταν τέμνειν ἢ καίειν μέλλωσι. φασὶ C δὲ καὶ ἀντίδοτον εἶναι τὴν ῥίζαν, πινομένην μετὰ στρύχνου τοῦ καλουμένου μανικοῦ.

V. multi carent.

Lac. legit in vet. cod. ἢ ἄνδροις

De Aconito. Cap. LXXVII.

Περὶ Ἀκονίτου. Κεφ. οζ'.

ACONITVM aliqui pardalianches, alij cammarum, alij thelyphonon, alij myoctonon, alij denique theriophonon appellauere. Folia habet terna quaternáve, ceu cyclamini aut cucumeris, minora tamen ac leniter ᵛaspera, caulem dodrantalem: radix scorpij caudam ęmulatur, & alabastri modo splendet. Huius, vt aiunt, radice admota scorpius quasi resolutus torpescit, rursúmque apposito helleboroᵛ excitatur. Miscetur & oculorum medicamentis doloris leuandi vi præditis. Enecat verò pantheras, sues, lupos ac ferarum genus omne, carnium frustulis inditum & appositum.

hirsuta vl. quasi [illegible] legerit.

[illegible]

ΑΚΟΝΙΤΟΝ· οἱ δέ, παρδαλιαγχές, οἱ δέ, κάμμορον, οἱ δέ, θηλυφόνον, οἱ δέ, μυοκτόνον· οἱ δέ, θηροφόνον. φύλλα ἔχει τρία ἢ τέσσαρα, ὅμοια κυκλαμίνῳ D ἢ σικύῳ, μικρότερα δὲ καὶ ὑποτράχεα. καυλὸς δὲ σπιθαμῆς· ῥίζα ὁμοία σκορπίου οὐρᾷ, στίλβουσα ἀλαβαστροειδῶς. ταύτην τὴν ῥίζαν φασὶ προσαχθεῖσαν σκορπίῳ, παραλύειν αὐτόν· διεγείρεσθαι δὲ πάλιν, ἐλλεβόρου προστεθέντος. μίσγεται δὲ καὶ ὀφθαλμικαῖς ἀνωδύνοις δυνάμεσι. κτεί- E νει δὲ καὶ παρδάλεις καὶ σῦς καὶ λύκους καὶ πᾶν θηρίον, κρεαδίοις ἐντιθέμενον καὶ παραβαλλόμενον.

Has voces οἱ δὲ interserit Goupylus, quæ in vulgatis exempl. desiderabantur. Quidā ascripserunt, ἢ κάμμορον Orib. addit, ἐχῖον

V. addit φύεται ἐν κύκλῳ, quod nō esse negligendū monet Samb. Dodonæus legēdum cēset, ὁμοία σκορπίῳ

De Aconito altero. C. LXXVIII.

Περὶ ἑτέρου Ἀκονίτου. Κεφ. οη'.

Aconitum alterum, quod nonnulli cynoctonon, alij lycoctonon vocant, plurimum in Italia nascitur Vestinis mõtibus, ᵛà priore distans. Siquidem folia gerit similia platani, sed altioribus diuisa incisuris, minoráque multò & nigriora, caulem pediculi filicis instar nudum, cubitali altitudine aut etiam maiore, & semen in siliquis aliquatenus oblongis: radices verò in modum squillæ marinæ cirrorũ nigras, quibus ad venationem luporum vtuntur. Insertæ siquidem crudis carnibus & à lupis deuoratæ, eos enecãt.

superiori pra [illegible] folia

Ἀκόνιτον ἕτερον, ὃ ἔνιοι κυνοκτόνον, οἱ δὲ λυκοκτόνον καλοῦσι. γεννᾶται μὲν πλεῖστον ἐν Ἰταλίᾳ, ἐν τοῖς καλουμένοις F Οὐεστίνοις ὄρεσι, διαφέρον τοῦ πρὸ αὐτοῦ. φύλλα δὲ ἔχει ὅμοια τοῖς τοῦ πλατάνου, μᾶλλον δὲ ἐσχισμένα καὶ *μικρότερα πολλῷ καὶ μελάντερα· καυλὸν δὲ καθάπερ πτέριδος μόσχον ψιλόν, ὕψος πήχεως, ἢ καὶ μείζονα· καρπὸν δὲ ἐν λοβοῖς ἐπιμήκεσι ποσῶς· ῥίζας ὥσπερ πλε- G κτάνας καρίδων μελαίνας· αἷς χρῶνται πρὸς τὰς τῶν λύκων θήρας, ἐντιθέντες κρέασιν ὠμοῖς. βρωθεῖσαι γὰρ ὑπὸ τῶν λύκων, ἀναιροῦσιν αὐτούς.

V. add. τούτου γένη ἐστὶ τρία. ἓν μὲν ᾧ οἱ θηρευταὶ χρῶνται. τὰ δεύτερα οἱ ἰατροί. τρίτον τὸ λεγόμενον Ποντικόν. al. τούτου γένη εἰσὶ τρία. ἓν μὲν ᾧ οἱ κυνηγέται χρῶνται. τοῖς δὲ δυσὶν οἱ ἰατροί. ὧν τὸ τρίτον προσαγορεύεται Ποντικόν, id est, huius genera tria, vnū quo venatores vtuntur, duo quibus medici ex his tertium est quod Ponticum dicitur.

Vulg. exempl. ἐσχισμένα

V. μικρότερα, [illegible]

Περὶ Κωνείου. Κεφ. οθ'.

ΚΩΝΕΙΟΝ καυλὸν ἀνίησι γονατώδη ὡς μάραθρον, μέγαν, φύλλα δὲ νάρθηκι ἐμφερῆ, στενότερα δὲ καὶ βαρύοσμα. ἐπ' ἄκρων δὲ ἀποφύσεις καὶ σκιάδια, ἄνθος ὑπόλευκον, σπέρμα ἐμφερὲς ἀνίσῳ, λευκότερον. ῥίζα κοίλη καὶ οὐ βαθεῖα. Ἔστι δὲ καὶ αὐτὸ τῶν φθαρτικῶν, κατὰ ψύξιν ἀναιροῦν. βοηθεῖται δὲ ἀκράτῳ. χυλίζονται δὲ τὰ ἄκρα πρὸ τοῦ ξηρανθῆναι τὸ σπέρμα, ἢ ἡ κόμη, καὶ ἐκθλίβεται κοπτομένη, καὶ συστρέφεται ἐν ἡλίῳ. ἔστι δὲ πολύχρηστον εἰς τὴν ὑγιαστικὴν χρῆσιν ξηρανθέν· μιγνύμενον ἐπιτηδείως τοῖς ἀνωδύνοις κολλυρίοις τὸ χύλισμα. ἕρπητάς τε καὶ ἐρυσιπέλατα καταπλασθὲν σβέννυσιν. ἡ δὲ πόα καὶ ἡ κόμη λεία καταπλαττομένη τῶν διδύμων, ὀνειρώττουσι βοηθεῖ. παρίησι δὲ καὶ αἰδοῖα καταπλασθέντα. καὶ γάλα σβέννυσι, μαστούς τε ἐν παρθενίᾳ κωλύει αὔξεσθαι, καὶ διδύμους ἀτρόφους ποιεῖ ἐπὶ παιδίων. ἐνεργέστατον δὲ ἐστι τὸ Κρητικὸν καὶ Μεγαρικὸν, καὶ τὸ Ἀττικὸν, καὶ τὸ ἐν τῇ Χίῳ καὶ Κιλικίᾳ γεννώμενον.

Al. μέγαν. V. βαρυοσμότερα. V. ita σκιάδιον δ' ἄνθος ὑπόλευκον. Al. ῥίζα ἡ ἐκ βάθους κοίλη. V. χυλίζεται δὲ ἄκρα ἡ κόμη. V. add. καὶ εἰς. V. interponit καὶ. V. pro his habet, καὶ τὸ ἐν τῇ Ἀσίᾳ γεννώμενον.

Περὶ Σμίλακος. Κεφ. π'.

ΣΜΙΛΑΞ, οἱ δὲ, θύμαλον, Ῥωμαῖοι δὲ Τάξον καλοῦσι, δένδρον ἐστὶ παραπλήσιον ἐλάτῃ τοῖς φύλλοις καὶ μεγέθει, ἐν Ἰταλίᾳ καὶ ἐν Ναρβωνίᾳ τῇ κατὰ τὴν Ἰσπανίαν φυόμενον. τὸ δὲ ἐν Ἰταλίᾳ γεννώμενον τὸν καρπὸν ὄρνιθα ἐσθίοντα, μελαίνεται. οἱ δὲ προσενεγκάμενοι, διαρροίαις περιπίπτουσι. τὸ δὲ ἐν τῇ Ναρβωνίᾳ, τοσαύτης δυνάμεως μετέχει, ὡς καὶ ἐκ τῆς σκιᾶς τοὺς ὑποκαθίσαντας ἢ κοιμηθέντας βλάπτεσθαι, πολλάκις δὲ καὶ θνήσκειν. ἱστόρηται δὲ περὶ αὐτῆς χάριν τοῦ προφυλάττεσθαι.

Mar. καρβωνίᾳ.

Περὶ Ἀποκύνου. Κεφ. πα'.

ΑΠΟΚΥΝΟΝ, οἱ δὲ, κυνάγχην, οἱ δὲ, παρδαλιαγχὲς, οἱ δὲ κυνόμορον, οἱ δὲ, κυνοκράμβην καλοῦσι, θάμνος ἐστὶ ῥάβδους ἔχων μακρὰς, λυγώδεις δυσθραύστους, φύλλα κισσῷ ὅμοια, μαλακώτερα δὲ καὶ ὀξύτερα κατ' ἄκρον, βαρύοσμα, ὑπόγλισχρα, ὀποῦ μεστὰ μηλίνου. καρπὸς δὲ ὥσπερ

V. κυνάγχην. Al. κυνόμωρον. V. caret. Vulg. exempl. [illegible] Sunt qui μακρὰς legerint. Al. δυσθραύστους addunt.

A

De Cicuta. Cap. LXXIX.

CICVTA caulem edit geniculatum vti & fœniculũ, grandem: folia ferulæ, sed angustiora & graui odoratu: in cacuminibus autem ramorũ propagines & vmbellas, florem quoque albicantem & semen ceu anisi, at candidius: radicem denique cõcauam minimeq; profundam.

B

Est & cicuta in lethaliũ venenorũ genere, quippe quæ vi sua refrigeratoria enecet: merũ verò remedio est. Porrò contusis cacuminibus seu coma ipsa, priùs quàm semina siccescant, succus exprimitur, qui deinde Sole desatur atq; cogitur. Huius autẽ arefacti multiplex est in medicina vsus. Siquidem col-

C

lyrijs doloris sedandi vi preditis cõmodè miscetur, & herpetas ac erysipelata illitu restinguit. Herba verò cum coma trita testibúsque circumlita, libidinis in somno imaginationi simul & seminis profusioni obnoxijs opitulatur. Sed & genitalia illitu effœta languidioráq; reddit. Lac itidem extinguit, & virgi-

D

num mammas crescere nõ patitur: ac puerorum quoque testes nutrimento defectos ita reddit, vt intabescant. Maxima efficacissimáque vis Creticæ, Megaricæ, Atticæ, & in Chio ac Cilicia nascenti.

De Taxo. Cap. LXXX.

SMILAX à quibusdã thymalus, à

E

Latinis Taxus appellatur, arbor abietis magnitudine & foliorum eiusdẽ figura, in Italia & Narbonensi Gallia Hispaniæ contermina nascẽs. Sed nigrescũt pulli gallinacei, qui Italicę taxi fructu vescũtur: & q; eũdẽ ederint homines, alui profluuijs corripiũtur. Narbonẽsis verò tã præsentis est veneni, vt qui sub eius

F

vmbra sederint obdormierintve, lædãtur, & sæpenumerò etiã moriãtur. Cæterùm hæc de taxo tradũtur eo consilio, vt ab ea quisque caueat.

De Apocyno. Cap. LXXXI.

APOCYNON aliqui cynãchon, nonnulli pardalianches, alij cynomoron, alij deniq; cynocrambẽ,

G

h.e. brassicã caninã, appellãt. Est verò frutex lõgis cõstans virgultis, vitiliũ modo obsequiosis, fractúq; ferè inuictis: folijs hederę, attamẽ mollioribus & per extremũ acutiorib', grauíque odore, quadantenus viscosis, & luteo succo turgentibus. Fructus ceu fabarum

fabarum siliqua digiti longitudine protenditur, folliculari specie, minutis intus seminibus duris, paruis atque nigris. Huius folia cum subacta farina in panes coacta & in cibo data, canes, lupos, vulpes & pantheras necant, ac protinus earum quadrupedum coxendices resoluunt.

De Nerio. Cap. LXXXII.

NERION quibusdam rhododaphne, alijs rhododendron vocatum, frutex est vulgaris notitiæ, longioribus crassioribúsque folijs quàm sint amygdalina: flore ad rosæ similitudinem conformato, & siliqua fructui amygdalino proxima: quæ quidem dehiscens lanosa quadam natura acanthij pappos repræsentante plena reperitur: radice acuminata & longa, lignosa atque gustanti salsa. Nascitur in viridariis, maritimisq; locis, & secus ammes. Flores ac folia canibus, asinis, mulis & plerisque quadrupedibus venena sunt: hominibus verò contra venenatarum bestiarum morsus præsidia, si è vino bibantur, eóque magis ruta addita. Imbecilliores autẽ animantes, vti capræ ac pecudes, si aquam biberint in qua illa maduerint, moriuntur.

De Fungis. Cap. LXXXIII.

FVNGORVM differentia duplex. Aut enim edules sunt, aut exitiosi & perniciales. Ac tales quidẽ multis de causis euadũt: nẽpe quia iuxta clauos rubiginosos, aut putridos pannos, aut serpentum latibula gignantur: aut etiam arboribus quæ priuatim noxios pariunt fructus adnascantur. Habent porrò & qui tales sunt concretum quendam strigmētique modo viscosum intra se lentorem, ac etiamnum posteaquã terra sunt eruti si reponantur, celeriter corrumpuntur & computrescunt. At innocentiores, quique veneno imbuti non sunt, gratiam iuribus conciliant, iucundique sunt saporis. Veruntamen & hi ipsi largiùs sumpti nocent: quippe qui ægrè cõcocti strangulant, aut cholerã morbum accersunt. Remedio est nitri & olei, aut lixiuij cum acida muria potus, haustúmve thymbræ decoctæ origanive iusculum. Est & remedio fimum gallinaceum ex aceto potũ, aut ex copioso melle delinctum. Cæterùm alibiles illi sunt ægréque dissoluuntur: quin & integri vt plurimùm vnà cum recrementis alui reiiciuntur.

A λοβὸς κυάμων παρὰ δακτύλου τὸ μῆκος, θυλακώδης, ἐφ' ὧν σπερμάτια, σκληρὰ, σμικρὰ, μέλανα. Ταύτης τὰ φύλλα σὺν στέατι ἀρτοποιηθέντα καὶ παραβληθέντα, κτείνει κύνας, λύκους, ἀλώπεκας, παρδάλεις· παραχρῆμα δὲ παραλύει αὐτῶν τὰ ἰσχία.

Περὶ Νηρίου. Κεφ. πβ'.

B ΝΗΡΙΟΝ, οἱ δὲ ῥοδοδάφνη, οἱ δὲ ῥοδόδενδρον, θάμνος γνώριμος, ἀμυγδαλῆς μακρότερα καὶ παχύτερα ἔχων φύλλα. τὸ δὲ ἄνθος ῥοδοειδές· καρπὸν δὲ ἐμφερῆ ἀμυγδάλῳ, ὡς κέρατι, ἀνεῳγμένον πλήρη ἐριώδους φύσεως, ὅμοιον τοῖς ἀκανθίνοις πάπποις. ῥίζα δὲ ἀπόξυς καὶ μα-
C κρὰ, ξυλώδης, γευσαμένῳ ἁλμυρά. φύεται ἐν παραδείσοις καὶ παραθαλασσίοις τόποις, καὶ παρὰ ποταμοῖς. Δύναμιν δὲ ἔχει τὸ ἄνθος καὶ τὰ φύλλα, κυνῶν μὲν καὶ ὄνων καὶ ἡμιόνων, καὶ τῶν πλείστων τετραπόδων δὲ ζώων φθαρτικὴν· ἀνθρώπων δὲ σωστικὴν, σὺν οἴνῳ πινόμενα πρὸς δήγματα
D θηρίων καὶ μᾶλλον εἰ πήγανον παραμίξειας. τὰ δὲ ἀσθενέστερα τῶν ζώων, ὡς αἶγες καὶ πρόβατα, ἐπὰν τὸ ἀπόβρεγμα αὐτῶν πίῃ, ἀποθνήσκει.

Περὶ Μυκήτων. Κεφ. πγ'.

ΜΥΚΗΤΩΝ διαφορὰ διττή· ἢ γὰρ βρώσιμοι εἰσὶν, ἢ φθαρτικοί. παρὰ πολλαῖς δὲ αἰτίαις γίνονται οἱ ὀλέθριοι· ἢ γὰρ ἥ-
E λοις ἰωμένοις, ἢ ῥάκεσι σεσηπόσιν, ἢ ἑρπετῶν φωλεοῖς παραφύονται, ἢ δένδρεσιν ἰδίως βλαπτικοὺς φέρουσι τοὺς καρπούς. ἔχουσι δὲ καὶ γλοιώδη οἱ τοιοῦτοι ἐπίπαγον· κατατεθέντες δὲ μετὰ τὸ ἀφαιρεθῆναι, ταχέως διαφθείρονται σηπόμενοι. οἱ δὲ μὴ τοιοῦτοι, ζωμοποιοὶ, ἡδεῖς· πλεονασθέντες
F μέντοι καὶ οὗτοι, βλάπτουσι δυσπεπτούμενοι, πνίγοντες ἢ χολέραν ἐπάγοντες. βοηθεῖ δὲ πᾶσι τούτοις πινόμενοι νίτρον καὶ ἔλαιον, ἢ κονία, μετ' ὀξάλμης, ἢ θύμβρας ἀπόζεμα, ἢ ὀριγάνου, ἢ ὀρνιθεία κόπρος μετ' ὄξους πινόμενοι, ἢ μέλιτι ἐκλειχόμενοι πολλῷ. τρόφιμοι δὲ εἰσὶ καὶ δυσδιάλυτοι· ὁλοσχερεῖς δὲ
G ὡς ἐπιπολὺ σὺν τοῖς περιττώμασιν ἀποδίδονται.

V. caret [illegible] Pro μέλανα [illegible] καὶ legit.

Lacuna legit [illegible]

V. caret.

Ald. [illegible]

V. [illegible]

V. [illegible]

Samb. [illegible]

Orib. Simpliciter βλαπτικοὺς

Samb. [illegible]

Orib. [illegible]

V. [illegible]

In vulg. ex. deerat [illegible]. Sed ex Lacuna v. c. iitémque ex Oribasio adiecimus.

Περὶ Κολχικοῦ. Κεφ. πδ'.

Κολχικόν, οἱ δὲ ἐφήμερον, οἱ δὲ βολβὸν ἄγριον, λήγοντος τοῦ φθινοπώρου ἀνίησιν ἄνθος ὑπόλευκον, ὅμοιον κρόκου ἄνθει· ὕστερον δὲ τὰ φύλλα φέρει βολβῷ παραπλήσια, λιπαρώτερα· καυλὸν σπιθαμιαῖον, καρπὸν ἔχοντα πυρρόν· ῥίζαν φλοιὸν ἔχουσαν ἔκκιρρον ἐν τῷ μέλανι, ἥτις λεπιζομένη λευκὴ καὶ ἁπαλὴ καὶ ὀποῦ μεστὴ εὑρίσκεται, καὶ γλυκεῖα· ἔχει δὲ ὁ βολβὸς διάφυσιν μέσην, καθ' ἣν τὸ ἄνθος ἀφίησι· γεννᾶται δὲ πλεῖστον ἐν τῇ Μεσσηνίᾳ καὶ Κόλχοις. βρωθεῖσα δὲ κτείνει κατὰ πνιγμὸν ὁμοίως μύκησιν. Ἀνεγράψαμεν δὲ αὐτήν, ἵνα μὴ λάθῃ βρωθεῖσα ἀντὶ βολβοῦ· παραδόξως γάρ ἐστιν ἐπακτικὴ διὰ τὴν ἡδύτητα τοῖς ἀπείροις. βοηθεῖ δὲ τοῖς φαγοῦσιν ὅσα καὶ τοῖς μύκητας φαγοῦσι· καὶ γάλα βόειον πινόμενον· ὥστε ὅταν παρῇ τοῦτο, μηδενὸς ἄλλου δεῖσθαι βοηθήματος.

Al. ὑπόπυρρον. V. ἐν μέλανι πυρρόν
Al. ὑπόκιρρον.
V μεγίστη
V. addit καὶ
V. διάφυσιν
V. addit δὲ

Περὶ Ἐφημέρου. Κεφ. πε'.

Ἐφήμερον, οἱ δὲ ἶριν ἀγρίαν, φύλλα καὶ καυλὸν ὅμοια ἔχει κρίνῳ, λεπτότερα δέ· ἄνθη λευκά, πικρά· καρπὸν δὲ μαλακόν. ῥίζα δὲ ὕπεστι δακτύλου πάχος μία, μακρά, στυπτική, εὐώδης. φύεται ἐν δρυμοῖς καὶ παλισκίοις. Τούτου ἡ μὲν ῥίζα ὀδονταλγίας ἐστὶ φάρμακον, διακλυζομένη. τὰ δὲ φύλλα ἐν οἴνῳ ἑψηθέντα καὶ καταπλασθέντα, οἰδήματα καὶ φύματα διαφορεῖ, μήπω ὑγρὸν ἔχοντα.

Al. κρίνον
Lacunæ cod. addit παύει γὰρ τὴν ὀδύνην.
Fuchsius πῶν legendum censet ex Galeno.

Περὶ Ἑλξίνης. Κεφ. πς'.

Ἑλξίνη, οἱ δὲ, παρθένιον, οἱ δὲ, σιδηρῖτιν, οἱ δὲ, ἡρακλείαν, οἱ δὲ, ἀσυείαν, οἱ δὲ, ὑηλῖτιν ἀγρίαν, οἱ δὲ, κλιβάδιον, οἱ δὲ, πολυώνυμον καλοῦσι· φύεται ἐπὶ θριγγοῖς καὶ τοίχοις· καυλία δὲ ἔχει λεπτά, ὑπέρυθρα· φύλλα ὅμοια λινοζώστει, δασέα· περὶ δὲ τὸν καυλὸν οἱονεὶ σπερμάτια τραχέα, ἀντιλαμβανόμενα τῶν ἱματίων.

Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν, στυπτικήν· ὅθεν καταπλασσόμενα ἰᾶται ἐρυσιπέλατα, κονδυλώματα, κατακαύματα, φύγεθλα ἀρχόμενα, καὶ πᾶσαν φλεγμονὴν καὶ οἰδήματα· ὁ δὲ χυλὸς αὐτῆς μιγεὶς ψιμμυθίῳ, ἐρυσιπέλατα καὶ ἕρπητας

V. ἡ παρθένιον
Orib. οἱ δὲ ἰξίνην
Forte κλυβάτιν, vt apud Nic.
Quidam codices carent. In nothis verò legitur, φύεται ἐν φραγμοῖς καὶ τοίχοις καὶ ἐμπλάστοις καὶ ὄντα. καυλία δὲ ἔχει ὑπέρυθρα &c.
Ald. περὶ. V τὸν
V. ἐπιθυμώμενα
V. δακτύλους
V. caret

De Colchico. Cap. LXXXIIII.

A Colchicvm, quod aliqui ephemerum, alij agrestem bulbũ vocant, sub finem autumni florem edit croci candicanté: deinceps verò folia bulbi, sed pinguiora: caulẽ dodrantalem cum rufo semine: radicem cortice præditã è nigro fulB uescente: quæ quidem delibrata cãdida, tenera, succi plena atque etiã gustanti dulcis reperitur. Habet verò bulbus eius mediam rimam fissurámve, è qua flos erumpit. Plurimum in Messenia & apud Colchos enascitur. Comesa radix fungorum more strangulando enecat. Hanc autẽ ideò studiosiùs descripsimus, C vt ne fortè per imprudentiam pro esculẽto bulbo in cibos recipiatur: mirum enim quantũ saporis iucunditate imperitos alliciat. Opem ferunt eadem quę fungis deuoratis, insuperq́; lac bubulum epotum ita auxiliatur, vt si affuerit, aliud nullum desideretur auxilium.

De Ephemero. Cap. LXXXV.

D Ephemervm, quod alij agrestem irin appellant, caulem foliáque habet lilij, sed hæc tenuiora: flores candidos, amaros: semen molle: radicem vnam digitali crassitudine, longam, astringentem, odoratã. Nascitur in syluis & opacis. Huius radix dentium doloribus præcipua, si decocto ij colluantur. Folia verò in E vino cocta illitáq́; œdemata tuberculáque discutiunt, * quæ quidem humidi nihildum contraxêre.

Pl. quæ etiam dum discuti possunt.

De Helxine. Cap. LXXXVI.

Helxine, quam nonnulli parthenium, alij perdicium, alij sideritin seu Heracleam, alij vitrariã seu vrceolariam, alij ixinen syluestrẽ, alij * clibadiũ, alij denique poF lyonymon appellãt, nascitur in maceriis & parietinis *. Cauliculos profert tenues ac leuiter rubentes, folia mercurialis, hirsuta: & circa caules velut exigua semina, aspera, vestibus adhærescentia. Vim habẽt folia refrigeratoriam & astringenG tem: qua ex causa sanant illitu erysipelata, condylomata, adusta, incipientes panos, omnéque inflãmationis genus & œdemata. Succus ei' cũ cerussa erysipelatis & herpetib'

Fortè clybatin
al. [illegible]

vtiliter illinitur: vti & podagris, si cerato cyprino aut hircino seuo exceptus fuerit. Veterem quoque tussim emendat succus, instar cyathi haustus. Quin & tonsillis inflammationem sentientibus vtiliter & gargarizatur & oblinitur, necnon & aurium dolorem cum rosaceo instillatus leuat.

De Alsine. Cap. LXXXVII.

ALSINEN alij myosota vocant, quoniam folijs musculorum auriculas imitetur. Alsine verò dicta est, quòd opacis nemorosisque locis gaudeat. Herba est helxinę similis, at humilior, longioribúsque folijs, ac minimè hirsuta: & cùm teritur, odorem cucumeris reddit. Vim porrò refrigerandi astringendique obtinet: quamobrem oculorum inflammationibus cōmodè cum polenta illinitur, auriúmque dolori succus infunditur: denique ad eadē omnia quæ helxine valet.

De Lenticula palustri. Cap. LXXXVIII.

LENS palustris in aquis pigris stagnantibúsque reperitur, muscus scilicet lenticulæ similis, refrigeratoriæ naturæ: propter quod omnibus inflammationibus, erysipelatis, podagrísque & per se & cum polēta conuenienter imponitur: insupéq; puerorum enterocelas agglutinat.

De Sēperuiuo magno. C. LXXXIX.

SEDVM magnum Semperuiui nomen sibi vendicat, quoniam folia semper vireant. Caules edit cubitales, aut etiam altitudinem eam excedētes, crassitudine pollicari, pingues, egregiè virentes, Characiæ tithymalli modo incisuris distinctos: folia pinguia, pollicari * magnitudine, & extremo cacumine linguæ similia, & infima quidem in terram conuexa: quę verò sunt in capite, ita cōferta adductaq; inuicem, vt orbiculato ambitu effigiē imitentur oculi. Nascitur in locis mōtosis & argillosis. Sunt & qui ipsum supra domicilia serant. Vis ei perfrigerare & astringere. Quamobrem folia tum per se tum etiam cum polenta imposita, valent ad erysipelata, herpetas, nomas, oculorum inflammationes, ambusta & podagras.

H. latitudine

A ὠφελεῖ καταχριόμενος, καὶ ποδάγραις σὺν κηρωτῇ κυπρίᾳ αἰγηφθεὶς ἢ τραγείῳ στέατι. ὠφελεῖ δὲ ἐπὶ βῆχας χρονίως ὁ χυλὸς καταρροφούμενος ὅσον κύαθος· καὶ παρισθμίοις φλεγμαίνουσιν ἀναγαργάρισμα καὶ διάχρισμα ὠφέλιμόν ἐστι· καὶ ὠταλγίαν σὺν ῥοδίνῳ ἐγχεόμενον ὠφελεῖ.

B Περὶ Ἀλσίνης. Κεφ. πζ.

ΑΛΣΙΝΗ, οἱ δὲ, μυὸς ὦτα, ἀπὸ τοῦ ἔχειν φύλλα ὅμοια μυὸς ὠτίοις. ἀλσίνη δὲ, διὰ τὸ σκιεροὺς καὶ ὑλώδεις φιλεῖν τόπους. πόα ἐστὶν ὁμοία ἑλξίνῃ, ταπεινοτέρα δὲ καὶ μακροφυλλοτέρα, καὶ οὐ δασεῖα· διατριβεῖσά τε, σικύου ὄζει. Δύναμιν δὲ ἔχει ψυκτικὴν, στυπτικὴν· ἁρμόζουσαν πρὸς φλεγμονὰς ὀφθαλμῶν, μετὰ ἀλφίτων καταπλασσομένη, καὶ πρὸς ὤτων πόνον ὁ χυλὸς αὐτῆς ἐνσταζόμενος. καὶ καθόλου δύναται τὰ αὐτὰ τῇ ἑλξίνῃ.

V. add. in καὶ ὠτίων.

Orib. ταπεινοτέρα δὲ καὶ μακροτέρα.

V. μακροφυλλοτέρα

V. caret

C V. caret

Περὶ Φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων. Κ. πη.

D ΦΑΚΟΣ ὁ ἐπὶ τῶν τελμάτων, εὑρίσκεται ἐπὶ τῶν στασίμων ὑδάτων, βρύον ὂν ὅμοιον φακῷ, ψύχων τῇ δυνάμει. πάσαις φλεγμοναῖς καὶ ἐρυσιπέλασι καὶ ποδάγραις ἁρμόζει καταπλασσόμενος, καθ' ἑαυτὸν τε καὶ σὺν ἀλφίτῳ. προσκολλᾷ δὲ καὶ ἐντεροκήλας τὰς ἐπὶ παιδίων.

V. ψύχει

V. caret

E Περὶ Ἀειζώου τοῦ μεγάλου. Κεφ. πθ.

ΑΕΙΖΩΟΝ τὸ μέγα ὠνόμασται διὰ τὸ ἀειθαλὲς τῶν φύλλων. καυλοὺς δὲ ἀφίησι πηχυαίους, ἢ καὶ μείζονας, πάχος δακτύλου μεγάλου, λιπαρούς, εὐθαλεῖς, ἐντομὰς ἔχοντας ὥσπερ τοῦ χαρακίου τιθυμάλλου· φύλλα λιπαρὰ, μέγεθος δακτύλου μεγάλου, γλωσσοειδῆ κατὰ τὸ ἄκρον, καὶ τὰ μὲν κατωτέρω τῶν φύλλων ὑπτιούμενα, τὰ δὲ κατὰ τὴν κεφαλὴν περιεστραμμένα ἐπ' ἄλληλα, κύκλον ὀφθαλμοειδῆ περιγράφοντα· φύεται δὲ ἐν τόποις ὀρεινοῖς καὶ ὀστρακίνοις. ἔνιοι δὲ φυτεύουσιν αὐτὸ ἐπὶ τῶν οἰκημάτων. Δύναμιν δὲ ἔχει ψυκτικὴν, στυπτικήν, ποιεῖ δὲ πρὸς ἐρυσιπέλατα, ἕρπητας, νομὰς, ὀφθαλμῶν φλεγμονὰς, πυρίκαυστα, ποδάγρας, καταπλαττόμενα τὰ φύλλα καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων.

F

Ista in quibusdam codicib. desiderantur

G V. συντηκτική.

ὁ δὲ χυλὸς πρὸς κεφαλαλγίας μετ' ἀλφίτου καὶ ῥοδίνου ἐμβρέχεται· καὶ φαλαγγιοδήκτοις ἐν ποτῷ δίδοται, καὶ διαῤῥοίζομένοις, καὶ δυσεντερικοῖς· στρογγύλας τε ἕλμινθας ἐκτινάσσει σὺν οἴνῳ ποθεὶς· ἵστησι καὶ ῥοῦν γυναικεῖον ἐν προσθέτῳ. ἐγχρίεται δὲ ὁ χυλὸς καὶ ἐπὶ τῶν ὀφθαλμιώντων ὠφελίμως ἀπὸ αἵματος. A B

Περὶ Ἀειζώου τοῦ μικροῦ. Κεφ. ϟ'.

Ἀείζωον τὸ μικρὸν φύεται ἐν τοίχοις καὶ πέτραις, καὶ θριγγοῖς καὶ τάφροις παλισκίοις. καυλία ἀπὸ μιᾶς ῥίζης πολλὰ, λεπτὰ, περίπλεα φυλλαρίων περιφερῶν, λιπαρῶν, μικρῶν, ὀξέων ἐπ' ἄκρου· ἀνίησι δὲ καὶ καυλὸν ἐν μέσῳ περὶ σπιθαμὴν τὸ μέγεθος, ἔχοντα σκιάδιον καὶ ἄνθη λεπτὰ καὶ χλωρά. τούτου τὰ φύλλα δύναμιν ἔχει τὴν αὐτὴν τῷ προειρημένῳ. C

Orib. πολλά

Περὶ Ἀειζώου ἑτέρου. Κεφ. ϟα'.

Δοκεῖ δὲ εἶναι καὶ τρίτον εἶδος ἀειζώου, ὃ ἔνιοι ἀνδράχνην ἀγρίαν ἢ τηλέφιον ἐκάλεσαν, Ῥωμαῖοι δὲ ἰλλέκεβραν· ἔχει δὲ αὐτὴ παχύτερα τὰ φυλλάρια πρὸς τὰ τῆς ἀνδράχνης καὶ δασέα. φύεται ἐν πέτραις. Δύναμιν δὲ ἔχει θερμαντικὴν, δριμεῖαν, ἑλκωτικὴν, χοιράδων διαφορητικὴν, σὺν ὀξυγγίῳ καταπλασθέν. D

Περὶ Κοτυληδόνος. Κεφ. ϟβ'.

Κοτυληδὼν, οἱ δὲ, σκυτάλιον, οἱ δὲ, κυμβάλιον, φύλλον ἔχει ὥσπερ ὀξύβαφον, περιφερὲς, ληπτόντως κοῖλον· καυλίον δὲ ἐν μέσῳ βραχὺ, ἐν ᾧ τὸ σπέρμα· ῥίζαν ὡς ἐλαίας στρογγύλην. Ταύτης δὲ τῶν φύλλων ὁ χυλὸς μετ' οἴνου περιχριόμενος, ἢ ἐγκλυζόμενος, φίμοις τοῖς ἐν αἰδοίοις χαλᾷ· φλεγμονάς τε καὶ ἐρυσιπέλατα καὶ χιμέτλας καὶ χοιράδας καταπλαττόμενον ὠφελεῖ, καὶ στόμαχον καυσούμενον. ἐσθιόμενα δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ, λίθους θρύπτει, καὶ οὖρα κινεῖ. καὶ ὑδρωπικοῖς σὺν οἰνομέλιτι δίδοται. χρῶνται δὲ αὐτῇ καὶ εἰς τὰ φίλτρα. E F

Orib.

Περὶ Ἑτέρας κοτυληδόνος. Κεφ. ϟγ'.

Ἔστι δὲ καὶ ἕτερον εἶδος κοτυληδόνος, πλατύτερα ἔχον καὶ λιπαρὰ φύλλα ὡς γλωττάρια, πυκνὰ περὶ τὴν ῥίζαν, G

Succus autem ad capitis dolores cum polenta & rosaceo instillatur: morsis à phalangio potui datur, itémque profluuio alui laborantibus atque dysentericis. Sed & teretes lumbricos pellit ex vino potus, & fluorem muliebrem sistit in vellere subditus: denique oculorum lippitudinibus à sanguine obortis vtiliter inungitur.

De Semperuiuo paruo. Cap. XC.

Semperuiuum minusculum in parietinis, petris & maceriis, nec nõ & scrobibus opacis nascitur: cauliculis ab vna radice multis, tenuibus: qui quidem crebris cincti sunt pusillis foliis, iísque rotũdis, pinguibus, exilibus, mucronatis. Promit & à medio caulem palmum ferè altũ, vmbella floribúsque tenuibus & ex luteo pallidis præditum. Folia eisdem cum priore viribus pollent. *tegulis Pl.*

De Semperuiuo tertio. Cap. XCI.

Videtur & tertium esse semperuiui genus, quod aliqui portulacam agrestem aut telephiũ vocauerunt, Romani Illecebram, pusillis foliis crassiusculis ad portulacæ similitudinem ac densis. Nascitur in petris. Vis ei excalfactoria, acris & exulcerans: impositúmque cum axungia strumas discutit.

De Vmbilico Veneris. Cap. XCII.

Cotyledon aliis scytalium, seu cymbalium, folio est acetabuli instar orbiculato atque concauo, ita tamen vt cauum id aciem propè fugiat: breui in medio cauliculo, in quo semen inest: radice oliuæ modo rotunda. Radicis foliorúmque succus cum vino circumlitus aut infusus, astricta pudenda laxat: herba verò inflammationibus, erysipelatis, perniunculis ac strumis, itémque stomacho æstuanti vtiliter imponitur. At folia cum radice comesa, calculos comminuunt, vrinásque cient, & hydropicis ex mulso dantur. Est & ipsius herbæ vsus ad amatoria.

De Vmbilico veneris altero. Cap. XCIII.

Est porrò & alterum Cotyledonis genus, latioribus foliis, iísque pinguibus, ac ceu lingulas referentibus, dẽsis confertisq; circa radicẽ,

& velut oculum in medio constituentibus, (quemadmodum de maiore semperuiuo dictum est) astringentis gustus: cauliculo tenui, in cuius summo flores sunt & semina hyperici: radice maiuscula. Vsus eius ad eadem, quæ semperuiui.

De Vrtica. Cap. XCIIII.

VRTICÆ, quæ Græcorum plerisque Acalyphe, alijs Cnide dicitur, duo genera: vna siquidem agrestior est, asperioribus, latioribus nigrioribúsq; folijs, semine lini, at minore: altera non æquè aspera, minuto semine. Vtriusque folia illita sale addito, canis morsibus medentur: itémque in gangrænam vergentia, maligna, carcinode sordidáque vlcera, luxata, tubercula, parotidas, panos & abscessus sanant. Lienosis eadem cum cerato imponũtur. Faciunt & ad sanguinis è naribus profluuia folia ipsa cum succo trita & naribus indita: menses quoque ciũt eadem detrita cum myrrha & apposita: sed & procidẽtes vuluas admota recentia folia * restituunt. Semen autem ex passo potum venerẽ stimulat, vuluámque aperit. Idem cum melle delinctum, orthopnœæ, lateris & pulmonum inflammationibus prodest: thoracem purgat, ac septicis etiamnum medicamentis admiscetur. Porrò cum conchylijs cocta folia, difficilem ventrem emolliunt, inflationes discutiunt, vrináſque cient. At cum ptissana decocta, vitia pectoris excreabilia faciunt. Mulierum denique menses euocat foliorum decoctum, cũ myrrhæ modico potum. Inflammatam verò vuam gargarizatus succus reprimit.

Vi.olla vel. restituunt

De Galiopsi. Cap. XCV.

GALIOPSIS, quam alij Galeobdolon vocant, toto frutice cum caule & foliis vrticam refert. At leuiora sunt folia, & valdè grauem odorem trita reddunt: flores verò tenues sunt ac purpurascentes. Nascitur circa sepes, semitas ędificiorúmque areas vbique. Folia, succus, caulis ac semen duritias, carcinomata, strumas, parotidas & panos discutiendi vim habent.

quidam apud P.Æginet. Galeobdolon.

A οἱονεὶ ὀφθαλμὸν ἕνα μέσον περιγράφοντα, ὥσπερ τὸ μεῖζον ἀείζωον, τῇ γεύσει στύφοντα. καυλίον λεπτὸν, καὶ ἐπ' αὐτοῦ ἄνθη καὶ *σπέρματα ὅμοια ὑπερικῷ· ῥίζαν δὲ μείζονα. ποιεῖ δὲ πρὸς ἃ καὶ τὸ ἀείζωον.

V. σπερμάτια.

Περὶ Ἀκαλύφης. Κεφ. ϙδ'.

ΑΚΑΛΥΦΗ, οἱ δὲ, κνίδη. διττὸν εἶδος B ἐστὶν αὐτῆς. ἡ μὲν γάρ ἐστιν ἀγριωτέρα, *τραχυτέρα καὶ πλατυτέρα καὶ μελαντέρα τοῖς φύλλοις· καρπὸν δὲ ὅμοιον λινοσπέρμῳ ἔχει, πλὴν ἥττονα. *ἡ δὲ ἑτέρα *λεπτόσπερμός τε καὶ οὐχ ὁμοίως τραχεῖα. Ἀμφοτέρων δὲ τὰ φύλλα καταπλασσόμενα μετὰ ἁλῶν, κυνόδηκτα ἰᾶται C καὶ γαγγραινικὰ, καὶ τὰ κακοήθη καὶ καρκινώδη, καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν, καὶ στρέμματα, φύματα, παρωτίδας, φύγεθλα, ἀποστήματα. σπληνικοῖς δὲ μετὰ κηρωτῆς ἐπιτίθενται. ποιεῖ δὲ καὶ πρὸς τὰς ἐκ μυκτήρων αἱμορραγίας τὰ φύλλα σὺν τῷ χυλῷ λεῖα ἐπιπλασσόμενα. κινεῖ δὲ D καὶ ἐμμήνια, λεῖα μετὰ σμύρνης ἐπιτιθέμενα, καὶ ὑστέρας προπτώσεις ἀποκαθίστησι νεαρὰ τὰ φύλλα προσαπτόμενα. τὸ δὲ σπέρμα ἐπὶ συνουσίαν παρορμᾷ πινόμενον μετὰ γλυκέος, καὶ ὑστέραν ἀναστομοῖ. σὺν μέλιτι δὲ ἐκλειχόμενον, ὀρθοπνοίας ὠφελεῖ καὶ πλευρίτιδας καὶ περιπνευμονίας. ἀνάγει δὲ καὶ τὰ ἐκ θώρακος. μίγνυται δὲ καὶ σηπτικοῖς. συνεψηθέντα δὲ τὰ φύλλα κογχαρίοις, τὰς κοιλίας μαλάττει. λύει ἐμπνευματώσεις, οὖρα κινεῖ. σὺν πτισάνῃ δὲ ἑψηθέντα, τὰ ἐκ θώρακος ἀνάγει. τὸ δὲ ἀφέψημα τῶν φύλλων σὺν ὀλίγῃ σμύρνῃ ποθὲν, κινεῖ καταμήνια. ὁ δὲ F χυλὸς ἀναγαργαριζόμενος, στέλλει κιονίδα φλεγμαίνουσαν.

V. ἀγρία
V. delet
V. margo addit: ἡ ἀσὶ φάμα λίθος ... ἐρώτας ἢ ... ὠφελεῖ.
Al. λεπτόσπερμος

Περὶ Γαλιόψεως. Κεφ. ϙε'.

ΓΑΛΙΟΨΙΣ, οἱ δὲ, γαλεόβδολον· ὅλον τὸ *θαμνίον σὺν τῷ καυλῷ καὶ τοῖς φύλλοις ἐμφερές ἐστι κνίδῃ, λειότερα δὲ τὰ φύλλα *καὶ ἱκανῶς *δυσώδη ἐν τῷ G διατρῖψαι· *ἄνθη λεπτὰ πορφυρίζοντα· φύεται ἐν φραγμοῖς, καὶ παρὰ τὰς ὁδοὺς καὶ οἰκόπεδα πανταχοῦ. Δύναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ χυλὸς [*καὶ ὁ καυλὸς καὶ ὁ καρπὸς,] διαφορητικὴν σκληρωμάτων καὶ καρκινωμάτων, χοιράδων, παρωτίδων, φυγέθλων.

V. καυλίον σὺν τῷ θάμνῳ legit significantius.
Lacuna ex v. c. addit καὶ λειότερα
Al. δυσώδη
V. ἄνθη λεπτὰ πορφυρᾶ.
V. caret conclusis.

Ita Ald. cod. at Paris. caret.

A δεῖ δὲ μετ' ὄξους δὶς τῆς ἡμέρας καταπλάσσειν, χλιαρὸν ποιοῦντας τὸ κατάπλασμα. καὶ τὸ ἀφέψημα δὲ αὐτῆς καταντλεῖται ὠφελίμως. ποιεῖ καὶ πρὸς νομὰς, γαγγραίνας καὶ σηπεδόνας, μεθ' ἁλῶν καταπλασσόμενα.

V. Inscribit. [illegible] γαλλίου

Περὶ Γαλλίου. Κεφ. ϟϛ'.

B ΓΑΛΛΙΟΝ, οἱ δὲ, γαλλέριον, οἱ δὲ, γαλάτιον· ὠνόμασται δὲ ἀπὸ τοῦ γάλα πηγνύειν ἀντὶ πιτύας αὐτό. ὃ δὲ κλωνίον καὶ τὸ φύλλον ἔχει ἐμφερέστατον ἀπαρίνῃ, καὶ ὀρθὸν δὲ, καὶ ἐπ' ἄκρου ἄνθος μήλινον, λεπτὸν, πυκνὸν, πολὺ, εὔοσμον· οὗ τὸ ἄνθος πρὸς τὰ πυρίκαυστα καταπλάσσεται, καὶ αἱμοῤῥαγίας ἵστησι· μίγνυται δὲ καὶ κηρωτῇ ῥοδίνῃ, ἡλιαζόμενον ἄχρις ἂν λευκὸν γένηται· καὶ ἔστι τὸ τοιοῦτον ἄκοπον. ἡ δὲ ῥίζα πρὸς συνουσίαν παρορμᾷ. φύεται δὲ ἐν ἑλώδεσι τόποις.

V. caret.

V. caret.

C

Περὶ Ἠριγέροντος. Κεφ. ϟζ'.

ΗΡΙΓΕΡΩΝ καυλίον ἐστὶ πηχυαῖον, ὑπέρυθρον, συνεχῆ ἔχον φυλλάρια, ἀκροσχιδῆ ὥσπερ εὔζωμον, παρὰ πολὺ δὲ ἐλάττονα· ἄνθη μηλίζοντα, ταχέως σχιζόμενα καὶ ἐξανθοῦντα εἰς τοὺς λεγομένους πάππους. ὅθεν καὶ ἠριγέρων ὠνομάσθη, διὰ τὸ ἔαρος τὰ ἄνθη τριχοειδῶς πολιοῦσθαι. ῥίζα ἄχρηστος. φύεται μάλιστα ἐπὶ θριγγοῖς καὶ περὶ τὰς πόλεις. Δύναμιν δὲ ἔχει ψυκτικὴν τὰ φύλλα σὺν τοῖς ἄνθεσιν· ὅθεν καταπλασσόμενα τὰ φύλλα ἐν ὀλίγῳ οἴνῳ, ἢ καὶ καθ' ἑαυτὰ, φλεγμονὰς ὄρχεων καὶ δακτυλίου θεραπεύει· σὺν δὲ μάννῃ, τά τε ἄλλα τραύματα καὶ τὰ ἐν νεύροις ἰᾶται· καὶ οἱ πάπποι δὲ, καθ' ἑαυτοὺς καταπλασθέντες ἐν ὄξει, τὸ αὐτὸ δρῶσι· ποθέντες μέντοι νεαροὶ, πνιγμὸν ἐπιφέρουσιν. ὅλος δὲ ὁ καυλὸς σὺν ὕδατι ἑψηθεὶς, καὶ σὺν γλυκεῖ πινόμενος, στομάχου πόνους τοὺς ἀπὸ χολῆς θεραπεύει.

Al. ἐοικ.

D

Cat. Vil. τειχῶν.

E

F

V. hac postrema periodo caret.

Annotat Goupylus in veteribus hoc loco caput esse [illegible]

V. quidam [illegible]

Περὶ Θαλίκτρου. Κεφ. ϟη'.

G ΘΑΛΙΚΤΡΟΝ φύλλα παραπλήσια κορίῳ ἔχει, λιπαρώτερα δὲ, καὶ καυλίον πηγανίου πάχος, ἐφ' οὗ τὰ φύλλα· ἅπερ καταπλασθέντα λεῖα, τὰ χρόνια τῶν ἑλκῶν ἐπουλοῖ. φύεται δὲ μάλιστα ἐν πεδίοις.

Sed eiusmodi cataplasma addito aceto tepidum bis die imponi oportet. Ex vsu est & herbæ decocto fouere. Cæterùm & ad nomas, gangrænas & putrescentia vlcera, cum sale folia efficaciter imponuntur.

De Gallio. Cap. XCVI.

GALLIVM, alijs galerium siue galatium, nomē ex eo traxit, quòd coaguli vice lac cogat & coagulet. Ramulū foliúmq; habet aparinæ simillimū, rectum: florem in cacumine luteum, tenuem, densum, copiosum, odoratum. Flos igni ambustis illinitur, sanguinísque profluuia sistit. Admixtus & oleo rosaceo, insolatúsque vsque dum albescat, medicamentum fit acopon, seu leuandis lassitudinibus aptum. Radix venerem concitat. Cæterùm nascitur in palustribus.

De Senecione. Cap. XCVII.

SENECIO cauliculo est cubitali, subrubicundo, foliolis crebris & erucæ modo per extremitates diuisis, sed minoribus multò: floribus in luteum vergentibus, qui quidem citò dehiscunt ac deflorescentes in pappos abeunt. Atque inde etiam Erigerontis nomen Senecio apud Græcos inuenit, quòd verè flores capillorum ritu canescant. Radix est superuacua. Nascitur porrò maximè in maceriis & circum oppida. Folia cū floribus refrigerādi vim habēt: proindéque illita cum vini modico aut etiam per sese folia, testium & sedis inflammationes sanant: quin & ex manna thuris cùm reliquis medentur vulneribus, tum iis quæ neruis inflicta sunt. Illiti quoque pappi per se cum aceto, idem præstant: verùm recentes epoti strangulant. Totus autem caulis si ex aqua coctus cum musto potui detur, stomachi dolores à bile contractos persanat.

De Thalictro. Cap. XCVIII.

THALICTRVM folia coriandri habet, at pinguiora: cauliculum rutæ crassitudine, in quo folia: quæ quidem trita illitu diuturna vlcera ad cicatricem perducunt. Nascitur præcipuè in campestribus.

De marino Musco. Cap. XCIX.

MVSCVS marinus in saxis testísque ad mare nascitur, capillaceus, gracilis, sine caule, valdè astringentis gustus: ad inflammationes & podagras, quas refrigerare opus est, efficax.

De marino Fuco, seu alga. Cap. C.

E Fuci marini generibus, quoddã latum, alterum oblongũ & quadantenus puniceum, tertium candidum, quod in Creta nascitur iuxta terram, pulchrè floridum neque corruptioni obnoxium. Omnia genera vim habent refrigeratoriam, in cataplasmatis, ad podagras & inflammationes efficaciter vtilẽ: verùm ijs adhuc humentibus vti conuenit, priusquàm * exarescant. Nicãder puniceum asserit aduersus serpentes valere: idipsúmque est quo existimauêre nonnulli colorẽ suum mentiri mulieres: cùm tamen radicula sit eiusdem nominis, qua sese fucant.

inarescant

De Potamogetone. Cap. CI.

POTAMOGETON folio est betæ simili, * denso & paululum supereminente extra aquam. Porrò refrigerat & astringit, proindéque conuenit pruriginibus, ac depascẽtibus vetustísque vlceribus. Nomẽ autem ex eo inditum est, quòd in paludibus & aquosis locis nascatur.

illi insit

De Stratiote. Cap. CII.

STRATIOTES in aquis nascens, quem alij stratioten fluuiatilem appellant, ex eo cognomẽtum traxit, quòd aquis supernatat, & sine radice viuit. Folium habet aizoo simile, at maius, idémque refrigerandi vi præditum. Sanguinem qui defluit à renibus potum sistit. Ex aceto autem illitum, vulnera & erysipelata, necnon & œdemata ab inflammatione vindicat.

De Stratiote millefolio. Cap. CIII.

STRATIOTES millefolius, pusillus est frutex palmi altitudine aut etiam ampliùs assurgens, folijs pulli pennas imitantibus: sunt autem foliorum exortus breues admodum & incisuris diuisi. Folia maximè cuminum agreste, tum breuitate tum etiam scabritia, simulant: sed sunt etiamnum breuiora paulò, densio-

A Περὶ * Βρύου θαλασσίου. Κεφ. ϙθʹ. — V. inscriptio, περὶ βρύου θαλασσίου ἢ βρυωνίας.

Βρύον θαλάσσιον φύεται ἐπὶ λίθων καὶ ὀστράκων παρὰ θάλασσαν, * τριχῶδες, ἰσχνὸν, ἄκαυλον, ἰσχυρῶς στυπτικὸν, ποιοῦν πρὸς φλεγμονὰς καὶ ποδάγρας, τὰς * στύψεως δεομένας.

Περὶ Φύκους θαλασσίου. Κεφ. ρʹ.

B Φῦκος θαλάσσιον, γίνεται τὸ μέν τι αὐτοῦ πλατὺ, τὸ δὲ ὑπομῆκες καὶ φοινίσσον, τὸ δὲ, λευκὸν, φυόμενον δὲ ἐν Κρήτῃ πρὸς τῇ γῇ, εὐανθὲς ἄγαν καὶ ἄσηπτον. * Ψυκτικὴν δὲ ἔχει πάντα τὴν δύναμιν, ποιοῦντα ἐν καταπλάσμασι, * ποδαγρικοῖς καὶ ταῖς φλεγμοναῖς· δεῖ δὲ αὐτοῖς
C χρῆσθαι ἐνίκμοις πρὸ τοῦ ξηρανθῆναι. Νίκανδρος δέ φησι καὶ θηριακὸν εἶναι τὸ φοινικοῦν. ὅπερ ἔδοξαν ἔνιοι εἶναι, ᾧ αἱ γυναῖκες χρῶνται, ὄντος ἐκείνου ῥιζίου * ὁμωνύμως δὲ καλουμένου φύκους.

Lacuna in v. c. legit, στυπτικὸν quæ quidem lectio potior illi videtur. Ita quoque legit Orib.

Περὶ Ποταμογείτονος. Κεφ. ραʹ.

Ποταμογείτων φύλλον
D ἐστὶν ὅμοιον σεύτλῳ, δασὺ, καὶ ὀλίγον ὑπερκύπτον τοῦ ὕδατος. ψύχει δὲ καὶ στύφει, ἁρμόζον κνησμοῖς, καὶ νεμομένοις καὶ παλαιοῖς ἕλκεσιν. ὠνόμασται δὲ διὰ τὸ ἐν τέλμασι καὶ ἐνύδροις τόποις φύεσθαι.

Περὶ Στρατιώτου. Κεφ. ρβʹ.

Στρατιώτης, ὁ ἐπὶ τῶν ὑδάτων
E φυόμενος, οἱ δὲ, ποτάμιον στρατιώτην καλοῦσιν· ὠνόμασται δὲ διὰ τὸ ἐπινήχεσθαι τοῖς ὕδασι καὶ χωρὶς ῥίζης ζῆν. φύλλον δὲ ἔχει ἀειζώου ὅμοιον, μεῖζον μέντοι, καὶ ψυκτικὴν ἔχον δύναμιν. ἐφιστάνον τὰς ἐκ νεφρῶν αἱμορραγίας, πινόμενον· τραύματά τε ἀφλέγμαντα τηρεῖ, καὶ
F ἐρυσιπέλατα καὶ οἰδήματα, σὺν ὄξει καταπλασσόμενον.

Cordus pro ἀειζώου, suspicatur legendum [illegible]

Περὶ Χιλιοφύλλου στρατιώτου. Κεφ. ργʹ.

Στρατιώτης ὁ χιλιόφυλλος ἐστὶ θαμνίσκος μικρὸς, σπιθαμιαῖος καὶ μείζων· ἔχων τὰ φύλλα ὅμοια νεοττοῦ πτεροῖς * · εἰσὶ δὲ * αἱ ἐκφύσεις τῶν φύλλων
G σφόδρα βραχεῖαι, ἐσχισμέναι. ἔοικε δὲ μάλιστα τὰ φύλλα * τῇ βραχύτητι * καὶ τῇ τραχύτητι κυμίνῳ ἀγρίῳ· καὶ ἔτι βραχύτερα· καὶ τὸ σκιάδιον δὲ πυκνότερον

V. [illegible] quidam τῷ πτερίδι.
V. ἐπὶ legit
V. βραχυτάτη
V. his caret.

τούτου καὶ ἁδρότερον. ἔχει δὲ ἐπ' ἄκρου A
καρφία μικρά, ἐφ' ὧν τὰ σκιάδια ἐστὶν
ἀνήθου τρόπον· ἄνθη μικρά, λευκά. φύεται
ἐν ἀγροῖς ὑποτραχέσι καὶ περὶ τὰς
ὁδοὺς μάλιστα. ἔστι δὲ αὕτη ἡ βοτάνη σφό-
δρα ἀγαθὴ πρὸς αἱμορραγίας καὶ ἕλκη
παλαιὰ καὶ πρόσφατα, καὶ σύριγγας.

V. quidam legit esse Lac. καὶ ὀχρά, πολλαπλα-σία.
Lac. in v cod. ἐν τόποις ἀγροῖς.
V. περὶ

B

Περὶ Φλόμου. Κεφ. ρδ'.

ΦΛΟΜΟΣ ταύτης μὲν ἀνωτάτω διαφορὰν ἔχει διττήν. ἡ μὲν γάρ ἐστιν αὐ-
τῆς λευκή, ἡ δὲ, μέλαινα· καὶ τῆς λευκῆς ἡ
μὲν, θήλεια, ἡ δὲ, ἄρρην. τῆς μὲν οὖν θη-
λείας τὰ φύλλα παραπλήσιά ἐστι κράμ-
βῃ, δασύτερα δὲ πολλῷ καὶ πλατύτερα C
καὶ λευκά· καυλὸς πηχυαῖος καὶ μείζων,
λευκός, ὑπόδασυς· ἄνθη λευκὰ ἢ ὑπό-
χλωρα· σπέρμα μέλαν· ῥίζα δὲ μακρά, στρυ-
φνή, πάχος ἔχουσα δακτύλου· φύεται δὲ
ἐν πεδίοις. Ἡ δὲ ἄρρην καλουμένη, λευ-
κόφυλλος, ὑπομήκης δὲ καὶ στενωτέρα
τοῖς φύλλοις, καὶ τῷ καυλῷ δὲ λεπτοτέρα. D
Ἡ δὲ μέλαινα ὁμοία τῇ λευκῇ κατὰ πάντα,
πλατυφυλλοτέρα μέντοι καὶ μελαντέρα
τοῖς φύλλοις ὑπάρχει. Γίνεται καὶ ἡ λε-
γομένη ἀγρία, ῥάβδους ὑψηλὰς φέρουσα
καὶ δενδρώδεις, φύλλα ἐλελισφάκῳ ὅμοια·
ἔχει δὲ κλῶνας περὶ τὰς ῥάβδους ὥσπερ
πράσιον, ἄνθος μήλινον, χρυσοειδές. εἰσὶ E
δὲ καὶ φλομίδες διπλαῖ, δασεῖαι, περι-
φυεῖς τῇ γῇ, στρογγύλα ἔχουσαι τὰ φύλλα.
Καὶ τρίτη φλομὶς ἡ καλουμένη λυχνῖτις,
ὑπὸ δέ τινων θρυαλλίς, φύλλα γ' ἢ δ' ἢ
καὶ πλείονα ἔχουσα παχέα, λιπαρά, δα-
σέα. εἰς ἐλλύχνια χρησίμη. τῶν μὲν οὖν προειρη-
μένων δύο ῥίζα στυπτική· ὅθεν διαρροιζομέ- F
νοις ὅσον ἀστράγαλος σὺν οἴνῳ ὠφελίμως
ἐν ποτῷ δίδοται. τὸ δὲ ἀφέψημα αὐτῆς
ῥήγμασι καὶ σπάσμασι καὶ θλάσμασι καὶ
βηξὶ παλαιαῖς ἀρήγει. ὀδονταλγίας τε
παραιρεῖ διακλυζόμενον. ἡ δὲ χρυσοειδὴς
τὰ ἄνθη, τρίχας βάπτει, καὶ ὅπου ἂν τεθῇ
σίλφας συνάγει. τὰ δὲ φύλλα ἑφθὰ ἐν G
ὕδατι, πρὸς οἰδήματα καὶ ὀφθαλμῶν φλε-
γμονὰς καταπλάσσεται, καὶ πρὸς σφακε-
λίζοντα ἕλκη σὺν μέλιτι ἢ οἴνῳ· σὺν ὄξει δὲ, τραύματα θεραπεύει, καὶ σκορπιοπλήκτοις

V. Incipit, ὁ φλόμος διαφορὰς &c.
Orib. λευκότερα
Orib. ὑπόχλωρα
V. non habet
Al. μέλαν
Al. ξυλώδεις
V. δακτύλους
V. quidam ὀριγάνιον
V. χρυσομήλινον
V. περιφυεῖς
V. numero caret foliorum.
Lacuna legit in v. c. τὰς δὲ χρυσοειδὲς τὰ ἄνθη

fiore plenioréque vmbella. Surculos in cacumine gerit exiguos, in quibus vmbellæ in modum anethi, flores parui candidique. Nascitur in agris subasperis, præcipuéque secus vias. Herba eximij vsus ad profluétem sanguiné, vlceráque tum vetera tum recentia, atque etiá fistulas.

De Verbasco. Cap. CIIII.

VERBASCVM genera habet summa duo: siquidem hoc albú est, illud nigrum: rursúmque in albi genere alterum mas est, alterum fœmina. Ac fœminæ quidé folia sunt brassicæ, at pilosiora multò latioráque, & candida: caulis cubitalis aut amplior, albus, subhirsutus: flores candidi aut quadantenus ex luteo pallescentes: semen nigrum: radix longa, gustu acerba, crassitudine digiti. Nascitur in campestribus. Qui verò mas appellatur, albis est, oblongis, angustioribúsque foliis, ac tenuiori quoque caule. Nigrum autem albo prorsus esset simile, nisi latioribus nigrioribúsque folijs constaret. Est & Verbascú syluestre, virgas gerens altas & arboris specie lignosas, folia saluiæ: habet autem vti marrubium verticillato circa virgas ambitu florem luteum, auro similem. Sunt porrò & Phlomides duæ, hirsutæ, humiles, rotundísque præditæ folijs. Tertia præter has est quæ lychnitis vocatur, ab aliis thryallis, foliis ternis quaternísve aut etiá pluribus, crassis, pinguibus & hirsutis: ea ad lucernarum ellychnia apta est. Porrò duûm generum primo loco recensitorú radix astringit: proindéq; alui profluuio laborátibus ludicri tali magnitudine vtiliter ex vino propinatur. Decoctum ruptis, conuulsis, contusis & antiquæ tussi auxiliatur: ac dentiú quoque dolores collutione mitigat. Verbascú auté cui flos aureus, capillos tingit, & quocunq; loco reponatur, blattas in se contrahit. Cocta in aqua folia, œdematis & oculorum inflammationibus imponuntur, itémque syderatis vlceribus, ex melle aut vino. Cum aceto quoque vulneribus medentur, & a scorpione ictis opitulan-

tur. At verò syluestris folia igni ambustis illinuntur. Fœminæ verò folia ferunt caricis interposita, eas incorruptas & à putredine immunes tueri.

De AEthiopide. Cap. CV.

AETHIOPIS folia etiam habet verbasco similia, perquàm hirsuta densáque, & circa imam radicem orbem conficientia: caulem quadrangulum, crassum & scabrũ, similem apiastro aut arctio, multis concauum alis: semina erui magnitudine bina in singulis conceptaculis: radices ab eodem cespite numerosas, longas, crassas & gustu glutinosas: quæ siccæ nigrescunt, durátúrque vt cornua videri possint. Plurima in Messenia & Ida nascitur. Huius radix decocta potáque, ischiadi, pleuritidi, sanguinis expuitioni & arteriæ scabritijs auxiliatur: cum melle autem ecleginatis vice assumitur.

De Arctio. Cap. CVI.

ARCTION aliqui arcturum vocãt, folia itidem habet verbasco similia, nisi quòd hirsutiora rotundioráque sunt: radicem tenerã, dulcem & albam: caulem mollem, longum: semen cumino paruo simile. Radix cum semine in vino decocta, dentium dolores mulcet, siquidem ore decoctum contineatur. Ambusta pernionésque eodem fouentur. Bibitur & propter ischiada vrinæque difficultatem è vino.

De Arcio, siue Personata. Cap. CVII.

ARCION, quod alij prosopida aut prosopion quasi personatam vocant, folia habet cucurbitæ, maiora tamen, duriora nigrioráque & hirsuta: caulem albicãtem, quanquam & interdum herba hæc vidua caule reperiatur: radix grandis est, & intus quidem alba, foris verò nigra. Hæc drachmæ vnius pondere pota cum pineis nucleis, cruenta expuẽtibus, purulentáque excreantibus auxiliatur. Trita quoque articulorum dolores ex contorsionibus contractos illitu sedat. Folia denique antiquis vlceribus vtiliter imponuntur.

A βοηθεῖ. τὰ δὲ τῆς ἀγρίας φύλλα πυρικαύστων ἐστὶ καταπλάσματα. τὰ δὲ τῆς θηλείας φύλλα φασὶ μετὰ σύκων ξηρῶν συντιθέμενα, ἄσηπτα αὐτὰ διαφυλάττειν.

[Margin: Totus hic locus inquit Go... est in veter... hæc omnia a... gnoscuntur ab interpretibus.]

Περὶ Αἰθιοπίδος. Κεφ. ρε'.

ΑΙΘΙΟΠΙΣ, καὶ αὐτὴ παραπλήσια φλόμῳ ἔχει τὰ φύλλα, δασέα δὲ λίαν καὶ πυκνά, κύκλῳ περὶ τὸν πυθμένα τῆς ῥίζης· καυλὸν τετράγωνον, παχύν, καὶ τραχύν, ἐοικότα μελιτταίνῃ ἢ ἀρκτίῳ, μασχάλας ἀνιέντα πολλάς. καρπὸν δὲ περὶ μέγεθος ὀρόβου σὺν δύο ἐν ἑνὶ ἀγγείῳ· ῥίζας ἀπὸ τοῦ αὐτοῦ πυθμένος πολλάς, μακράς, παχείας, γευομένῳ κολλώδεις· γίνονται δὲ ξηραινόμεναι μέλαιναι καὶ σκληραί, κέρασιν ἐοικυῖαι· πλείστη δὲ γίνεται κατὰ τὴν Μεσσηνίαν καὶ τὴν Ἴδην. Ταύτης ἡ ῥίζα ἑψομένη καὶ πινομένη βοηθεῖ ἰσχιάδι, πλευρίτιδι, αἵματος πτύσει, καὶ ἀρτηρίας τραχύτητι· λαμβάνεται δὲ μετὰ μέλιτος ἀντὶ ἐκλεικτοῦ.

[Margin: A'. καὶ λεῖα. — Non habet O. — Cat. αἱμοπτυϊκοῖς.]

Περὶ Ἀρκτίου. Κεφ. ρϛ'.

ΑΡΚΤΙΟΝ, οἱ δὲ, ἀρκτοῦρον, φλόμῳ καὶ αὐτὸ ἔχει ἐοικότα τὰ φύλλα, δασύτερα δὲ καὶ στρογγυλώτερα· ῥίζαν ἁπαλήν, γλυκεῖαν, λευκήν· καυλὸν δὲ μαλακόν, μακρόν· καρπὸν δὲ κυμίνῳ μικρῷ ὅμοιον. Ταύτης ἡ ῥίζα δύναται καὶ ὁ καρπὸς ἀφεψηθέντα ἐν οἴνῳ, ὀδονταλγίας διακρατούμενα παρηγορεῖν· καὶ πυρικαύστων καὶ χειμέτλων ἐστὶ καταιόνημα· πίνεται δὲ καὶ πρὸς ἰσχιάδας καὶ δυσουρίας ἐν οἴνῳ.

[Margin: V. μακρὸν, Marc. μικρὸν. καρπὸν δὲ μακρὸν κυμίνῳ ὅμοιον.]

Περὶ Ἀρκείου. Κεφ. ρζ'.

ΑΡΚΕΙΟΝ, οἱ δὲ, προσωπίδα, οἱ δὲ, προσώπιον καλοῦσι, φύλλα ἔχει ὅμοια τοῖς τῆς κολοκύνθης, μείζονα μέντοι καὶ σκληρότερα καὶ μελάντερα καὶ δασέα· [καυλὸν ὑπόλευκον· ἐνίοτε δὲ καὶ ἄκαυλος ἡ πόα·] ῥίζα μεγάλη καὶ λευκὴ ἔνδοθεν, ἔξωθεν δὲ μέλαινα. Ἥτις βοηθεῖ ποθεῖσα < α'. πλῆθος μετὰ στροβίλων, αἱμοπτοϊκοῖς, ἐμπυϊκοῖς. ποιεῖ καὶ τὰ ἐκ τῶν λυγισμῶν περὶ τὰ ἄρθρα ἀλγήματα, καταπλασσομένη λεία. καὶ τὰ φύλλα δὲ ὠφελίμως ἐπὶ τῶν παλαιῶν ἑλκῶν καταπλάττεται.

[Margin: Ἴσως ἀρκτεῖον· quasi arctium alterum à Gal. vocatur. — Ista non habet, nisi inter nothas Ald. codex, vt neque vetus manuscriptus & O. r. bas.]

Περὶ Πετασίτου. Κεφ. ρη'. A

Lac. legit in v.c. θαμνίσκος

ΠΕΤΑΣΙΤΗΣ * μίσχος ἐστὶ μείζων πήχεως, δακτύλου μεγάλου πάχος, ἐφ' οὗ φύλλον πετασῶδες μέγα, προσκείμενον ὥσπερ μύκης, ποιοῦν πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη, λεῖον καταπλασσόμενον.

V. addit, καὶ ἄνθρακας & carbunculos.

Περὶ Ἐπιπακτίδος. Κεφ. ρθ'.

V. quidam. τὴν μυῖαν. Al. φόνια.

V. addit, καὶ ἐμμηναγωγός.

B ΕΠΙΠΑΚΤΙΣ, οἱ δὲ, ἑλλεβορίνην, θαμνίσκος μικρός, ἐλάχιστα φυλλάρια ἔχων. πρὸς τὰ θανάσιμα δὲ πίνεται, καὶ πρὸς τὰ ἐν ἥπατι πάθη.

Περὶ Καπνοῦ. Κεφ. ρι'.

Al. Corion. In marg. aliàs πυκνοειδὲς. Lac. addit ex v. c. ἰδίᾳ δὲ τῶν κορίων φυόμενος.

V. addit, καὶ πικρός.

ΚΑΠΝΟΣ * βοτάνιον ἐστὶ θαμνοειδές, κορίῳ ἐοικός, τρυφερὸν πάνυ· τὰ δὲ φύλλα λευκότερα καὶ τεφροειδῆ, πολλὰ πανταχόθεν· ἄνθος πορφυροῦν. τούτου ὁ χυλὸς δριμύς, ὀξυδερκής, δακρύων ἀγωγός· ὅθεν καὶ τοὔνομα εἵλκυσε. Δύναται δὲ καὶ τὰς ἐκ τῶν βλεφάρων διπλᾶς τρίχας * σὺν κόμμι καταχρισθεὶς μὴ ἐᾶν φύεσθαι. βρωθεῖσα δὲ ἡ πόα, οὖρα ἄγει χολώδη *.

Lac. legit. πλεῖστα χολὴν δι' οὔρων ἄγει. Al. μελαγχολώδη. πίνεται δὲ καὶ πρὸς ἰκτερικούς, καὶ πολλὰ ἄλλα δύναται.

Περὶ Λωτοῦ ἡμέρου. Κεφ. ρια'.

ΛΩΤΟΣ ἥμερος, οἱ δὲ, τρίφυλλον· φύεται ἐν παραδείσοις. ὃς χυλισθεὶς καὶ μιγεὶς μέλιτι, ἄργεμα καὶ νεφέλια καὶ λευκώματα καὶ τὰ ἐπισκοτοῦντα ταῖς κόραις ἀποκαθαίρει.

Περὶ Λωτοῦ ἀγρίου. Κεφ. ριβ'.

V. Ῥωμαῖοι καὶ τριφύλλιον

Λωτὸς ἄγριος, οἱ δὲ, Λίβυον καλοῦσι, φύεται μὲν πλεῖστος ἐν Λιβύῃ, καυλὸν φέρων δίπηχυν ἢ καὶ μείζονα, μασχάλας ἔχοντα πολλάς· φύλλα ὅμοια λωτῷ τριφύλλῳ, τῷ ἐν χορτοκοπείοις γινομένῳ· σπέρμα ἐοικὸς τήλιδι, μικρότερον δὲ πολλῷ, φαρμακῶδες ἐν τῇ γεύσει.

V. μικρὸν tantū.

Δύναμιν δὲ ἔχει θερμαντικήν, ἠπίως στυπτικήν, ἀποκαθαρτικὴν σπίλων τῶν ἐπὶ τοῦ προσώπου καὶ ἐφηλίδων, σὺν μέλιτι καταχριόμενος. πινόμενος δὲ καθ' ἑαυτὸν λεῖος, ἢ καὶ μετὰ μαλάχης σπέρματος σὺν οἴνῳ ἢ γλυκεῖ, τοῖς περὶ κύστιν ἀλγήμασι βοηθεῖ.

Περὶ Κυτίσου. Κεφ. ριγ'.

ΚΥΤΙΣΟΣ θάμνος ἐστὶ λευκὸς ὅλος ὡς ῥάμνος, κλάδους ἀνιεὶς πηχυαίους καὶ μείζονας, περὶ οὓς τὰ φύλλα ὅμοια τήλι-

De Petasite. Cap. CVIII.

PETASITES pediculo est cubitali maiore, & crassitudine pollicis, cui folium prægrande petasi modo amplum ceu fungus incumbit. Tritum id contra maligna & phagedænica vlcera efficaciter illinitur.

De Epipactide. Cap. CIX.

EPIPACTIS ab aliis Elleborine vocata, frutex est pusillus, perquàm exiguis constans foliolis. Contra venena & iocineris vitia pota prodest.

De Capno seu fumaria. Cap. CX.

FVMARIA fruticosa est herbula, coriandri similitudine, prætenera, folijs candidioribus & cineracei C coloris, vndique numerosis: flore purpureo. Huius succus acris est, claritatémq; facit oculis & delacrymationē, ceu fumus: vnde & herba nomen traxit. Illitus cum gūmi, duplicatos palpebrarum pilos euulsos renasci prohibet. Cæterùm herba in cibo sumpta, copiosam bilem per D vrinas trahit.

De Loto satiua. Cap. CXI.

LOTVS satiua quam aliqui Trifolium vocant, nascitur in hortis. Expressus ea succus addito melle, argema, nubeculas, albugines cæteráque vitia caliginem oculis offundentia discutit.

E *De Loto syluestri. Cap. CXII.*

Syluestris lotus, quam alij Libyon appellant, plurima in Libya gignitur, caule bicubitali aut etiam maiore, alis multis: folijs loti trifoliæ pratensis: semine fœnigræci, at minore multò, gustu medicato. Vim calfaciendi & leniter astringendi F obtinet. Tollit è facie næuos, itémque maculas à Solis ardore contractas, si cum melle perungatur. At trita per sese aut cum maluæ semine, & ex vino aut passo bibita, doloribus vesicæ succurrit.

De Cytiso. Cap. CXIII.

G CYTISVS frutex est * albus in totum, vti rhamnus, ramos spargens cubitales ac etiamnum maiores, in quibus folia fœnigræci, *V. alba usque ad ...*

aut loti trifoliæ, nisi quòd minora sunt, dorsóque medio prominétiore. Ea digitis trita erucam olent, gustatáque cicer viride sapiunt. Folia vim habent refrigeratoriam: œdemata inter initia discutiunt, si cum pane trita illinantur. Eorum quoq; decoctum vrinam potu ciet. Cæterùm nonnulli, quòd apes alliciat, eam propter aluearia serunt.

De Loto Ægyptia. Cap. CXIIII.

LOTVS quæ in Ægypti cápis flumine inundatis prouenit, caule est (Ægyptiæ) fabæ simili: flore paruo, candido, liliaceo simili, quē tradunt ad ortum Solis aperiri & expandi, eodem occidente comprimi occludique: hócque ampliùs, caput ipsum vespera mergi aquísque condi, rursúmque ad exortum Solis emergere extra aquam. Refert verò caput calycem papaueris maximum. In eo grana sunt ceu milij, quæ Ægyptij siccant & in panes cogūt. Radicem Lotus hęc habet mali cotonei similitudine, quæ & ipsa cruda coctáque manditur: cocta sanè qualitate vitello oui respondet.

De Myriophyllo, seu millefolio. Cap. CXV.

MYRIOPHYLLON cauliculo est singulari, tenero, vnicáque nixo radice: folijs circa caulem lęuibus, fœniculi similibus, iísque plurimis, vnde & nomen accepit. Est verò caulis quadantenus cauus, coloribus varijs distinctus, & quasi studio atque artificio limatus & expolitus. Nascitur in palustribus. Vulnera recentia ab inflammatione vindicat, seu viride seu etiam siccū ex aceto oblinatur: præcipitatis quoq; ex alto cū aqua & sale potui datur.

De Myrrhide. Cap. CXVI.

MYRRHIS, quam alij myrrhá nominant, similis est cicutæ caule folijsq;: radicē verò habet oblongá, tenerá, rotūdá, odoratá, cibo nō insuauē. Hęc pota in vino, phalangiorum morsibus auxiliatur. Ciet verò mēstrua, & fœminarū purgationes à puerperio trahit. Eadē decocta & in sorbitione data, phthisicis subuenit. Tradunt & nonnulli eandē bis die térve potam ex vino in pestilenti constitutione ita salutarem esse, vt arceat morbi contagia.

A δὲ, ἢ λωτῷ τριφύλλῳ· μικρότερα δὲ καὶ ῥάχιν ἔχοντα μείζονα· ἅ τε ἐν τῷ διατρίβεσθαι τοῖς δακτύλοις ὄζοντα εὐζώμου· ἐν δὲ τῇ γεύσει ὅμοια ἐρεβίνθοις χλωροῖς. Δύναμιν δὲ ἔχει τὰ φύλλα ψυκτικήν· διαφορητικὴν τῶν ἐν ἀρχῇ οἰδημάτων, σὺν ἄρτῳ λεῖα καταπλασθέντα. κινεῖ δὲ καὶ οὖρα τὸ ἀφέψημα Lacuna legit in V.c. λωτῷ · V. καὶ χλωροῖς. Lacuna legit [illegible]

B αὐτοῦ πινόμενον. ἔνιοι δὲ φυτεύουσιν αὐτὸ παρὰ τοῖς σμήνεσιν, ὡς ἐπακτικὸν τῶν μελισσῶν.

Περὶ Λωτοῦ Αἰγυπτίου. Κεφ. ριδ'.

ΛΩΤΟΣ ὁ ἐν Αἰγύπτῳ γινόμενος ἐν τῷ ὕδατι τῶν ἐπικλυσθέντων πεδίων, καυλός ἐστι τῷ τοῦ κυάμου ἐμφερής· ἔχων ἄνθος μικρὸν, λευκὸν, ἐοικὸς κρίνῳ, ὅ φασι Ald. κρίνῳ

C κατὰ τὰς ἀνατολὰς τοῦ ἡλίου ἀπλοῦσθαι, δύνοντος δὲ μύειν καὶ ὅλην τὴν κωδίαν κρύπτεσθαι ἐν τῷ ὕδατι, πάλιν τε πρὸς τὴν ἀνατολὴν τοῦ ἡλίου ὑπερκύπτειν. ἔοικε δὲ ἡ κωδία μήκωνι μεγίστῃ· ἐν ᾗ καρπὸς ὡς κέγχρος, ὃν ξηράναντες οἱ ἐν Αἰγύπτῳ, βάλλουσιν εἰς ἀρτοποιίαν. ῥίζαν δὲ ἔχει ὁμοίαν μήλῳ κυδωνίῳ,

D ἥτις καὶ αὐτὴ ἐσθίεται ὠμή τε καὶ ἑφθή. αἰσθήσει δὲ ἑψηθεῖσα τῇ ποιότητι λεκύθῳ ᾠοῦ.

Περὶ Μυριοφύλλου. Κεφ. ριε'.

ΜΥΡΙΟΦΥΛΛΟΝ καυλίσκος ἐστὶ μονοφυὴς, τρυφερὸς, μονόρριζος· περὶ ὃν φύλλα πολλὰ, λεῖα, μαράθρῳ ὅμοια· ὅθεν καὶ ὠνόμασται. ὁ δὲ καυλός ἐστιν ὑπόκοιλος, Al. [illegible] · V. caret · V. caret · Al. [illegible] perperam al. [illegible], sed accessorium

E διαποίκιλος, ὡς ἐπιτηδὲς διερρινημένος· φύεται ἐν ἑλώδεσι τόποις. τοῦτο τηρεῖ ἀφλέγμαντα τὰ νεότρωτα τῶν ἑλκῶν, σὺν ὄξει χλωρόν τε καὶ ξηρὸν καταπλασσόμενον· ποτίζεται δὲ καὶ πρὸς πτώματα σὺν ὕδατι καὶ ἁλσίν. Vulg. ex [illegible] · V. [illegible] al. [illegible] · Sic Goup. alter codex Vulg. ex. διερρινημένος · πτώματα legendum falsò suspicatur Marcellus.

Περὶ Μυρρίδος. Κεφ. ρις'.

F ΜΥΡΡΙΣ, ἣν δὲ μύρραν καλοῦσιν, τῷ καυλῷ καὶ τοῖς φύλλοις ἔοικε κωνείῳ· ῥίζαν δὲ ἔχει ἐπιμήκη, ἁπαλὴν, περιφερῆ, εὐώδη, ἡδεῖαν βρωθῆναι. Ἥτις πινομένη σὺν οἴνῳ, φαλαγγιοδήκτοις βοηθεῖ· καθαίρει δὲ ἔμμηνα, καὶ λόχια. καθεψηθεῖσα δὲ ἐν ῥοφήμασιν, ὠφελίμως φθισικοῖς V. [illegible]

G δίδοται· ἱστοροῦσι δὲ ἔνιοι, πινομένης αὐτῆς δὶς ἢ τρὶς τῆς ἡμέρας σὺν οἴνῳ ἐν λοιμικαῖς καταστάσεσι, βοηθεῖν πρὸς τὸ ἀνόσους διαμένειν. V. [illegible]

Περὶ Μυάγρου. Κεφ. ριζ΄.

ΜΥΑΓΡΟΣ, οἱ δὲ μελάμπυρον, πόα φρυγανώδης, δίπηχυς, φύλλα ἔχουσα ἐμφερῆ τοῖς τοῦ ἐρυθροδάνου, ὠχρά· σπέρμα *τήλει ἐοικός, λιπαρόν. ᾧ χρῶνται κόπτοντες αὐτὸ πεφωσμένον, καὶ περιπλάττοντες ῥάβδοις, καὶ ἀντὶ λύχνου χρώμενοι. δοκεῖ δὲ τὸ ἐξ αὐτοῦ λίπος ὁμαλίζειν καὶ λεαίνειν τὰς τοῦ σώματος τραχύτητας.

Περὶ Ὀνάγρας. Κεφ. ριη΄.

ΟΝΑΓΡΑ, οἱ δὲ, ὀνοθήραν, οἱ δὲ, ὄνουριν, θάμνος ἐστὶ δενδροειδής, εὐμεγέθης, φύλλα ἔχων ἀμυγδαλῇ παραπλήσια, *πλατύτερα δὲ καὶ ἐμφερῆ τοῖς τοῦ κρίνου· ἄνθη ῥοδοειδῆ, μεγάλα· ῥίζαν δὲ λευκήν, *μακράν, ἥτις ξηρανθεῖσα, οἴνου ὀσμὴν ἀποδίδωσι. φύεται ἐν ὀρεινοῖς τόποις. Δύναμιν δὲ ἔχει τὸ ἀπόβρεγμα τῆς ῥίζης ὑπὸ τῶν ἀγρίων ζώων πινόμενον, ἡμεροῦν αὐτά· καταπλασθεῖσα δὲ, πραΰνει τὰ θηριώδη ἕλκη.

Vulg. ex. γλυκυτέρα. sed vterque Goup. codex veriorē esse contextus scripturam testatur.
Vulg. ex. μακρῶν

Περὶ Κιρσίου. Κεφ. ριθ΄.

Ald. κιρσίου & sic deinceps

ΚΙΡΣΙΟΝ καυλός ἐστιν ἁπαλός, ὡς δίπηχυς, τρίγωνος, *τὰ κάτωθεν *φυλλάρια ῥοδοειδῆ, ἔχοντα τὰς γωνίας ἀκανθώδεις ἐκ διαστημάτων μαλακάς. τὰ δὲ φύλλα βουγλώσσῳ ἐμφερῆ, δασέα μετρίως καὶ *μακρότερα, ὑπόλευκα, ἀκανθώδη τοῖς πέρασι. τὸ δὲ ἀνωτάτω τοῦ καυλοῦ περιφερές, δασύ, καὶ ἐπ' αὐτοῦ κεφάλια ἀκροπόρφυρα, ἐκπαππούμενα. ταύτης τὴν ῥίζαν Ἀνδρέας ἀναγράφει ὑπὸ τῶν ἀλγούντων τόπων ἀναδουμένην, παύειν κιρσῶν πόνους.

V. [illegible]
V. μακρότερα
V. ἀναδιδομένην. Ald. χειρῶν perperam

Περὶ Ἀστέρος Ἀττικοῦ. Κεφ. ρκ΄.

ΑΣΤΗΡ Ἀττικός, ῥαβδίον ξυλῶδες, ἐπ' ἄκρου ἔχον ἄνθος πορφυροῦν, ἢ μήλινον, ὥσπερ ἀνθεμίδος κεφάλιον περισχιδές. ἔχει δὲ φυλλάρια ἀστέρι ὅμοια. τὰ δὲ περὶ τὸν καυλὸν φύλλα ὑπομήκη καὶ δασέα. *Ὠφελεῖ δὲ στόμαχον ἐκπυρούμενον, καταπλασσόμενον, καὶ ὀφθαλμῶν φλεγμονὰς καὶ βουβῶνας, καὶ τὰς προπιπτούσας ἕδρας. φασὶ δὲ καὶ τὸ πορφυρίζον τοῦ ἄνθους, μεθ' ὕδατος ποθέν, συναγχικοῖς βοηθεῖν, καὶ ἐπιληψίαις παίδων. ἁρμόζει δὲ καταπλασσόμενον ὑγρὸν πρὸς βουβώνων φλεγμο-

Orib. οἱ δὲ βουβώνιον
V. ῥαβδία ξυλώδη
V. πολυσχιδές. Quidam περὶ χέρσοι φυλλαρίοις στενά.
V. aliqui tota sequenti periodo carent vsque ad ἁρμόζει.

De Myagro. Cap. CXVII.

MYAGROS, quam aliqui melampyron vocant, herba est è cremiorum genere, bicubitalis, folijs rubiæ similibus, pallidis: semen verò gerit fœnogræco simile, pingue: quo quidem torrefacto & tuso virgas oblinunt, iísque lucernarum vice vtuntur. Cæterū hoc pingui corporis scabritias expoliri læuigaríque constat.

De OEnagra. Cap. CXVIII.

OENAGRA siue œnothera aut œnuris, frutex est arboris specie, prægrandis, folio amygdalaceo, sed latiore, liliaceo nō dissimili: floribus roseis, magnis: radice candida, longa: cùm siccata est, vinū olente. Nascitur in montanis. Radicis dilutum feris animantibus in potu datū, vim hanc habet, vt eas ex feritate ad mansuetudinem traducat. Quin & illitu eadem radix efferantia sese vlcera mitigat.

De Cirsio. Cap. CXIX.

CIRSIVM caule est tenero, duûm fermè cubitorum, triangulari, ab imo foliis rosę pusillis circundato, quæ quidem angulos habent ex interuallis spinosos, sed molles: folijs buglosso similibus, modicè hirsutis, longioribus, subcandidis & per extremitates aculeatis. Est autem pars summa caulis rotunda & hirsuta, illiq; insidēt capitula in summo purpurea, quę in pappos seu lanugines soluuntur. Huius radicem memorię prodidit Andreas laboranti loco adalligatam, dolores varicū sedare.

De Astere Attico. Cap. CXX.

ASTER Atticus, (qui ab aliquibus Bubonium appellatur) virgultū est lignosum, florem habens in cacumine purpureum aut luteum, per ambitum anthemidis capituli modo diuisum, foliolis stellę modo radiatis. Quæ verò caulem circundāt folia, oblonga sunt ac hirsuta. Exæstuanti stomacho, oculorum & inguinum inflammationibus, sedíque procíduæ illitu auxiliatur. Aiunt & id quod in flore purpurascit ex aqua potū, angina laborantibus puerísq; comitialibus opitulari. Prodest verò flos recens ac etiamdū humidus, inguinum inflāmationi adhibitus. Si

tus. Si verò aridus sinistrâ laborantis manu decerpatur, & inguini adalligetur, dolore liberat.

De Isopyro. Cap. CXXI.

ISOPYRON vocant aliqui Phasiolum, quoniam ad phasioli similitudinem in summo folio pampinum seu clauiculam gerat. Capitula sunt in summo caule tenuia, minutorū seminum plena, melanthij saporem imitantium. At folium est aniso simile. Semen contra tussim cęteráque pectoris vitia cum aqua mulsa bibitur. Sanguinē quoque excreantibus & hepaticis vtile.

De Viola nigra seu purpurea. Cap. CXXII.

VIOLA folium habet hederaceo minus, tenuius atque nigrius: alioqui haud ita dissimile. Cauliculus à radice medius prodit, in quo flosculus per quàm suauiter olens, purpureus. Locis nascitur opacis & asperis. Refrigerandi naturam habet: proindéque folia per se & cum polenta imposita, stomacho ardenti, oculorū inflammationibus, procidentíque sedi auxiliantur. Aiunt & id quod in flore purpureum est in aqua potum, angina laborantibus, puerísque comitialibus opitulari.

De Cacalia. Cap CXXIII.

CACALIA siue Leontice, folia profert candida, prægrādiáque: è quorum medio caulis emicat rectus, albus, florem ferens bryoniæ similem. Nascitur in mōtibus. Huius radix in vino *macerata ceu tragacantha, & delincta commanducatáve per se, tussi & arteriæ scabritiei medetur. Grana verò quæ post excussum florem subnascuntur, trita & cerato excepta illitáque, extendunt cutem in facie, eámque à *rugis vindicant.

De Bunio. Cap. CXXIIII.

BVNIVM caulem edit quadrangulum, procerū, digiti crassitudine: folia verò apio similia, verùm tenuiora multò, & coriādrinis proxima: florē anethi: semē odoratum, hyoscyami semine minus. Ciet id vrinas, excalfacit & secūdas euocat:

A νος. ξηρὸν δὲ ἀναιρεθὲν τῇ ἀριστερᾷ χειρὶ τοῦ ἀλγοῦντος, καὶ περιαφθὲν τοῖς βουβῶσιν, ἀπαλλάσσει τῆς ὀδύνης.

Περὶ Ἰσοπύρου. Κεφ. ρκα'.

ΙΣΟΠΥΡΟΝ, οἱ δὲ, φασίολον καλοῦσιν, ἀπὸ τοῦ ἐοικέναι φασιόλῳ, τοῖς κατ' ἄκρον τὸ *πέταλον ἕλικα φέρειν· ἔπεισι B δὲ κεφαλαὶ ἐπ' ἄκρου τοῦ καυλοῦ λεπταὶ, σπερματίων πλήρεις, παραπλησίων μελανθίῳ τὴν γεῦσιν· τὸ δὲ φύλλον ἀνίσῳ. Τούτου τὸ σπέρμα πινόμενον σὺν μελικράτῳ, τοῖς περὶ θώρακα πόνοις καὶ βῆχας ὠφελεῖ· αἱμοπτοϊκοῖς τε καὶ ἡπατικοῖς ἁρμόζει.

Περὶ Ἴου. Κεφ. ρκβ'.

C ΙΟΝ φύλλον ἔχει *μικρότερον κισσοῦ καὶ λεπτότερον, [μελάντερον δὲ καὶ οὐκ ἀνόμοιον.] *καυλίον μέσον ἀπὸ τῆς ῥίζης, ἐφ' οὗ ἀνθύλλιον σφόδρα εὐῶδες, πορφυροῦν. φύεται ἐν παλισκίοις καὶ τραχέσι τόποις. Δύναμιν δὲ ἔχει ψυκτικήν· ὅθεν τὰ φύλλα καταπλασσόμενα καθ' ἑαυτὰ καὶ μετὰ D ἀλφίτων, βοηθεῖ στομάχῳ καυσουμένῳ, καὶ ὀφθαλμῶν φλεγμοναῖς, καὶ ταῖς τῆς ἕδρας *προπτώσεσι. Φασὶ δὲ τὸ πορφυρίζον τοῦ ἄνθους μεθ' ὕδατος ποθὲν, συναγχικοῖς βοηθεῖν καὶ ἐπιληψίαις ταῖς ἐπὶ παίδων.

Περὶ Κακαλίας. Κεφ. ρκγ'.

E ΚΑΚΑΛΙΑ, οἱ δὲ, λεοντικὴν, φύλλα φέρει λευκὰ, εὐμεγέθη· καυλὸς δὲ ἐξ αὐτῶν μέσος ὀρθὸς, λευκὸς, *ἄνθος ἔχων ἐοικὸς *βρυωνίᾳ· ἐν ὄρεσι δὲ φύεται. Ταύτης ἡ ῥίζα ἐν οἴνῳ βρεχομένη ὡς τραγάκανθα καὶ ἐκλειχομένη, ἢ διαμασωμένη καθ' ἑαυτὴν, βῆχας καὶ τραχύτητας τῆς ἀρτηρίας θεραπεύει. F Οἱ δὲ μετὰ τὴν ἐξάνθησιν ἐπιφυόμενοι κόκκοι, λεῖοι ἀναληφθέντες κηρωτῇ καὶ ἐπιχρισθέντες, τεταμένον καὶ ἀρρυτίδωτον τηροῦσι τὸ πρόσωπον.

Περὶ Βουνίου. Κεφ. ρκδ'.

ΒΟΥΝΙΟΝ καυλὸν ἀνίησι τετράγωνον, εὐμήκη, *πάχος δακτυλιαῖον. φύλ- G λα δὲ ὅμοια σελίνῳ, λεπτότερα δὲ πολλῷ, παρὰ τὰ τοῦ *κορίου· ἄνθος ἀνήθου· σπέρμα *εὐῶδες, ὑοσκυάμου μικρότερον. Ἔστι δὲ οὐρητικὸν, θερμαντικὸν, καὶ δευτέρων ἀγωγόν.

V. non habet.
V. [illegible] μικρότερον καὶ
V. caret inclusis.
V. καυλίον [illegible]
Al. [illegible] recte.
Lac. legit in antiquo, ἄνθος ἔχον βρυωνίας. Vulg. exempl. [illegible]
Ald. in nonnullis addit, καὶ ἐν αὐτῷ κλωνάρια [illegible] συλλαγίων [illegible] πολλὰ, τοῦ μέσου δακτυλιαῖον. [illegible] ἐν αὐτῷ κλωνάρια [illegible] φύλλα δὲ [illegible] ὅμοια σελίνῳ. Sic & Orib. al. [illegible] Lac. autē legit in cod. veteri [illegible] Dodon. legendū putat [illegible]
Al. [illegible]

A πλῆνί τε καὶ νεφροῖς καὶ κύστει ἐπιτήδειον· χρῆσις δὲ αὐτοῦ ὑγροῦ τε καὶ ξηροῦ, καὶ χυλισθέντος σὺν ταῖς ῥίζαις καὶ τοῖς καυλοῖς καὶ τοῖς φύλλοις, μετὰ μελικράτου.

Περὶ Ψευδοβουνίου. Κεφ. ρκέ.

Ψευδοβούνιον θαμνίον ἐστὶ σπιθαμιαῖον ἐν Κρήτῃ, ἔχον φύλλα βουνίῳ ὅμοια, δριμέα. B δύναται δὲ καὶ τὰ ἐξ αὐτοῦ πινόμενα κλωνία ὅσον δ΄. σὺν ὕδατι, στρόφους καὶ στραγγουρίας, καὶ πλευρᾶς πόνον θεραπεύειν· διαφορεῖ δὲ καὶ χοιράδας, μετὰ ἁλῶν καὶ οἴνου καταπλασσόμενα χλιαρά.

[Goup. annotat addendum ex veteribus. καὶ κλωνία. al. καὶ κλωνία V. caret.]

[V. caret.]

Περὶ Χαμαικίσσου. Κεφ. ρκϛ΄. C

ΧΑΜΑΙΚΙΣΣΟΣ φύλλα ἔχει ὅμοια κισσοῖς, μακρότερα δὲ καὶ λεπτότερα, πολλά· κλωνία σπιθαμιαῖα, πέντε πλέα φύλλων ἀπὸ τῆς γῆς ἓ ἢ ϛ΄, ἄνθη λευκοΐοις ὅμοια, μικρότερα, καὶ πικρὰ πρὸς τὴν γεῦσιν ἰσχυρῶς· ῥίζα λεπτή, λευκή, ἄχρηστος· φύεται ἐν ἐργασίμοις χωρίοις. D Ἁρμόζει δὲ τὰ φύλλα ἰσχιαδικοῖς, ὅσον τριώβολον ἐν ὕδατι κυάθοις τρισὶ πινόμενα ἐπὶ ἡμέρας μ΄ ἢ ν΄. καὶ ἴκτερον δὲ ἀποκαθαίρει, ὁμοίως πινόμενα πρὸς ϛ΄ ἢ ζ΄. ἡμέρας.

[Ald. in nothis add. λευκότερα ἢ λεπτότερα. V. μακρά]

Περὶ Χαμαιλεύκης. Κεφ. ρκζ΄.

ΧΑΜΑΙΛΕΥΚΗ ποιεῖ πρὸς ὀσφύος ἀλγήματα, ἐν ὕδατι λεία πινομένη. E [ἔστι δὲ ἡ βοτάνη ὁλόχλωρος, ἔχουσα φυλλάρια ἐπικαμπῆ, καὶ τοὺς κλάδους ἐπικαμπεῖς. καὶ ἄνθη ὡς ῥόδα.]

[Ista quae sequuntur ad finē usq; ex Ald. codicis nothis adiecimus.]

Περὶ Βουγλώσσου. Κεφ. ρκη΄.

ΒΟΥΓΛΩΣΣΟΝ ἔοικε φλόμῳ· φύλλον δὲ ἔχει χαμαιπετές, τραχύ τε καὶ μελάντερον, ὅμοιον βοὸς γλώσσῃ. F ὅπερ καθιέμενον εἰς τὸν οἶνον, εὐφροσύνην δοκεῖ εἶναι.

[Castel. τραχύτερον, ἀκανθῶδες ἢ μικρότερον. V. add. καὶ μικρότερα. ita & Orib.]

[Cod. v. [illegible]]

Περὶ Κυνογλώσσου. Κεφ. ρκθ΄.

ΚΥΝΟΓΛΩΣΣΟΝ φύλλα ἔχει ἀρνογλώσσῳ τῷ πλατυφύλλῳ ἐμφερῆ, στενότερα δὲ καὶ μικρότερα, χνοώδη. G ἄκαυλον, ἐπὶ γῆς ἐστρωμένον· φύεται ἐν ἀμμώδεσι τόποις. Δύναμιν δὲ ἔχει τὰ φύλλα λεῖα σὺν στέατι παλαιῷ ὑείῳ, κυνόδηκτα καὶ ἀλω-

lieni, renibus ac vesicæ utile. Cæterùm seminis tam humidi quàm sicci, itémque succi ab eo una cùm radicibus caulibus ac folijs expressi usus est ex aqua mulsa.

De Pseudobunio. Cap. CXXV.

Pseudobunium palmi altitudine fruticat in Creta, folia ramulósque bunij ferens, acri gustu. Quaterni eius ramuli ex aqua bibiti, tormina, stranguriam, laterísque dolores sanant: discutiunt & strumas, si cum sale & vino tepẽtes imponantur.

De Chamæcisso, seu hedera humi repente. Cap. CXXVI.

CHAMÆCISSOS folijs est hederæ, at longioribus tenuioribúsque, numerosis: ramulis ab radice quinis senísve, dodrantalibus, foliosis: floribus leucoij seu violæ albæ, minoribus tamen, & gustu admodum amaris: radice tenui, candida, inutili: nascitur in cultis. Folia utiliter bibunt ischiadici tribus obolis in aquæ cyathis tribus, quadragenis quinquagenísve diebus. Eodem pota modo senis aut septenis diebus, regium morbum emendãt & expurgant.

De Chamæpeuce. Cap. CXXVII.

CHAMÆPEUCE lumborũ doloribus propitia est, si trita ex aqua bibatur. Est autem herba tota viridis herbaceíve coloris, foliolis ramulísque incuruis, floribus rosaceis.

De Buglosso. Cap. CXXVIII.

BUGLOSSUM verbasco simile est, folio in terra sparso, verùm aspero, nigriore, minoréque, bubulę linguæ simili: quod vino inditum animi voluptates augere, hilaritatémque afferre creditur.

De Cynoglosso. Cap. CXXIX.

CYNOGLOSSON folia latifoliæ plantaginis habet, at angustiora & minora, lanuginosa. Caule vacat, humíq; sternitur. Prouenit in sabuletis. Folia cum suillo adipe veteri trita, canum morsibus, alope-

cijs ambustísque medentur. Ipsius verò herbæ decoctum ex vino potum, aluum emollit.

De Phyteumate. Cap. CXXX.

PHYTEVMA folia habet radiculæ, sed minora: semen copiosum, perforatum: radicem paruam, tenuem, per summa terræ nitétem: quam ad amatoria conuenire nonnulli prodiderunt.

De Leontopodio. Cap. CXXXI.

LEONTOPODION duorũ digitorum herbula est, foliola habens arcta, robusta, quaternûm ferè aut etiam ternûm digitorum longitudine, hirsuta, quæq; radici proxima sunt lanatiora & subalbida: capitula in summis caulib⁹ quasi perforata, in quibus flores nigri. Semẽ verò vsqueadeò spissa lanugine obuolutũ est, vt ægrè deprehendi possit. Radix subiacet parua: quã etiam tradunt amuleti ratione alligatam ad amatoria prodesse, tuberculaq; discutere.

De Hippoglosso. Cap. CXXXII.

HIPPOGLOSSON pusillus est frutex, folia habens tenuis syluestris myrti figura, comámque spinosam, & in summo ceu ligulas secundũ folia exeuntes. Coma caput dolentibus amuletum vtile creditur. Malagmatis radix expressúsque succus admiscetur.

De Antirrhino. Cap. CXXXIII.

ANTIRRHINON siue anarrhinon, aliqui etiã lychnida syluestrẽ vocauerunt. Herba est caule foliisq; anagallidi similis: florib⁹ leucoij, minoribus tamen, purpureis: ideò etiã syluestris lychnis nominata est. Fructũ verò gerit vituli nariũ similẽ, aspectu russeũ. Traditur hæc amuleti instar adalligata, malis medicamẽtis veneficiisque aduersari, iisq; gratiã cõciliare, qui ea cũ oleo liliaceo cyprinóve perũcti fuerint.

De Catanance. Cap. CXXXIIII.

EX Catanances generibus vna folia habet lõga ceu coronopi, radicem iunci modo prætenuem: capitula sena septenáve, in quibus semen eruo simile. Arescens in terram curuatur, & se cõtrahit ad speciem vnguium milui exanimati.

A πεχίας, καὶ καῦμα ἰᾶται. ἑψηθεῖσα δὲ ἡ πόα καὶ πινομένη σὺν οἴνῳ, κοιλίας ἐστὶ μαλακτική.

Περὶ Φυτεύματος. Κεφ. ρλ´.

ΦΥΤΕΥΜΑ φύλλα ἔχει ὅμοια στρουθίῳ, μικρότερα δέ· καρπὸν πολὺν, τετρημένον· ῥίζαν μικρὰν, λεπτὴν, ἐπιπόλαιον· B ἣν ἀναγράφουσί τινες ἁρμόζειν πρὸς φίλτρον.

Al. τετρημμένον V. μακρὰν λεπτὴν. Marcellus etiam μακρὰν legit.

Περὶ Λεοντοποδίου. Κεφ. ρλα´.

ΛΕΟΝΤΟΠΟΔΙΟΝ διδακτυλιαῖόν ἐστι βοτάνιον, ἔχον φυλλάρια στενὰ, ἰσχυρὰ, ὡς τεσσάρων δακτύλων ἢ καὶ τριῶν τὸ μῆκος, δασέα, ἐριωδέστερα τὰ πρὸς τῇ C ῥίζῃ καὶ ὑπόλευκα· ἐπ᾽ ἄκρων δὲ τῶν καυλῶν κεφάλια ὥσπερ τετρημένα, ἐν οἷς ἄνθη μέλανα· ὁ δὲ καρπὸς αὐτοῦ δυσθεώρητος διὰ τὸν περικεχυμένον αὐτῷ χνοῦν. ῥίζα δ᾽ ὕπεστι μικρά. Φασὶ δὲ καὶ ταύτην ἁρμόζειν εἰς φίλτρα περιαπτομένην, καὶ φύματα διαφορεῖν.

V. non legit. Ald. ἐριωδέστερα Ald. τῇ ῥίζῃ V. καυλίων. V. τετρημμένα, ἐν οἷς ... ita Mar. V. μέλανα, ἐν οἷς καρπὸς δυσθεώρητος διά.

D Περὶ *Ἱπποgλώσσου. Κεφ. ρλβ´.

ΙΠΠΟΓΛΩΣΣΟΝ θαμνίσκος ἐστὶ μυρσίνῃ ἀγρίᾳ καὶ λεπτῇ τὰ φύλλα ὅμοιος. κόμην δ᾽ ἀκανθώδη ἔχει, καὶ ἐπ᾽ ἄκρου ὥσπερ γλωσσίδια παρὰ τοῖς φύλλοις. Δοκεῖ δὲ ἡ κόμη περίαμμα εἶναι χρήσιμον κεφαλαλγοῦσι· μίγνυται δὲ καὶ εἰς μαλάE γματα ἡ ῥίζα, καὶ τὸ χύλισμα.

Hæc quæ expressa ferant interpretes ex cod. Aldi. ni nobis adiectimus. V. ταύτην ... φύματα διαφορεῖν, ... V. ἀγρίαν λυχνίδα τινὲς καλοῦσι. Dalech. ... Dalechamp. legendum putat ἀκανθώδη ἔχει ἐπ᾽ ἄκρου, καὶ ὥσπερ γλωσσίδας παρὰ τοῖς φύλλοις. Lacuna in v. cod. legit, καὶ ἐπ᾽ ἄκρου ὥσπερ ἐπιγλωττίδας τετραμμένας μικρὰς ἐν τοῖς φύλλοις. Quidam al. γλωσσίδια ἐκφύοντα μικρά. V. addit μικρὰς V. ... ἀντιcεφάλιον.

Περὶ Ἀντιῤῥίνου. Κεφ. ρλγ´.

ΑΝΤΙΡΡΙΝΟΝ, οἱ δὲ, ἀνάῤῥινον, ἔνιοι δὲ καὶ ταύτην λυχνίδα ἀγρίαν ἐκάλεσαν, πόα ἐστὶν ἐμφερὴς ἀναγαλλίδι φύλλοις καὶ καυλῷ· τὰ δ᾽ ἄνθη πορφυρᾶ, ὅμοια λευκοΐῳ, μικρότερα δέ. διὸ καὶ ἀγρία F λυχνὶς ἐκλήθη· καρπὸν δὲ φέρει μόσχου ῥισὶν ὅμοιον, ῥούσιον ἰδεῖν. Ἱστορεῖται δὲ τοῦτο ἀντιπαθὲς εἶναι φαρμάκοις, περιαπτόμενον ἐπίχαρίν τε ποιεῖν ἀλειφομένους σὺν ἐλαίῳ κρινίνῳ, ἢ κυπρίνῳ.

Περὶ Καταναγκῆς. Κεφ. ρλδ´.

ΚΑΤΑΝΑΓΚΗ, ἡ μέν τις αὐτῆς ἔχει G φύλλα μακρὰ ὡς κορωνόποδος, ῥίζαν λεπτὴν, σχοινώδη· κεφαλὰς δὲ ς´, ἢ ζ´. ἐν αἷς καρπὸς ὅμοιος ὀρόβῳ· κάμπτεται δὲ ξηραινομένη ἐπὶ τὴν γῆν, καὶ ἰκτίνου ὄνυξιν ὁμοιοῦται νεκροῦ. Τὸ δὲ ἕτερον μή-

V. κεφαλὰς δὲ ὡς ὀρόβου. al. ὡς ὀρόβου

λου μέγεθος ἔχει μικροῦ· ῥίζαν δὲ μικρὰν "ὅσον ἐλαία.] τὰ δὲ φύλλα σχήματι καὶ χροιᾷ ἐοικότα ἐλαίᾳ, "μαλακὰ δὲ, ἐπὶ γῆς ἐστρωμένα καὶ ἐπεσχισμένα· καρπὸν ἐπὶ ῥαβδίοις μικρὸν, τετρημένον κατὰ πολλὰ μέρη, ὡς ἐρέβινθον, φοινικοῦν· ἀμφοτέρας δὲ ἱστοροῦσι τινὲς εἰς φίλτρα ἁρμόζειν. χρῆσθαι δὲ λέγουσιν αὐταῖς τὰς Θεσσαλὰς γυναῖκας.

V. caret.
V. μαλακώδη

Περὶ Τριπολίου. Κεφ. ρλέ.

ΤΡΙΠΟΛΙΟΝ φύεται ἐν παραθαλασσίοις τόποις, οὗ ἐπικλύζει ἡ θάλασσα καὶ ἀποχωρεῖ, οὔτε δὲ ἐν ξηρᾷ, οὔτε ἐν θαλάσσῃ· φύλλα δὲ ἔχει ἰσάτῃ παραπλήσια, παχύτερα μέντοι· καυλὸν σπιθαμιαῖον, ἄνωθεν ἐπεσχισμένον. ταύτης ἱστορεῖται "τὸ ἄνθος τρὶς τῆς ἡμέρας μεταβάλλειν τὸ χρῶμα, πρωῒ μὲν λευκὸν, κατὰ δὲ τὴν μεσημβρίαν πορφυρίζον, ὀψὲ δὲ φοινικοῦν· ῥίζα "λευκὴ, "εὐώδης, θερμαντικὴ γευομένῳ. ἥτις πινομένη ἐν οἴνῳ < β'. πλῆθος, κατὰ κοιλίας ὕδωρ ἄγει καὶ οὖρα. τέμνεται δὲ καὶ εἰς ἀλεξιφάρμακα.

Lac. legit in vet. cod. τόπους αἰ. Sic etiam Plin.
Fortè ἰσάτιδι
Lac. legit in vet. τὰ φύλλα τοῖς
Lac. legit λεπτὴ Pl. crassa Delet Anguillara.

Περὶ Ἀδιάντου. Κεφ. ρλς'.

ΑΔΙΑΝΤΟΝ, οἱ δὲ, πολύτριχον, φυλλάρια ἔχει κοριάννῳ ὅμοια, "ἐπεσχισμένα ἐπ' ἄκρου· τὰ δὲ "καυλία ἐφ' ὧν ἐκπέφυκε, μέλανα, "ἰσχυρῶς λεπτὰ, σπιθαμιαῖα, στίλβοντα· ** φύλλα ὅμοια πτέριδι, μικρὰ λίαν· οὔτε δὲ καυλὸν, οὔτε ἄνθος, οὔτε καρπὸν φέρει. ῥίζα ἄχρηστος. Δύναται δὲ τὸ ἀφέψημα τῆς πόας πινόμενον, βοηθεῖν ἀσθματικοῖς, "δυσπνοϊκοῖς, ἰκτερικοῖς, "σπληνικοῖς, δυσουροῦσι· θρύπτει δὲ καὶ λίθους, καὶ κοιλίας ἵστησι, καὶ "θηριοδήκτοις βοηθεῖ· καὶ στομάχου ῥεύματι, σὺν οἴνῳ πινόμενον· ἄγει δὲ καὶ ἔμμηνα καὶ λόχια· ἵστησι δὲ καὶ αἵματος ἀναγωγήν. καταπλάττεται δὲ καὶ πρὸς θηριοδήκτα ὠμὴ, καὶ ἀλωπεκίας δασύνει, χοιράδας σκορπίζει· ἀπόσμᾳ πίτυρα καὶ ἀχῶρας σὺν κονίᾳ· σὺν λαδάνῳ δὲ καὶ "μυρσινίνῳ, καὶ σουσίνῳ, ἢ καὶ "οἰσύπῳ καὶ οἴνῳ τρίχας ῥεούσας παρακρατεῖ. καὶ τὸ ἀφέψημα δὲ αὐτοῦ, σὺν κονίᾳ καὶ οἴνῳ σμηχόμενον, ποιεῖ καὶ τοὺς ἀλεκτρυόνας καὶ τοὺς ὄρτυγας μαχιμωτέρους, μιγνύμενον τῇ τροφῇ.

V. add. μικρότερα
V. τὰ δὲ ῥαβδία λεῖα, στίλβοντα
Matth. ἰσχυρῶς.
V. non legit.
V. caret.
V. caret.
V. [illegible]
Al. μυρσίνῳ V. add. κατὰ [illegible] καὶ [illegible] κεφαλῇ ποιεῖ γυναικείας τρίχας αὔξεσθαι
Sic Lac. legit in v. cod. at vulg. exempl. ὑσσώπῳ
V. add. ποιεῖ δὲ καὶ [illegible] παντοῖα [illegible] τὸ σῶμα καὶ κεφαλήν.

A Altera mali paruę magnitudinē explet, radice interim exiguæ oliuæ magnitudine, folijs quoque oleæ figura & colore, mollibus, diuisis ac per terrā stratis: semine in virgulis minuto, multis foraminibus pertuso, ciceris figura, puniceo. Vtranque narrant nonnulli in amatoria expeti, Thessalísque mulieribus esse in vsu. B

De Tripolio. Cap. CXXXV.

TRIPOLIVM in maritimis nascitur, vbi allidit vnda, vicissímque retrò cōmeat: sed neque in mari, neque in sicco. Folia habet isatis, attamen crassiora: caulem palmarē & superna parte diuisum. Eius flos C ter die colorem mutare perhibetur, ita vt manè candidus, meridie purpureus, vesperi puniceus aspiciatur. Radix est alba, odorata, calidi gustus: quæ drachmis duabus in vino pota, aquas vrinámque per aluum extrahit. Conciditur & in medicamenta quæ alexipharmaca vocant. D

De Adianto. Cap. CXXXVI.

ADIANTVM, alijs polytrichon, pusilla gerit folia, coriādri similia, in extremo incisuris diuisa: virgulas verò è quibus ea prodeūt nigro colore nitētes, prætenues & palmū altas: at neq; thyrsum, neq; florē, neq; semen profert: radix est su- E peruacua. Herbæ decoctū epotum, suspiriosis & alioqui ægrè spiritum ducētibus, felle suffusis, spleneticis & vrinę difficultate laborātibus auxiliatur. Calculos quoq; frangit, aluum sistit, & venenatorū morsibus resistit: cōtra stomachi fluxiones in vino bibitur: menstrua ciet, & quę à F puerperio purgaméta relinquūtur: sed & sanguinis reiectionē inhibet. Cōtra venenatorum morsus herba cruda illinitur: alopecias eadē densat, strumásque dissipat. Ex lixiuio, furfures & manantia capitis vlcera detergendo exterit. Cum ladano autem ac myrtino & susino, aut etiam œsypo ac vino, defluētes ca- G pillos cohibet atque confirmat: sed & affrictum eius decoctum cum lixiuio & vino, idem præstat. Facit & gallinaceos & coturnices pugnaciores, in cibum eorū additum:

circa ouilia quoque pecorum vtilitatis gratia plantatur. Cęterùm vmbrosis & palustribus locis & in parietibus aspergine humentibus, circáque fontes prouenit.

De Trichomane. Cap. CXXXVII.

TRICHOMANES, quod & nõnulli adiantum appellant; locis iisdem nascitur, filici simile, at longè exilius: folijs tenuibus, ordine vtrinque dispositis, lenticulæ similibus, aduersis inter se, in virgulis itidem tenuibus, splendentibus, nigricantibus, iísque acerbis. Eadem quæ & modò dictum adiantũ præstare posse creditur.

De Xanthio. Cap. CXXXVIII.

XANTHIVM, alij phasganon, alij antithesion, alij chascanon, alij chœradolethron, quasi strumarum perniciem; aliqui & aparinen vocant. Nascitur læto & pingui solo, itémque in paludibus exiccatis, caule cubitali, pingui, anguloso, & prodeuntibus ex eo alis compluribus: folia verò habet atriplicis, incisuras habentia, nasturtium odore imitantia: fructum teretem, grandis oliuæ instar, & platani pilularũ modo spinosum, qui quidem contactu vestibus adhærescit. Is antè collectus quàm perfectè siccescat, deinde tusus & fictili vase reconditus, flauos facit capillos: siquidem, cùm vsus exigit, eius sextarij semissem aqua tepida diluas, móxque eo caput nitro antè perfrictum illinas. Sunt & qui in vino tundant, itáque asseruent. Cæterùm fructus commodè quoque œdematis imponitur.

De AEgilope siue festuca. Cap. CXXXIX.

AEGILOPS herbula est folia tritici habens, sed molliora, & in summo capite semina suis inclusa folliculis bina ternáve rubra, è quibus aristæ veluti capillaceæ exeunt. Herba cum farina imposita sanat ægilopas, duritiásque discutit. Ad eadem succus cum farina permixtus siccatúsque reconditur.

A φυτεύεται δὲ ἐπ' ὠφελείᾳ προβάτων ἐν ταῖς μάνδραις· φύεται δὲ ἐν παλισκίοις καὶ ἑλώδεσι τόποις καὶ τοίχοις, ἐνίκμοις καὶ περὶ τὰς κρήνας. V. quidam hanc periodum non legit. Al. ἀχειρώδεσι

Περὶ Τριχομανοῦς. Κεφ. ρλζ'.

ΤΡΙΧΟΜΑΝΕΣ, οἱ δέ, καὶ τοῦτο ἀδίαντον καλοῦσι, φύεται κατὰ
B τοὺς αὐτοὺς τόπους, ὅμοιον πτέριδι, μικρὸν λίαν· στοιχηδὸν ἐξ ἑκατέρου μέρους τὰ φύλλα ἔχον λεπτά, φακοειδῆ, ἐναντία ἀλλήλοις, ἐπὶ ῥαβδίων λεπτῶν καὶ στιλπνῶν καὶ στρυφνῶν, ὑπομελάνων. δοκεῖ δὲ τὰ αὐτὰ δύνασθαι τῷ προειρημένῳ. Orib. μακρὸν, λεῖον.

C Περὶ Ξανθίου. Κεφ. ρλη'.

ΞΑΝΘΙΟΝ, οἱ δέ, φάσγανον, οἱ δὲ ἀντιθέσιον, οἱ δὲ χάσκανον. οἱ δέ, χοιραδολέθρον, οἱ δέ, καὶ τοῦτο ἀπαρίνην καλοῦσι. φύεται ἐν εὐγείοις τόποις καὶ λίμναις ἀνεξηρασμέναις. καυλὸν ἔχει πηχυαῖον, λιπαρόν, γωνιοειδῆ, καὶ V. caret. Al. γωνιώδη ἢ γωνιοειδῆ
D ἐπ' αὐτοῦ μασχάλας πλείονας. ἀτραφάξει δὲ τὰ φύλλα ἐμφερῆ ἔχει, ἐντομὰς ἔχοντα· καρδάμῳ δὲ τὴν ὀσμὴν παραπλήσια· καρπὸν δὲ στρογγύλον ὡς ἐλαίας μεγάλης, ἀκανθώδη ὡς πλατάνου σφαίρας, ἀντιλαμβανόμενον τῶν ἱματίων μετὰ τὴν ψαῦσιν. Δύναται δὲ ὁ Al. αἰζώδη
E καρπὸς πρὶν τελείως ξηρανθῆναι συλλεγεὶς καὶ κοπεὶς καὶ ἀποτεθεὶς εἰς κεραμεοῦν ἀγγεῖον, ξανθὰς τρίχας ποιεῖν. ἐάν τις ἐπὶ τῆς χρήσεως λαβὼν τρυβλίου πλῆθος ἐξ αὐτοῦ, διείς τε ὕδατι χλιαρῷ, καὶ προσκνιτρώσας τὴν κεφαλὴν καταπλάσῃ. τινὲς δὲ καὶ μετ' οἴνου κό-
F ψαντες αὐτό, ἀποτίθενται· καταπλάττεται δὲ καὶ πρὸς οἰδήματα ὁ καρπὸς ἐπιτηδείως.

Περὶ Αἰγίλωπος. Κεφ. ρλθ'.

ΑΙΓΙΛΩΨ βοτάνιόν ἐστι φύλλα πυρῷ ἔχον ὅμοια, μαλακώτερα δέ, ἐπ' ἄκρας δὲ τῆς κεφαλῆς καρποὺς ἔχον β'. V. γ ἢ δ' ὥστε
G ἢ γ'. ἐρυθρούς, ἐφ' ὧν ἀθέρες οἱονεὶ τρίχες ἐκπεφύκασι. θεραπεύει δὲ ἡ πόα μετὰ ἀλεύρου καταπλασθεῖσα αἰγίλωπα, καὶ σκληρίας διαφορεῖ. ἀποτίθεται δὲ ὁ χυλὸς πρὸς τὰ αὐτὰ μιγεὶς ἀλεύρῳ καὶ ξηρανθείς. V. subdit, διαφορητικὸν ἔχει δύναμιν· δοκεῖ δὲ ἐπὶ τοὺς χοίρους. θερμὸς γάρ ἐστι. V. caret.

Περὶ Βρώμου. Κεφ. ρμ'. A

ΒΡΩΜΟΣ πόα ἐστὶν Αἰγίλωπι ἐμφερής, δύναμιν ἔχουσα ἐπιξηραντικήν. ἀφεψηθεῖσα δὲ σὺν ταῖς ῥίζαις μεθ' ὕδατος, ἕως ἀποτελεσθῇ τὸ ἀπόζεμα, διυλίζων αὐτὸ ἐπίμισγε μέλι ποσοῦτον, καὶ ἕψε μέχρις ἂν σχῇ πάχος ὑγροῦ μέλιτος. καὶ ποιεῖ ἐπὶ τῶν ὀζαινικῶν, εἰ βρέχων ὀθόνιον προστιθῇς τῷ μυκτῆρι, καὶ καθ' ἑαυτὸ μὲν τι ποιεῖ οὕτως· ἔνιοι δὲ ἀλόην λεάναντες παραμίσγουσι, καὶ οὕτω χρῶνται. ποιεῖ δὲ καὶ μετὰ ῥόδων ξηρῶν ἀφεψηθεὶς σὺν οἴνῳ πρὸς τὰς τοῦ στόματος δυσωδίας. B

Περὶ Γλαυκός. Κεφ. ρμα'.

Sic v.c. itémque Ruellius: at vulg. exempl. αὐτῷ

Marc. τῷ γᾶς legendum censet.

succo referti: folia sunt circa ramulos oleaginis similia, sed longiora & angustiora: radix crassa lignosáque: in cauliū cacuminibus *coma iunci similium virgultorum, sub quibus caua quædā peluibus aut alueolis similia, ac in ijs semen. Nascitur in asperis & mōtosis. Succus lacteus per aluum pituitam bilémq; trahit, obolis binis in posca sumptis: at cū aqua mulsa, vomitiones etiam mouet. Circa vindemiā succus is congestis ramulis, mox dissectis, & in vas inclinatis, excipitur. Aliqui adiecta erui farina pastillos ex eo fingunt, qui erui magnitudinem impleant. Alij in ficos quę exiccantur, ternas quaternásve guttas instillāt, vt cum ijs inarescant, eiusmodíque ficos ad vsum recondūt. Sed & per se tritus in pila cogitur in pastillos, atque reponitur. Porrò qui succum colligit, minimè obuersum vento stare, aut oculis manus admouere oportet: quinimò antequam operi sese accingat, corpus, præsertímque faciem, collum scrotúmq; adipe aut oleo cum vino perungere. Quoniā verò fauces idem exasperat, catapotia quę ex eo concinnantur, cera aut decocto melle oblini, atque ita dari par est. Caricas verò binas ternásve soluēdæ alui gratia sumpsisse satis est. Recēs idem succus ex oleo illitos in sole capillos detrahit, renascētésque flauos & exiles efficit, tandémque omnes abolet. Dētium cauis inditus, eorum dolores leuat: sed cera dentes oblinendi, ne fortè præterlapsus is, fauces linguámve malè afficiat. Tollit & illitu myrmecias, pensiles verrucas & quæ thymi florem repræsentant, itémque lichenas. Valet idem aduersus pterygia, carbunculos, phagedænas, gangrænas atque fistulas. Legitur semē autumno, & siccatum sole leuiter tunditur, tandémque ab aceribus repurgatum loco mundò reponitur. Similiter & folia siccata reponuntur: quæ haud secus ac semen lactei succi effectum prębēt, dimidio acetabulo pota. Sunt qui ipsa inueterant, admisto etiam cū la-

coma iunci

A μεστοί· φύλλα δὲ περὶ τὰς ῥάβδους ὅμοια ἐλαίᾳ, μακρότερα δὲ καὶ στενότερα· ῥίζα ἁδρὰ καὶ ξυλώδης· ἐπ' ἄκρων δὲ τῶν καυλῶν κόμη σχοινοειδῶν ῥαβδίων, καὶ ὑπ' αὐτῶν ὑπόκοιλα ὅμοια πυέλοισιν, ἐν οἷς ὁ καρπός· φύεται ἐν τραχέσι καὶ ὀρεινοῖς τόποις. Δύναμιν δὲ ἔχει ὁ B ὀπὸς καθαρτικὴν τῆς κάτω κοιλίας ἄγων φλέγμα καὶ χολὴν ὀβολῶν β΄ πλῆθος λαμβανόμενος μετ' ὀξυκράτου· σὺν μελικράτῳ δὲ, καὶ ἔμετον κινεῖ. ὀπίζεται δὲ περὶ τὸν τρυγητὸν, συναχθεισῶν τῶν ῥάβδων καὶ ἀποτμηθεισῶν *ἐγκεκλεῖσθαι δὲ αὐτὰς δεῖ εἰς ἀγγεῖον. ἔνιοι C δὲ ὀρόβινον ἄλευρον μιγνύντες, συναναπλάσσουσιν ὀροβιαῖα μεγέθη. τινὲς δὲ εἰς τὰ ξηραινόμενα σῦκα ἀποστάζουσι σταλαγμοὺς γ΄ ἢ δ΄. καὶ ξηραίνοντες ἀποτίθενται. καθ' ἑαυτὸν δὲ τριβόμενος ἐν θυίᾳ ἀναπλάσσεται καὶ ἀποτίθεται. ἐν δὲ τῷ ὀπίζειν οὐ δεῖ κατὰ ἄνεμον ἵστα- D σθαι, οὐδὲ τὰς χεῖρας ἄγειν τοῖς ὀφθαλμοῖς· ἀλλὰ καὶ πρὸ τοῦ ὀπίζειν, τὸ σῶμα δεῖ χρίειν στέατι ἢ ἐλαίῳ μετ' οἴνου, καὶ μάλιστα πρόσωπον καὶ τράχηλον καὶ ὄρχεον. *τραχύνει δὲ καὶ τὴν φάρυγγα· ὅθεν δεῖ καταπότια περιπλάττειν κηρῷ ἢ μέλιτι ἑφθῷ, καὶ οὕτως διδόναι· ἰσχάδες E μέντοι δύο ἢ τρεῖς λαμβανόμεναι, αὐτάρκεις εἰσὶ πρὸς κάθαρσιν. ψιλοῖ δὲ καὶ τρίχας ὀπὸς πρόσφατος ἐπιχρισθεὶς μετ' ἐλαίου ἐν ἡλίῳ· καὶ τὰς ἐπιγινομένας δὲ ξανθὰς καὶ λεπτὰς ποιεῖ· καὶ τέλος ἐκφθείρει πάσας. ἐντίθεται δὲ καὶ τοῖς βρώμασι τῶν ὀδόντων, κουφίζων τὰ F ἀλγήματα· κηρῷ δὲ δεῖ τοὺς ὀδόντας ἐμπλάττειν, ἵνα μὴ παραρρυεὶς κακώσῃ τὴν φάρυγγα ἢ τὴν γλῶτταν. αἴρει δὲ καὶ μυρμηκίας καὶ ἀκροχορδόνας καὶ θύμους καὶ λειχῆνας ἐπιχριόμενος. ἁρμόζει καὶ πρὸς πτερύγια καὶ ἄνθρακας, φαγεδαίνας, γαγγραίνας, σύριγγας. καὶ ὁ καρπὸς δὲ φθι- G νοπώρῳ συλλεγεὶς, καὶ ξηρανθεὶς ἐν ἡλίῳ, κοπεὶς τε κούφως καὶ ἀποβρασθεὶς, καθαρὸς ἀποτίθεται. καὶ τὰ φύλλα ὁμοίως ξηρά. ποιεῖ δὲ καὶ ὁ καρπὸς καὶ τὰ φύλλα τὰ αὐτὰ τῷ ὀπῷ, πλῆθος ἡμίσεος ὀξυβάφου ποτιζόμενα. ἔνιοι δὲ καὶ ταριχεύουσιν αὐτὰ, μιγνύντες τῷ διὰ τοῦ γά-

Add. Laenna ex v.cod.

λακτος λεπιδίῳ, καὶ τυρῷ κοπτόμ. καὶ ἡ ῥίζα δὲ ἐπιπασθεῖσα < α. σὺν ὑδρομέλιτι καὶ ποθεῖσα, ἄγει κάτω κοιλίαν· ἑψηθεῖσα δὲ σὺν ὄξει καὶ διακλυζομένη, ὀδονταλγίας βοηθεῖ. A

Add. Lacuna ex v. cod. κεφαλαλγίας τε.

Περὶ τοῦ θήλεως.

Ὁ δὲ θῆλυς, ὃν ἔνιοι μυρσινίτην ἢ καρυίτην ἐκάλεσαν, προσεμφερὴς τῷ δαφνοειδεῖ τὴν φύσιν· καὶ τὰ φύλλα ὅμοια ἔχει μυρσίνῃ, μείζονα δὲ καὶ στερεὰ, ἐπ' ἄκρου ὀξέα καὶ ἀκανθώδη. κλήματα δὲ ἀπὸ τῆς ῥίζης σπιθαμιαῖα ἀφίησι· τὸν δὲ καρπὸν φέρει παρ' ἐνιαυτὸν, καρύῳ ὅμοιον, ἠσυχῆ δάκνοντα τὴν γλῶτταν. ἐν τραχέσι δὲ χωρίοις καὶ οὗτος φύεται. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς καὶ τὰ φύλλα ὁμοίαν τῷ περὶ αὐτοῦ· ἐμετικώτερος μέντοι ἐκεῖνος τούτου ἐστί. B C

Marc. legit, τῷ δαφνοειδεῖ τῇ [illegible] [illegible]

Lac. legit in vet. cod. [illegible]

Add. Lacuna ex v. cod. καὶ [illegible]. Sic & Orib.

Orib. [illegible]

Περὶ τοῦ παραλίου.

Ὁ δὲ παράλιος λεγόμενος τιθύμαλος, ὃν ἔνιοι τιθυμαλίδα ἢ μήκωνα ἐκάλεσαν· φύεται ἐν παραθαλασσίοις τόποις. κλῶνας δὲ ἔχει σπιθαμιαίους, ὀρθίους, ὑπερύθρους, ε ἢ ϛ. ἀπὸ τῆς ῥίζης, περὶ οὓς τὰ φύλλα στοιχηδὸν μικρὰ, ὑπόστενα, περιμήκη, ἐοικότα λίνου· κεφαλὴν δὲ ἐπ' ἄκρου περιφερῆ, ἐν ᾗ ὁ καρπὸς ὡς ὄροβος, ποικίλος, ἄνθη λευκά. ὅλος δὲ ὁ θάμνος καὶ ἡ ῥίζα, ὀποῦ λευκοῦ μεστή. καὶ τούτου χρῆσις καὶ ἀπόθεσις, ὁμοία ἐστὶ τοῖς προειρημένοις. D E

Sic v. c. Lacuna etiã legit ὀρθοὺς. Ita & Serapio, itémque Apul.

V. [illegible]

V. add. [illegible]. Sic etiã legũt Lacuna & Orib.

Orib. add. [illegible]

Περὶ τοῦ ἡλιοσκοπίου.

Ὁ δὲ ἡλιοσκόπιος λεγόμενος, ἀνδράχνῃ ὅμοια φύλλα ἔχει, λεπτότερα δὲ καὶ περιφερέστερα· κλῶνας δὲ ἀφίησιν ἀπὸ τῆς ῥίζης δ' ἢ ε. σπιθαμιαίους, λεπτοὺς καὶ ἐρυθροὺς, ὀποῦ λευκοῦ μεστοὺς πολλοῦ· κεφαλὴν δὲ ἀνηθοειδῆ· καὶ ὁ καρπὸς δὲ ὥσπερ ἐν * κεφαλίοις. συμπεριφέρεται δὲ τούτου ἡ κόμη τῇ τοῦ ἡλίου κλίσει. ὅθεν καὶ ὠνόμασται ἡλιοσκόπιος. ἐν ἐρειπίοις δὲ μάλιστα καὶ περὶ τὰς πόλεις φύεται. συλλέγεται δὲ ὁ ὀπὸς καὶ ὁ καρπὸς, ὥσπερ ἐπὶ τῶν ἄλλων. δύναμιν ἔχων τὴν αὐτὴν τοῖς προτέροις, ἀλλ' οὐχ οὕτως ἐπιτεταμένην. F G

V. φύλλοις.

ĉte lepidio, caſeóque contuſo. Sed & radix drachmæ pondere hydromeliti inſperſa potáque, per aluum purgat. Decocta eadem cum aceto, dentium doloribus auxiliatur, ſiquidem ea colluantur.

De Tithymalo fœmina.

Fœmina, quam myrſiniten aut caryiten vocarunt, ſimilis ſuapte natura daphnoidi: foliis myrti, ſed maioribus ac firmis, in ſummitate acutis, atque etiam aculeatis. Sarmenta mittit ab radice dodrantalia, fructúmque profert alternis annis nuci ſimilem, qui quidem leniter linguam mordet. Naſcitur & hic in aſperis. Succus lacteus, radix, ſemen & folia conſimilem antedicto ſortiuntur facultatem. Sed ille ad citandas vomitiones hoc ipſo efficacior.

De Paralio.

Tertij generis tithymalus Paralios vocatur, quem aliqui tithymalida aut mecona appellauere. Naſcitur in maritimis, ramis palmum altis, erectis, ſubrubentibus, quinis ſeníſve à radice exeuntibus: circa quos folia ſerie quadam digeſta, eáque parua, quadantenus anguſta, oblonga, & lini foliis ſimilia: capite in cacumine orbiculato, in quo ſemen erui ſimile, varium, flores albi. Frutex totus cum radice lacteo ſucco turget. Idem huius qui antedictorum vſus, ſimilitérque reponitur.

De Helioſcopio.

Qui Helioſcopius dicitur, folijs eſt portulacæ, attamen tenuioribus rotundioribúſque, ramulis ab radice quaternis aut quinis, dodrantali altitudine, tenuibus ac rubentibus, lactei ſucci copioſi plenis, capite anethi: ſemine velut inter folia locato. Comam cum ſole circumagit, ideóque Helioſcopij nomen accepit. Cæterùm in ruderibus potiſſimùm & circa oppida naſcitur. Colligitur ſemen ſuccúſque, vt & aliorum: nam & eædem quæ ſuperioribus vires, non tamen vſqueadeo validæ.

De Cyparißia.

Cyparissias caulem profert dodrantalem, aut etiam altiorem, subrubrum: ex quo folia pini similitudine pullulant, molliora tamen tenuioraq;: atque in totum nuper nascentem pinum æmulatur, vnde & cognomen traxit. Candido & hic succo refertus est, eique vis eadem, quæ superioribus.

De nascente in petris tithymalo, Dendroide nominato.

Qui verò in petris nascitur, Dendroides, quasi arborescens, cognominatus, foliosus est in cacumine, densámq; spargit comam, succo lacteo prægnans, subrubẽtibus ramis, folijs circum ipsa myrti tenuioris, semine characiæ. Eiusdem est effectus, cuius & antedicti, similiq; modo reconditur.

De Platyphyllo, seu latifolio.

Platyphyllos verbasco similis est. Radix succus & folia aquas per inferna trahunt. Pisces necat tusus aquaq; dilutus: id quod & antè memorata tithymalorum genera præstant.

De Pityusa. Cap. CLXVI.

PITYVSA, quam alij clema, alij crambion, alij paralion, alij denique canopicon vocant, à cyparissia tithymalo specie differre existimatur, ideoq; etiam in tithymali genere connumeratur. Caulem profert cubito altiorẽ, crebris geniculis interseptũ, foliolis acutis ac tenuibus circundatum, pini folia imitãtibus: flores exiguos penè purpureos: semen latum instar lẽticulæ: radicem candidam, crassam, lacteo succo refertam: quibusdã in locis frutex hic prægrãdis inuenitur. Purgat per inferna radix, drachmis duabus data in aqua mulsa: semẽ verò, drachma vna. At succi farina excepti cochlearium in catapotio datur; foliorum denique modus, drachmæ tres.

De Lathyride. Cap. CLXVII.

LATHYRIS, quam & aliqui tithymalon appellant, eámque tithymalorum numero ascribũt, caulẽ emittit cubiti altitudine & digiti crassitudine, inanem. Sunt porrò in ipsius cacumine alæ, & folia quidem in caule oblõga, amygdalinis

A Περὶ Κυπαρισσίου.

Ὁ δὲ Κυπαρισσίας, καυλὸν μὲν ἀνίησι σπιθαμιαῖον, ἢ καὶ μείζονα, ὑπέρυθρον ἐξ οὗ βεβλάστηκε τὰ φύλλα τοῖς τῆς πίτυος ὅμοια, τρυφερώτερα μέν τοι καὶ λεπτότερα· καὶ καθόλου ἔοικε πίτυϊ ἀρτιφυεῖ· ὅθεν καὶ ὠνόμασται. πεπλήρωται δὲ καὶ οὗτος V. add. καλάμου; V. non habet.

B ὀποῦ λευκοῦ. Δύναμιν δὲ ἔχει ὁμοίαν τοῖς πρὸ αὐτοῦ.

Περὶ τοῦ ἐν ταῖς πέτραις φυομένου. V. δενδρίτου.

Ὁ δὲ ἐν ταῖς πέτραις φυόμενος, δενδροειδὴς δὲ καλούμενος, ἀμφιλαφὴς ἄνωθεν καὶ πολύκομος, ὀποῦ μεστὸς, ὑπέρυθρος τοὺς κλάδους· περὶ οὓς τὰ φύλλα μυρσίνῃ λε- Al. κλωνοὺς. [uncertain]

C πτῇ προσεοικότα· καρπὸς δὲ ὅμοιος τῷ τοῦ χαρακίου. παραπλησίως δὲ καὶ οὗτος ἀποτίθεται, καὶ ἐνεργεῖ ὁμοίως τοῖς προειρημένοις. Al. ἀναιρεῖται. [uncertain]

Περὶ Πλατυφύλλου.

Ὁ δὲ πλατύφυλλος φλόμῳ ἔοικε. καὶ αὐτοῦ δὲ ἡ ῥίζα καὶ ὁ ὀπὸς καὶ τὰ φύλλα, ἄγει ὑδατώδη κατὰ κοιλίαν· ἀποκτείνει δὲ καὶ

D τοὺς ἰχθύας, κοπεὶς καὶ διεθεὶς τῷ ὕδατι· καὶ οἱ προαναγεγραμμένοι δὲ τὸ αὐτὸ δρῶσι.

Περὶ Πιτυούσης. Κεφ. ρξϛ'.

ΠΙΤΥΟΥΣΑ, οἱ δὲ, κλῆμα, οἱ δὲ, κραμβίον, οἱ δὲ, πάραλιον, οἱ δὲ, κανωπικὸν καλοῦσιν. εἴδει δοκεῖ διαφέρειν τοῦ κυπαρισσίου τιθυμάλου· ὅθεν καὶ εἶδος ἐν αὐτοῖς κα- Ald. add. δὲ

E ταριθμεῖται. ἀνίησι δὲ καυλὸν πήχεως μείζονα, πολυγόνατον, φυλλαρίοις ὀξέσι λεπτοῖς κατειλημμένον, ἐμφερέσι τοῖς τῆς πίτυος· ἄνθη μικρὰ, ὡσεὶ πορφυρᾶ· καρπὸν δὲ πλατὺν, ὡς φακόν· ῥίζαν λευκὴν, παχεῖαν, ὀποῦ μεστήν. εὑρίσκεται δὲ κατὰ τόπους σφόδρα εὐμεγέθης ὁ θάμνος. Καθαίρει δὲ κάτω ἡ Lacuna legit in v. cod. ἄνθη μικρὰ, λευκὰ, ὡς διαπόρφυρα. [uncertain]

F μὲν ῥίζα, < β'. ὁλκῇ δοθεῖσα σὺν μελικράτῳ· τοῦ δὲ καρποῦ α'. τοῦ δὲ ὀποῦ ὅσον V. caret.

κοχλιάριον, ἐν καταποτίῳ ἀναληφθέντος ἀλεύρῳ· τῶν δὲ φύλλων, ὁλκαὶ γ'.

Περὶ Λαθυρίδος. Κεφ. ρξζ'.

ΛΑΘΥΡΙΣ, οἱ δὲ, [καὶ ταύτην] τιθύμαλον καλοῦσι καταριθμοῦνταί τινες V. caret.

G καὶ αὐτὴν ἐν τοῖς τιθυμάλοις. καυλὸν ἀνίησι πήχεως τὸ ὕψος, κενὸν, πάχος δακτύλου· ἐπ' ἄκρου δὲ αὐτοῦ, μασχάλαι· φύλλα δὲ τὰ μὲν ἐπὶ τοῦ καυλοῦ, ἐπιμήκη, ὅμοια

A τοῖς τῆς ἀμυγδαλῆς, πλατύτερα δὲ καὶ λειότερα. τὰ δὲ ἐπ' ἄκρων τῶν κλωνίων, μικρότερα, ὥσπερ ἀριστολοχίας ἢ κισσοῦ τῆς ἐπιμήκους. καρπὸν δὲ ἔχει ἐπ' ἄκρων τῶν κλάδων τρίχωρον, περιφερῆ ὥσπερ κάππαριν, ἐν ᾧ τρία σπέρματα διειργόμενα ἐλύτροις ἀπ' ἀλλήλων, B περιφερῆ, μείζονα ὀρόβων· λεπισθέντα δὲ, λευκὰ καὶ γλυκέα ἐν τῇ γεύσει. ῥίζα λεπτὴ καὶ λευκὴ ἄχρηστος. ὅλος δὲ ὁ θάμνος ὀποῦ μεστὸς ὥσπερ τιθύμαλος. Δύναμιν δὲ ἔχει καθαρτικὴν κοιλίας τὰ σπέρματα, ὅσον ζ' ἢ η' τὸν ἀριθμὸν λαμβανόμενα ἐν καταποτίῳ, ἢ ἐσθιόμενα καὶ C καταπινόμενα [μετὰ ἰσχάδων ἢ φοινίκων,] ὕδατος ψυχροῦ ἐπιρροφουμένου. ἄγει δὲ φλέγμα καὶ χολὴν καὶ ὕδωρ. καὶ ὁ ὀπὸς ἀναληφθεὶς ὥσπερ ὁ τοῦ τιθυμάλου, τὸ αὐτὸ ποιεῖ. συνέψεται δὲ καὶ ὄρνιθι ἢ λαχάνοις τὰ φύλλα πρὸς τὴν αὐτὴν ἐνέργειαν.

V. caret. Ald. Lac. ex v. cod. καὶ λεπτότερα Ald. μακρότερα, atque ita Marc. & Corn. V. quidam τρίχωρον. V. ἐρυθρά. Sic Lac. ex vet. cod. V. caret.

Περὶ Πέπλου. Κεφ. ρξη'.

D ΠΕΠΛΟΣ, οἱ δὲ, συκῆν, οἱ δὲ, μήκωνα ἀφρώδη καλοῦσι, θαμνίσκος ἐστὶν ὀποῦ λευκοῦ μεστὸς, ἔχων φύλλον μικρὸν, ὅμοιον πηγάνῳ, πλατύτερον δέ· ἡ δὲ σύμπασα κόμη ὡς σπιθαμῆς, περιφερὴς, ἐκκεχυμένη ἐπὶ τῆς γῆς. καὶ ὑπὸ τοῖς φύλλοις καρπὸς μικρὸς, στρογγύλος, ἥττων τῆς E λευκῆς μήκωνος· πολύχρηστος δὲ ἡ πόα, ῥίζαν ἔχουσα μίαν ἄχρηστον, ἀφ' ἧς ὅλος ὁ θάμνος πέφυκε· γεννᾶται δὲ ἐν κήποις καὶ ἀμπελῶσι. Συνάγεται ἐν πυραμητῷ ξηραινομένη ἐν σκιᾷ, καὶ συνεχῶς στρεφομένη. ἀποτίθεται δὲ ὁ καρπὸς κοπεὶς καὶ ἀποβρασθείς. ἄγει δὲ φλέγμα καὶ χολὴν ὀ- F ξυβάφου πλῆθος, μετὰ ὑδρομέλιτος κοτύλης πινόμενος· καὶ ἐν προσοψήμασι δὲ μιγνύμενος, ταράσσει τὴν κοιλίαν. ταριχεύεται δὲ εἰς ἁλμαίας.

Lac. legit in vet. cod. ἐπὶ τοῖς φύλλοις. Haec omnia vet. cod. peplidi tribuit. V. αὐτὸς. Vulg. exempl. κυάθου.

Περὶ Πεπλίδος. Κεφ. ρξθ'.

ΠΕΠΛΙΣ, οἱ δὲ, ἀνδράχνην ἀγρίαν, Ἱπποκράτης δὲ πέπλιον καλεῖ· φύ- G εται μάλιστα ἐν παραθαλασσίοις τόποις, θάμνος ἀμφιλαφὴς, ὀποῦ μεστὸς λευκοῦ· φύλλα ἔχων ὅμοια τῇ κηπαίᾳ ἀνδράχνῃ, περιφερῆ δὲ καὶ ἐκ τῶν κάτω ἔχοντα

V. κάτωθεν

proxima, sed latiora & læuiora: quæ verò in summis exeunt ramulis, minora conspiciũtur, aristolochiæ aut hederæ oblongæ figura. In summis autem surculis fructum gerit triplici loculamento distinctum, rotundum ceu capparim: in quo tria sunt minuta semina incursantibus tuniculis inter se discreta, eruis maiora, quæque decorticata candida sunt, & gustu dulcia. Radix tenuis & candida, nullius vsus: totus verò frutex lacteo succo turget, vti tithymalus. Aluum purgant grana septé octóve in catapotio sumpta, vel esitata, & cum caricis palmulísve deuorata: sed aqua frigida posteà sorbeatur. Trahũt autem pituitam, bilem & aquas. Succus tithymalini modo exceptus, eundem effectum præbet. Cum gallinaceo etiam aut oleribus folia decoquuntur in eosdem vsus.

De Peplo. Cap. CLXVIII.

PEPLON, alij sycen, alij papauer spumeum appellãt: exiguus frutex est, lactei succi plenus, folio paruo ceu rutæ, at latiore: vniuersa coma ferè dodrantali, rotunda, humi sparsa: semine sub folijs paruo, rotundo, minore quàm candidi papaueris. Herba multiplicis est vsus, at radicem habet vnicam, eámque superuacuam, è qua totus frutex erumpit. Nascitur in hortis ac inter vites. Colligitur messibus, ac siccatur in vmbra, crebróque versatur. Semen verò tusum repurgatúmque reconditur. Bilis ac pituita detrahitur, acetabulo eius in hydromelitis hemina poto: obsonijs admistum, conturbat aluum. Muria quoque conditur, itáque asseruatur.

De Peplide. Cap. CLXIX.

PEPLIS, quam vocant aliqui syluestrem portulacam, Hippocrates peplion, in maritimis maximè nascitur. Frutex verò est ramulos quoquouersum expandens, & candidi succi plenus, folijs hortensis portulacæ, rotundis, & infernè

vel in latitudinem sese diffundens

rubentibus: ſemine ſub folijs rotundo, ceu pepli, feruente guſtu: radice tenui, ſingulari ac ſuperuacua. Colligi, reponi, darique vti peplus, itidémque condiri ſolet: ac eaſdem quoque vires habet.

De Chamæſyce. Cap. CLXX.

CHAMÆSYCE, quã aliqui Sycen nominant, ramos emittit quaternûm digitorum, per terram ſtratos, teretes, lactei ſucci plenos: folia létis figura, peplo ſimilia, parua, tenuia ac terrę inhærentia: ſemẽ ſub folijs rotundum, ceu pepli: radicem tenuẽ ac ſuperuacuam: ſed neque florem, neque caulem promit. Rami ex vino triti & in peſſo appoſiti, vuluę dolores ſedant: œdemata verò, péſiles verrucas & myrmecias illiti tollunt. Elixi autem ſi comedantur, aluum ſoluũt. Sed & eorundem ſuccus ſimili effectu prodeſt: prætereaq; illitus, aduerſus ſcorpionis ictum auxiliatur. Valet & cõtra oculorum hebetem aciem, itemq; caliginẽ, incipientes ſuffuſiones, cicatrices ac nubeculas, cũ melle inunctus. Cæterùm in petroſis aridiſque naſcitur.

De Scammonia. Cap. CLXXI.

SCAMMONIA ramos ab vna radice multos profert, ternûm cubitorum, pingues & quadantenus hirſutos: folijs itidẽ hirſutis, helxinę (ciſſampeli) aut hederæ ſimilib⁹, ſed mollioribus ac triangulis: floribus albis, rotundis, in modum calathorum concauis & graueolẽtibus: radice prælonga, craſſitudine brachiali, candida & grauis odoris, lacteiq; ſucci plena, qui quidẽ legitur hunc in modũ: capite exempto radix ita cultro incauatur, vt excauatio ſenſim à latiore orbe in acutum deſinat, proindéq; in id cauũ confluit ſuccus, qui conchis demum excipitur. Alij poſtquam ſcrobes in terra concamerato ſinu effoderunt, iuglandum folia inſternunt, in quæ radicis inciſæ ſuccus diffundatur, eúmq; inibi ſiccatũ tandẽ auferunt. Bonitate præſtat qui pellucidus eſt ac leuis, rarus & colore glutini taurino ſimilis, rimulis fiſtulíſve tenuibus, atque fungoſus, qualis ſcilicet ex Myſia regione Aſiæ

A ἐνερευθές· καὶ ὁ καρπὸς δὲ στρογγύλος ὑποκάτω τῶν φύλλων, ὥσπερ τοῦ πέπλου, πυρώδης τῇ γεύσει. ῥίζα λεπτή, μία, ἄχρηστος. συλλέγεται δὲ καὶ ἀποτίθεται, καὶ δίδοται ὥσπερ ὁ πέπλος, καὶ ταριχεύεται. Δύναμιν δὲ ἔχει τὴν αὐτήν. Quidam manuſcriptus addit, πλὴν δριμυτέραν.

Περὶ Χαμαισύκης. Κεφ. ρο'.

B ΧΑΜΑΙΣΥΚΗΝ, οἱ δὲ, συκὴν καλοῦσι, κλῶνας ἀνίησι τετραδακτύλους, ἐπὶ γῆς ἐρριμμένους, περιφερεῖς, ὀποῦ μεστούς· φύλλα φακοειδῆ, τῷ πέπλῳ ὅμοια, μικρά, λεπτά, πρὸς τῇ γῇ· καρπὸς δὲ ὑπὸ τοῖς φύλλοις στρογγύλος, ὡς πέπλου· οὔτε δὲ ἄνθος, οὔτε καυλὸν ἔχει· ῥίζαν λεπτὴν καὶ C ἄχρηστον. Δύναμιν δὲ ἔχουσιν οἱ κλῶνες λεανθέντες σὺν οἴνῳ, τὰς περὶ μήτραν ὀδύνας παύειν, ἀλλὰ πεσσοῦ προστεθέντες· καταπλασσόμενοι δὲ, οἰδήματα καὶ ἀκροχορδόνας καὶ μυρμηκίας αἴρουσιν· ἑφθοὶ δὲ ἐσθιόμενοι, κοιλίας ἐκλύουσι. καὶ ὁ ἐξ αὐτῶν δὲ ὀπὸς τὰ αὐτὰ δρᾷ. καὶ κατα- D χριόμενος, σκορπίου πληγῇ βοηθεῖ· ἁρμόζει καὶ πρὸς ἀμβλυωπίαν καὶ ἀχλύν, καὶ ἀρχομένας ὑποχύσεις, οὐλάς, νεφέλια, σὺν μέλιτι ἐγχριόμενος. φύεται ἐν πετρώδεσι καὶ αὐχμηροῖς τόποις.

Περὶ Σκαμμωνίας. Κεφ. ροα'.

ΣΚΑΜΜΩΝΙΑ κλῶνας ἀνίησι πολλούς, E ἀπὸ μιᾶς ῥίζης τριπήχεις, λιπαρούς, ἐμφαίνοντάς τι *δασύτητος· καὶ τὰ φύλλα δὲ δασέα, ὅμοια ἑλξίνῃ ἢ κιττῷ, μαλακώτερα μέντοι καὶ τριγωνοειδῆ· ἄνθη λευκά, περιφερῆ, κοῖλα ὡς * καλάθοι, βαρύοσμα· ῥίζα δὲ *εὐμήκης, παχεῖα ὅσον βραχίων, λευκή, βαρύοσμος, ὀποῦ μεστή. F Συλλέγεται δὲ ὁ ὀπός, τῆς κεφαλῆς ἀπὸ τῆς ῥίζης ἀφαιρουμένης, καὶ *θολοειδῶς τεμνομένης εἰς κοιλότητα. συρρεῖ γὰρ εἰς αὐτὴν ὁ ὀπός, καὶ οὕτως ἀναλαμβάνεται εἰς κόγχας. ἔνιοι δὲ τὴν γῆν ὀρύξαντες *θολοειδῶς, καρύας φύλλα ὑποθέντες, καταχέουσι τὸν ὀπόν, καὶ οὕτω ξηρανθέντα ἀναιροῦν- G ται. ἔστι δὲ καλὸς ὁ διαυγὴς καὶ κοῦφος, ἀραιός, ταυροκολλώδης τὴν χρόαν, *σήραγγας ἔχων λεπτάς, *σφογγώδης. τοιοῦτος δέ ἐστιν ὁ ἐκ Μυσίας τῆς κατὰ τὴν Ἀσίαν

Orib. τριῶν ἢ τεσσάρας.
V. add. ἢ τετραπήχεις. Sic & Orib.
V. quidã καλαμίσκοι.
Orib. ὑπομήκης
V. [illegible]
Add. Lacuna ex v. cod. καὶ τὴν ῥίζαν κόψαντες θολοειδῶς. Orib. θολοειδῶς, i. more turris instar.
V. ῥοαί.
V. ξηρὰς ἔχων λεπίδας.
Forte σπογγώδης

Lac. legit in vet. cod. γλυκαίνεσθαι

Lac. legit ex v. cod. μετὰ πισσάνης σησάμου, ἢ τίνος ἄλλου σπέρματος λαμβανόμενοι.

Goup. in altero cod. ἁλὸς, sed vulgatam lectionem meliorem censet.

χρωματιζόμενος. μὴ προσέχειν δὲ μόνον τῷ λευκαίνεσθαι αὐτὸν κατὰ τὴν τῆς γλώττης θίξιν, (τοῦτο γὰρ γίνεται καὶ παραμιχθέντος αὐτῷ ὀποῦ τιθυμάλλου.) μᾶλλον δὲ τοῖς προειρημένοις. καὶ τῷ μὴ λίαν πυροῦν τὴν γλῶσσαν, ὅπερ γίνεται τιθυμάλλου μιχθέντος. ὁ δὲ Συριακὸς καὶ ὁ ἐν Ἰουδαίᾳ γινόμενος, χείριστοι, βαρεῖς, πυκνοί, δολούμενοι τιθυμάλλῳ καὶ ὀροβίνῳ ἀλεύρῳ. Δύναμιν δὲ ἔχει ὁ ὀπὸς ληφθεὶς σὺν μελικράτῳ ἢ ὕδατι πλῆθος < ἢ τετρωβόλου, καθαίρειν κάτω χολὴν καὶ φλέγμα· εἰς δὲ τὸ λῦσαι τὴν κοιλίαν, ἀρκέσουσιν ὀβολοὶ β΄. μετὰ σησάμου ἢ τινὸς ἄλλου σπέρματος λαμβανόμενοι. δίδοται καὶ πρὸς ἐνεργεστέραν κάθαρσιν τοῦ μὲν ὀποῦ τριώβολον, ἐλλεβόρου δὲ μέλανος ὀβολοὶ β΄. καὶ ἀλόης < α΄. σκευάζονται δὲ καὶ ἅλες καθαρτικοί, πρὸς κυάθοις ς΄. τῶν ἁλῶν, ὁλκῶν κ΄. τῆς σκαμμωνίας τοῦ ὀποῦ μιγνυμένου. λαμβάνεται δὲ πρὸς δύναμιν τὸ μὲν τέλειον, τρία κοχλιάρια· μέσον δέ, β΄· τὸ δὲ ἐλάχιστον, α΄. καθαίρει δὲ καὶ τῆς ῥίζης < α΄. ἢ β΄. σὺν οἷς εἴρηται. ἔνιοι δὲ ἀφέψοντες αὐτὴν, πίνουσι. συνεψηθεῖσα δὲ ὄξει καὶ λειανθεῖσα μετὰ ἀλεύρου κριθίνου, ἰσχιαδικῶν ἐστὶ κατάπλασμα. ὁ δὲ ὀπὸς προστιθέμενος ἐν ἐρίῳ τῇ μήτρᾳ, ἔμβρυα φθείρει· διαφορεῖ δὲ καὶ φύματα, σὺν μέλιτι ἢ ἐλαίῳ καταχριόμενος· ἑψηθεὶς δὲ ἐν ὄξει καὶ καταχρισθεὶς, λέπρας ἐξάγει· κεφαλαλγίας τε χρονίας ἐστὶν ἐπίβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ.

Περὶ Χαμελαίας. Κεφ. ροβ΄.

Χαμελαία, οἱ δὲ, πυρὸς ἄχνη ἢ ἄκνηστος, οἱ δὲ, κόκκος Κνίδιος· κλῶνας μὲν ἔχει σπιθαμιαίους· ὁ δὲ θάμνος φρυγανώδης· φύλλα ἔχει ἐλαίᾳ παραπλήσια, λεπτότερα δὲ καὶ πυκνά, καὶ πικρά, δάκνοντα τὴν γεῦσιν, καὶ χαράττοντα τὴν ἀρτηρίαν. Ταύτης τὰ φύλλα κάτω καθαίρει φλέγμα καὶ χολήν, μάλιστα ἐν καταποτίῳ λαμβανόμενα· μιγνυμένου διπλασίονος ἀψινθίου πρὸς ἓν μέρος τῆς χαμελαίας. ἀναλαμβάνεται δὲ ὕδατι ἢ μέλιτι εἰς καταπότιον

deportatur. Neq; verò in probatione animaduertere solùm par est, vtrú linguæ tactu albescat:(hoc enim euenit etiam admisto tithymali succo) sed longè magis anteà commemoratis attendendum est: itemq; si non vehementer linguam excalfaciat exurátve: id quod & misti tithymali argumentum est. Natione autē Syriacus & Iudaicus deterrimi habētur, graues, densi, erui farina & tithymalo adulterati. Succus drachmæ vnius aut quaternûm oboloru pondere haustus ex aqua pura aut mulsa, per inferna bilem pituitámque extrahit. Soluendæ alui gratia, binos obolos cum sesama alióve semine sumpsisse sat est. Efficacioris etiam purgationis causa dantur succi tres oboli, cum veratri nigri duobus, & aloës drachma vna. Fiunt & purgatorij sales, drachmis viginti succi scammoniæ in senos salis cyathos adiectis. Horum modus proportione virium : integer quidē, cochlearia tria: medius, duo: minimus, vnum. Purgat & radicis drachma vna aut altera cum iis quę retulimus. Ipsius quoque decoctum nonnulli ebibunt. Ex eadē decocta in aceto cōtritáque cú hordeacea farina, cataplasma fit ischiadicis vtile. Succus autē vuluę appositus in lana, partus enecat: tubercula quoq; discutit, cú melle oleóve perúctus. Eodē decocto in aceto illitę leprę auferuntur. Sed & eodem caput contra diuturnum dolorem ex aceto & rosaceo irrigatur.

Pl. vngitur

De Chamelaa. Cap. CLXXII.

CHAMELÆA, quá alij pyros achnen seu acneston, alij coccon Cnidion appellant, frutex est è cremiorum genere, ramis dodrantalibus, folijs oleæ similitudinem habentibus, at tenuioribus, densis & amaris, quæ gustata linguam mordent & arteriam abradunt. Huius folia per inferna pituitam bilémque detrahunt, maximéque si in catapotio assumantur. Vni siquidem chamelææ parti duplum absinthij adiicitur, ex hísque aqua aut melle exceptis catapotia fingūtur:

Al. ὑδρομέλιτι εἰς

& ea

& ea quidem in ventre non liquescunt conficiunturve: sed prout deuorata fuerint, ita per aluum eguntur. Cæterùm folijs tritis melléque exceptis vlcera sordida crustosaque purgantur.

De Thymelæa. Cap. CLXXIII.

ETHYMELÆA, quam aliqui chamelæá, alij pyrosáchnen seu cnestron aut cneoron vocant, granum Gnidium, quod ipsius semé est, colligitur. Hoc EVboenses Ætolium, Syri Apolinum, alij Linum vocant, quoniam frutex suapte natura satiui lini similitudinem referat. Virgas edit speciosas, numerosas, tenues, ac fermè binûm cubitorum altitudine: folijs chamelææ, sed angustioribus & pinguioribus, quæ inter mandendum quadantenus viscosa & glutinosa percipiuntur: floribus candidis, ac inter ipsos fructu ceu myrti paruo, rotundo, inter initia quidem viridi, tandem verò rubente: cuius inuolucrum durum ac nigrum est, medulla autem alba. Per inferna bilem, pituitam aquasque detrahit viginti granorum pars hæc interna bibita, verùm fauces adurit: atque ideò cum farina polentáve, aut in vuæ acino dari debet, aut cocto melle obducta deuorari. Quibus autem ægrè sudores eliciuntur, eadem trita cum nitro & aceto inungitur. At folia, quæ peculiariter Cneoron appellantur, per messes colligi debent, & siccata in vmbra recondi. Sed si cui exhibere placet, priùs ea tundere, ac ipsorum quoque fibras eximere conuenit. Vino diluto inspersa, acetabuli modo aquosa detrahunt: sed moderatiùs purgant, admista lenti coctæ & contritis oleribus. Eadem trita vuæ acerbæ succo excipiuntur, & in pastillos coacta reponuntur. Herba stomacho infesta: partus subdita necat. Nascitur in montosis & asperis. Hallucinantur porrò qui granum Gnidium Chamelææ fructum esse existimant, decepti quadam foliorum similitudine.

De Sambuco. Cap. CLXXIIII.

SAMBVCI duo genera: ac vnum quidé in arboré assurgit, surculos spargés arúdinaceos, teretes, quadátenus cauos, cádicátes, prælógos: folia terna quaternáve ex interuallis

A ἔστι δὲ ἄπεπτα· διαχωρεῖται γὰρ ὅσα λαμβάνεται. ἀναλαμβανόμενα λεῖα τὰ φύλλα μετὰ μέλιτος, ἀνακαθαίρει τὰ ῥυπαρὰ ἕλκη καὶ ἐσχαρωμένα. [Ald. & Bas. V. ἄπεπτα. V. διαχωρεῖ γὰρ ὅσα λαμβ.]

Περὶ Θυμελαίας. Κεφ. ρογ'.

ΘΥΜΕΛΑΙΑ, οἱ δὲ, χαμέλαιαν, οἱ δὲ, πυρὸς ἄχνην, ἢ * κνέστρον ἢ κνέωρον καλοῦσιν. ἐκ ταύτης ὁ Κνίδιος κόκκος καρπὸς ὢν συλλέγεται. οἱ ΕΥβοεῖς μὲν ΑΙτώλιον· Σύροι δὲ Ἀπόλινον καλοῦσιν, οἱ δὲ, Λῖνον, διὰ τὸ εἶναι τὸν σπαρτὸν λίνῳ θάμνον τῇ φύσει παρόμοιον. [Ista inserit v. codex.] ῥάβδους δὲ ἀνίησι καλὰς καὶ πολλὰς, * λεπτὰς, ὅσον διπήχεις· [Hanc vocem addit v. cod.] τὰ δὲ φύλλα χαμελαίᾳ ὅμοια, πλὴν στενώτερα καὶ λιπαρώτερα, ὑπόγλισχρα ἐν τῷ διαμασᾶσθαι, καὶ κολλώδη· ἄνθη λευκά· καὶ μεταξὺ * αὐτῶν ὁ καρπὸς, ὡς μύρτον μικρὸς, στρογγύλος, ἐν ἀρχῇ μὲν χλωρὸς, αὖθις δὲ ἐρυθρός· τὸ δὲ περικάρπιον σκληρὸν καὶ μέλαν, τὸ δ' ἐντὸς, λευκόν. ὅσπερ καθαίρει κάτω χολὴν καὶ φλέγμα καὶ ὕδωρ, ὅσον κ'. κόκκοι τὸ ἐντὸς ποθέν· καίει δὲ τὴν φάρυγγα. διὸ μετὰ ἀλεύρου ἢ ἀλφίτου δοτέον, ἢ ἐν ῥαγὶ σταφυλῆς, ἢ μέλιτι ἑφθῷ περιειλημμένον καταπιεῖν. συγχρίεται δὲ καὶ τοῖς δυσιδρώτοις, λεῖον μετὰ νίτρου καὶ ὄξους. τὰ δὲ φύλλα, ἅπερ ἰδίως καλεῖται κνέωρον, συλλέγεσθαι δεῖ περὶ τὸν πυραμητὸν, καὶ ἀποτίθεσθαι ξηράναντας ἐν σκιᾷ. διδόντας δὲ δεῖ κόπτειν, καὶ ἀφαιρεῖν τὰς ἐν αὐτοῖς ἶνας. καθαίρει δὲ * ἐπιπλασσόμενον ὅσον ὀξυβάφου πλῆθος μετὰ κράματος, ἄγον ὑδατώδη· μετριωτέραν δὲ ποιεῖ τὴν κάθαρσιν μιχθὲν ἑφθῇ φακῇ καὶ λαχάνοις πεπτοῖς. [Sunt qui legant [illegible]. Plerique [illegible] videntur legisse.] ἀποτίθεται δὲ λεῖα ἀναληφθέντα ὄμφακος χυλῷ εἰς ἀρτίσκους. ἔστι δὲ κακοστόμαχος ἡ βοτάνη· προστεθεῖσα δὲ, ἔμβρυα κτείνει. φύεται ἐν ὀρεινοῖς καὶ τραχέσι τόποις. Πλανῶνται δὲ νομίζοντες τὸν Κνίδιον κόκκον τῆς χαμελαίας εἶναι καρπὸν, ἀπατώμενοι διὰ τὸ τῶν φύλλων ὁμοειδές.

Περὶ Ακτῆς. Κεφ. ροδ'.

ΑΚΤΗ διοττή ἐστιν· ἡ μὲν γάρ τις ἐστὶ δενδρώδης, κλάδους καλαμοειδεῖς ἔχουσα, στρογγύλους, ὑποκοίλους, * ὑπολεύκους, εὐμήκεις· τὰ φύλλα γ' ἢ δ'. ἐκ διαστημάτων [V. [illegible]] [illegible]

περὶ τὴν ῥάβδον, καρύᾳ βασιλικῇ ὅμοια, A
βαρύοσμά τε καὶ τμητικώτερα· ἐπ᾽ ἄκρων δὲ τῶν κλάδων ἢ τῶν καυλῶν, σκιάδια περιφερῆ, ἔχοντα ἄνθη λευκά· καρπὸν δὲ ἐοικότα τερμίνθῳ, ἐν τῷ μέλανι ὑποπόρφυρον, βοτρυώδη, πολύχυλον, οἰνώδη.

Lac. ex v. c. βαρύοσμα δὲ καὶ πικρότερα. Cor. πικρότερα. Or. μακρότερα.

Al. τερμίνθῳ & v. κορύμβῳ. V. βοτρυοειδῆ. V. addit καὶ ὅλως αὐτοδυνάμει καὶ φαρμακώδη.

Περὶ Χαμαιάκτης. Κεφ. ροέ. B

Τὸ δὲ ἕτερον αὐτῆς, χαμαιάκτη καλεῖται· αὕτη χαμαιπετὴς οὖσα, ἐλάσσων ἐστὶ καὶ βοτανωδεστέρα, καυλὸν ἔχουσα τετράγωνον καὶ πολυγόνατον· τὰ δὲ φύλλα ἐκ διαστημάτων περὶ ἕκαστον γόνυ τετάρτα σωρευμένα, ὅμοια ἀμυγδαλῇ, κεχαραγμένα δὲ κύκλῳ καὶ μακρότερα, βαρύοσμα· σκιάδιον δὲ ἐπ᾽ ἄκρου ὅμοιον τῇ προειρημένῃ αὐτῆς ἔχουσα, καὶ ἄνθος καὶ καρπόν· ῥίζα δ᾽ ὕπεστι μακρά, δακτύλου πάχος. Δύναμις δὲ ἡ αὐτὴ ἀμφοτέραις καὶ χρῆσις, ξηραντική, ὑδραγωγός, κακοστόμαχος μέντοι· ἑψόμενα δὲ τὰ φύλλα ὡς λάχανα, καθαίρει φλέγμα καὶ χολήν. καὶ οἱ καυλοὶ δὲ ἁπαλοὶ ἐν λοπάδι ἑφθέντες, τὰ αὐτὰ ποιοῦσιν. ἡ ῥίζα δὲ αὐτῆς ἀφεψηθεῖσα σὺν οἴνῳ καὶ διδομένη παρὰ τὴν δίαιταν, ὑδρωπικοὺς ὠφελεῖ· βοηθεῖ καὶ ἐχιοδήκτοις ὁμοίως πινομένη· ἀφεψηθεῖσα δὲ μεθ᾽ ὕδατος εἰς ἐγκάθισμα, μαλάσσει ὑστέραν καὶ ἀναστομοῖ, καὶ διορθοῦται τὰς περὶ αὐτὴν διαθέσεις. καὶ ὁ καρπὸς δὲ σὺν οἴνῳ ποθεὶς, τὰ αὐτὰ ποιεῖ· μελαίνει δὲ καὶ τρίχας ἐγχριόμενος· τὰ δὲ φύλλα πρόσφατα καὶ ἁπαλά, φλεγμονὰς πραΰνει μετ᾽ ἀλφίτων καταπλαττόμενα· ἐπὶ κατακαύμασιν ἁρμόζει καὶ κυνοδήκτοις, καταπλασσόμενα. κολλᾷ δὲ ὑποφορὰς, καὶ ποδαγρικοῖς βοηθεῖ, μετὰ στέατος ταυρείου ἢ τραγείου καταπλασσόμενα.

Additur aliâs, ψυκτική.

Lacuna add. ex v. cod. καὶ ἐσθιόμενα.

Ald. λεφθέντες

V. ὀφλεγμονὰς

Περὶ Πυκνοκόμου. Κεφ. ροϛ΄.

ΠΥΚΝΟΚΟΜΟΝ φύλλα ἔχει ὅμοια εὐζώμῳ, τραχέα δὲ καὶ παχέα καὶ δριμύτερα· καυλὸν τετράγωνον· ἄνθος δὲ τῷ τοῦ ὠκίμου ἐμφερές· καρπὸν δὲ, ὡς πράσιου· ῥίζαν μέλαιναν, στρογγύλην, ὠχράν, ὡς μικρὸν μῆλον, γεώδες ὄζουσαν· φύεται ἐν πετρώδεσι τόποις. Δύναμιν δὲ ἔχει ὁ καρπὸς ποθεὶς ὅσον < α΄ πλῆθος, ταραχώδη τε καὶ ἐνύπνια ποιεῖν· διαφορεῖ δὲ καὶ οἰδήματα ἐπιπλαττόμενος σὺν ἀλφίτῳ, καὶ ἀκίδας

Al. addit. δ περὶ κόμου.

Lacuna addit ex v. cod. μακρότερα

Lac. ex v. c. πράσιου. Sic etiam Orib.

Al. μακρὸν, G

V. πτινά

circa virgas singulas exeunt, nucis iuglandis foliorũ similitudine, graueolentia, magísque incisa: in summis autem surculis cauliculísve vmbellæ sunt circinatæ rotunditatis, in quibus flores candidi, tandémque fructus terebinthino similis, ex nigro purpurascens, racemosus, succosus, vinosúsque.

De Chamaacte, seu humili sambuco.
Cap. CLXXV.

Alterum genus Ebulus, Græcis Chamæacte vocatur, ídque humile ac longè breuius, & ad genus herbaceũ propiùs accedens, caule quadrangulo, crebris distincto geniculis: foliis per interualla circa singula C genicula vtrinque expansis, iísque amygdalinis, at in ambitu serratis, longioribúsque & graui odore: in cacumine verò vmbella, flore ac fructu sambuci: radice nititur lõga, crassitudine digitali. Eadem vtrique vis & vsus, exiccans nimirum & aquas aluo detrahens: at stomachum offendunt. Folia olerum more cocta, D pituitam bilémque purgant. Sed & caules teneri in patinis cocti, eadẽ præstant. Radix in vino decocta & in cibis data, hydropicos adiuuat. Prodest & contra viperarum morsus, eodem pota modo. Decocta verò ex aqua ad insessum, vuluam emollit, eiúsque spiracula patefacit, ac ipsius denique vitia emendat. E Acini in vino poti, eundem præbent effectum: denigrant & capillos inuncti. At folia recentia molliáque illita ex polenta, inflãmationes mitigant: ambustis & canum morsibus illitu prosunt. Vlcera verò sinuosa glutinant, & iis qui podagra tentantur cum seuo taurino aut hircino illita prosunt.

F *De Pycnocomo. Cap. CLXXVI.*

PYCNOCOMON folia habet erucæ, sed aspera, crassa, acrioráque: caulẽ quadrangulũ, florẽ ocimi: semẽ marrubij: radicẽ nigrã, rotundã (intus) pallidam, exigui mali figura, terrã olentẽ. Nascitur in saxosis locis. Semen tumultuosa grauiaq; somnia facit, vna drachma potũ. Discutit & œdemata, impositũ cum polenta: necnon & spicula & adactos

Intus ochra gl.

corpori aculeos extrahit. Imposita quoque folia, tubercula furunculósque discutiunt. Cæterùm radix eius in aqua mulsa drachmarum duarũ pondere, aluum soluit & bilem exinanit.

A καὶ σκόλοπας ἐξάγει. καὶ τὰ φύλλα δὲ καταπλαττόμενα, φύματα καὶ δοθιῆνας διαφορεῖ. ἡ δὲ ῥίζα αὐτῆς, λυτικὴ κοιλίας καὶ κινητικὴ χολῆς, δίδοται < β΄. ἐν μελικράτῳ.

De Apio. Cap. CLXXVII.

APIOS, aliis ischas, aliis chamæbalanos, aliis montanus aut syluestris raphanus, alijs denique linozostis, ramulos duos siue tres in terra spargit, iunceos, tenues, rubentes & paululum à terra sese attollentes, foliis rutæ, oblongioribus tamen & angustioribus, herbaceis: semine paruo: radice hastulæ regiæ & ad pyri formam accedente, rotundiore tamen, lacteique succi plena, cortice extrà quidem nigro, intus verò candido. Superior pars eius assumpta, vomitione bilem pituitámque extrahit, inferior, per aluum. Tota verò sumpta, vtraque parte purgat. Liquorem si libet excipere, radices tundito, & crateri aquæ inditas agitato, ac liquorem qui supernatat penna collectum exiccato. Huius sesquiobolus potus, per superna infernáque purgat.

Περὶ Ἀπίου. Κεφ. ροζ΄.

ΑΠΙΟΣ, οἱ δὲ, *ἰσχάδα. οἱ δὲ, *χα-
B μαιβάλανος, *ὀρεινὴ ἢ ἀγρία, οἱ δὲ, — Forte, οἱ δὲ ῥάφανος ὀρεινή
λινόζωστις, κλωνία δύο ἢ τρία ἀπὸ γῆς ἀνίησι, σχοινώδη, λεπτὰ, *ἐρυθρὰ, μικρὸν — Al. ἐρυθρά
ὑπὲρ τῆς γῆς αἰρόμενα· φύλλα πηγάνῳ *ἐοικότα, ἐπιμηκέστερα μέντοι καὶ στενώτερα, — Cor. addit ἀγρία
*χλωρά· καρπὸς μικρός. ῥίζα *ἀσφοδέλῳ παραπλησία, καὶ πρὸς τὸ τῆς — V. caret. Al. ἀσφοδέλῳ seu ἀσφοδελίῳ.
C ἀπίου σχῆμα, στρογγυλωτέρα δὲ, μεστὴ ὀποῦ, *φλοιὸν ἔχουσα ἔξωθεν μέλανα, ἔνδοθεν δὲ, — V. φλοιὸν ἔχουσα λευκόν
λευκόν. Ταύτης τὸ μὲν *ἐνδόθεν μέρος — Al. ἄνωθεν
τῆς ῥίζης ληφθὲν, δι' ἐμέτων ἄγει χολὴν καὶ φλέγμα· τὸ δὲ πρὸς τῇ ῥίζῃ, κάτω καθαίρει· ὅλη δὲ ληφθεῖσα, ἀμφοτέρας τὰς καθάρσεις κινεῖ. ὀπίσαι δὲ βουληθεὶς,
D κόψας τὰς ῥίζας, καὶ βαλὼν εἰς κρατῆρα ὕδατος, συνταράσσων, καὶ τὸν ἐφιστάμενον ὀπὸν πτερῷ ἀναλέγων, *ξήραινε. τούτου — Βυζαντινοὶ ξήρα
τρία ἡμιωβόλια ποθέντα, ἄνω καὶ κάτω καθαίρει.

De Colocynthide.

Cap. CLXXVIII.

COLOCYNTHIS, aliis cucurbita syluestris, aliis amara cucurbitula, aliis cucurbita Alexandrina, sarmenta foliáque emittit per terram strata, satiui cucumeris similia, incisuris diuisa: fructum verò rotundum, mediocris pilæ similitudine, vehementer amarum: quem legere oportet, cùm cœperit ad pallidiorem colorem vergere. Fructus medulla purgandi vim habet, si eius quatuor oboli ex aqua mulsa sumantur: vel additis nitro & myrrha melle decocto excipiantur & in pilulas cogantur. Ipsæ verò pilæ arefactæ teruntur, & vtiliter infunduntur clysteribus ad coxendicum dolorem, paralysin & coli vitia: vt quæ pituitam, bilem, strigmentáque, interdum etiam cruẽta eliciant. Subditæ eędem, fœtus enecant. Quòd si quis vnà exẽpta medulla obducat luto,

Περὶ Κολοκυνθίδος.

Κεφ. ροη΄.

E ΚΟΛΟΚΥΝΘΙΣ, οἱ δὲ, κολόκυνθα *ἀγρία, οἱ δὲ, σικύα πικρὰ, οἱ δὲ, — Corn. ἄγριος, legendum suspicatur.
κολόκυνθα Ἀλεξανδρίνη, κλημάτια καὶ φύλλα ἐστρωμένα ἐπὶ τῆς γῆς ἀνίησιν, ὅμοια τοῖς τοῦ ἡμέρου σικύου, ἐσχισμένα· καρπὸν δὲ περιφερῆ, ὅμοιον σφαίρᾳ μέσῃ, πικρὸν ἰσχυρῶς· ὃν δεῖ *συνάγειν, ἀρχόμε- — V. συνάγειν
F νον μεταβάλλειν ἐπὶ τὸ ὠχρότερον. Δύναμιν δὲ ἔχει τὸ μὲν ἐντεριώνη τοῦ καρποῦ καθαρτικήν, *τετρωβόλου πλῆθος μεθ' ὑ- — Al. τριωβόλου
δρομέλιτος λαμβανομένη· *σὺν νίτρῳ καὶ σμύρνῃ καὶ μέλιτι ἑφθῷ εἰς καταπότια. αὗται δὲ αἱ σφαῖραι ξηραὶ λεῖαι, ὠφελίμως μίγνυνται κλύσμασιν ἐπὶ ἰσχιαδικῶν, καὶ
G *παραλυτικῶν, καὶ κωλικῶν, ἄγουσαι — V. tantùm καὶ κωλικῶν ἄγ.
φλέγμα καὶ χολὴν καὶ ξύσμα, ἔσθ' ὅτε δὲ καὶ αἱματῶδες· ἔμβρυά τε φθείρουσι προστεθεῖσαι· ὀδονταλγίας τε διάκλυσμα, ἐάν τις ἐκκαθάρας αὐτὴν καὶ περιπλάσας πηλῷ,

V. caret. ἐναποζέσας τι * ἐν ὄξει ἢ νίτρῳ, δύναται διακλύζεσθαι. εἰ δέ τις ἐναφεψήσας μελικράτῳ ἢ καὶ γλυκεῖ, καὶ ἐξαιθριάσας δοίη πιεῖν, καθαίρει παχεῖς ἢ ξύσματα· ἐστὶ δὲ κακοστόμαχος λίαν. προστίθεται δὲ ἡ βάλανος ἐξ αὐτῆς, πρὸς κομιδὴν τῶν περιττωμάτων. καὶ χλωρᾶς δὲ αὐτῆς ὁ χυλὸς, ἐπὶ ἰσχιαδικῶν ἀνατριβόμενος ἁρμόζει.

Περὶ Ἐπιθύμου. Κεφ. ροθʹ.

V. ἄνθος θύμου σκληροῦ καὶ

ΕΠΙΘΥΜΟΝ * θύμου ἐστὶν ἄνθος τοῦ σκληροτέρου καὶ θύμβρᾳ ἐοικότος. ἔχει δὲ κεφάλια λεπτὰ, κοῦφα, * οὐραγοὺς ἔχοντα ὡς τρίχας. Πινόμενον δὲ σὺν μέλιτι, κάτω καθαίρει φλέγμα καὶ χολὴν μέλαιναν. ἰδίως ἁρμόζον ἐπὶ μελαγχολικῶν καὶ ἐμπνευματουμένων, ὀξυβάφου πλῆθος πρὸς ὁλκὴν < δʹ. σὺν μέλιτι καὶ ἁλσὶ, καὶ ὀλίγῳ ὄξει. γεννᾶται δὲ πλεῖστον ἐν Καππαδοκίᾳ καὶ Παμφυλίᾳ.

V. caret.

Περὶ Ἀλύπου. Κεφ. ρπʹ.

ΑΛΥΠΟΝ φρυγανῶδές ἐστι πόα, ὑπέρυθρος, * λεπτόκαρφος, λεπτόφυλλος, ἄνθους μαλακοῦ καὶ κούφου μεστὴ ὡς * ῥίζα τεύτλου λεπτὴ, μεστὴ ὀποῦ δριμέος· σπέρμα ὡς ἐπιθύμου. γεννᾶται δὲ ἐν τόποις παραθαλασσίοις, μάλιστα τοῖς τῆς Λιβύης τόποις πλεῖστον, καὶ ἄλλοις δὲ χωρίοις * πλείστη. Καθαίρει δὲ τὸ σπέρμα μέλαιναν χολὴν κάτω, λαμβανόμενον * τὸ ἴσον πλῆθος μετὰ ἁλῶν τοῦ ἐπιθύμου καὶ ὄξει· τὰ δὲ ἔντερα ἐλαφρῶς ἑλκοῖ.

Ald. πλατύκαρφος.

Orib. πλείστης. rectè.

Περὶ Ἐμπέτρου. Κεφ. ρπαʹ.

Empetri caput in quibusdam deest exemplaribus.

ΕΜΠΕΤΡΟΝ, οἱ δὲ, φακοειδὲς, ἐν παραλίοις καὶ ὀρεινοῖς φύεται, ἁλυκὸν τῇ γεύσει· τὸ δὲ προσγειότερον, πικρότερον. διδόμενον δὲ ἐν ζωμῷ ἢ ὑδρομέλιτι, καθαίρει φλέγμα καὶ χολὴν καὶ ὑδατώδη.

Περὶ Κληματίτιδος. Κεφ. ρπβʹ.

ΚΛΗΜΑΤΙΤΙΣ κλῆμα ἀνίησιν ὑπέρυθρον, λυγῶδες, φύλλον δριμὺ λίαν γευομένῳ καὶ ἑλκωτικόν· περιελίττεται δὲ τοῖς δένδροις ὡς σμίλαξ. Ταύτης ὁ καρπὸς λεῖος μετὰ ὕδατος ἢ ὑδρομέλιτος ποθεὶς, ἄγει κάτω φλέγμα καὶ χολήν. τὰ δὲ φύλλα καταπλασθέντα, λέπρας ἀφίστησι. ταριχεύεται δὲ μετὰ τοῦ λεπιδίου εἰς βρῶσιν.

A in eáque acetum ac nitrum ferue faciat, decocti ius illud dentium doloribus collutione proderit. Sin mulsa aut passum in eadem decoquatur & sub diuo refrigescat, potu crassum humorem strigmentaque alui detrahet: stomacho tamen supra modum aduersatur. Sed & subdita ex ea balano alui excrementa B euocantur. Virentis denique succus prodest coxendicum dolori, si infricetur.

De Epithymo. Cap. CLXXIX.

EPITHYMUM flos est thymi durioris & satureiæ similis: capitula autem habet tenuia ac leuia, caudas spargentia quasi capillaceas. Potum id cum melle, detrahit pituitam bi- C lémque atram per inferna, priuatim vtile melancholicis & inflatis acetabuli mensura ad quatuor drachmas, cũ melle, sale & aceti exiguo. Plurimum in Cappadocia & Pamphylia gignitur.

De Alypo. Cap. CLXXX.

ALYPUM herba est è cremiorum D genere, subrubra, gracilibus surculis, ac tenuibus foliis, flore molli ac leui plena: radice ceu betæ, tenui, acri, lacteo succo referta: semine ceu epithymi. Gignitur in maritimis, maximéque Libyæ, vberrima, quanquam & aliis quoque locis plurimis prouenit. Semen atram bilem per inferna purgat, si pondere E epithymo pari, additis aceto & sale, sumatur: verùm interanea leuiter exulcerat.

De Empetro. Cap. CLXXXI.

EMPETRON aliqui phacoides vocant. Nascitur in maritimis & montanis, salso gustu: quod verò propius terræ fuerit, amarius sentitur. Trahit pituitam, bilem & a- F quam, datum in iure aliquo, aut in hydromelite.

De Clematitide. Cap. CLXXXII.

CLEMATITIS sarmentum emittit subrubrum, & vitilium modo lentum: folium gustatu admodum acre & exulcerãs. Arboribus autem smilacis in modum sese circumuol- G uit. Semen tritum pituitam bilémq; detrahit, in aqua aut hydromelite pótum. At imposita folia, lepras remouent. Cæterùm, cum lepidio conditur ad cibos.

De Vite Syluestri. Cap. CLXXXIII.

VITIS syluestris sarmenta vitis modo longa emittit, eáque lignosa, aspera & rimoso cortice: folia verò solani hortensis similia, at latiora longioráque: florem capillaceum, muscosum: fructum exiguis vuis similem, ac vbi maturitatem assecutus est, rubentem: rotunda autem est acinorum figura. Radix decocta in aqua, potáque in vini aqua marina diluti cyathis duobus, aquosa ciet: atque ideò hydropicis datur. Vuæ eius tum maculas à sole contractas, tum & alias omnes expurgant. Cibi verò gratia nouelli surculi condiuntur.

De Vite alba. Cap. CLXXXIIII.

VITEM albam aliqui bryoniam, alij ophiostaphylon, alij chelidonion, alij melothron, seu psilothron, alij archezostin, agrostin aut cedrostin vocant. Sarmentis, foliis & tortilibus pampinis satiuam vitem imitatur: sed hirsutiora sunt omnia. Vicinis verò fruticibus implicat sese, illos suis clauiculis amplectens: fructum autem gerit racemosum, fuluum, quo quidem coria depilantur. Ex ea asparagi qui prima germinatione exeunt decocti in cibo, aluum & vrinam cient. Folia, fructus & radix vim acrem sortiuntur: proindéq; Chironiis, gangræna comitatis, phagedænicis, ac denique tibiarum putridis vlceribus efficaciter cum sale illinuntur. Radix corporis cutem abstergit & erugat: maculas itidem à sole contractas, varos, lentigines ac cicatrices nigras emẽdat cum eruo, terra Chia & fœnogræco. Eodem effectu prodest decocta in oleo, dum liquescat atq; dissoluatur. Tollit & sugillata, & digitorum pterygia coërcet: illita ex vino inflãmationes discutit, & abscessus rumpit: trita quoque & imposita, infracta ossa extrahit: septicis denique medicamentis aptè immiscetur. Bibitur eadem ad morbum comitialẽ drachmæ pondere quotidie, anno toto. Prodest etiamnum attonitis & vertiginosis, similiter assumpta. Drachmis verò duabus pota, contra viperarum morsus auxiliatur & partus enecat: mentem verò interdum turbat aliquan-

A Περὶ Ἀμπέλου ἀγρίας. Κεφ. ρπγ΄.

ΑΜΠΕΛΟΣ ἀγρία κλήματα ἀφίησι μακρά, ὡς ἀμπέλου, ξυλώδη, τραχέα, *φλοιορραγοῦντα, φύλλα δὲ ὅμοια στρύχνῳ κηπαίῳ, πλατύτερα δὲ καὶ *μακρότερα· ἄνθος ὡς τρίχας *βρυώδες· καρπὸν δὲ βοτρυδίοις μικροῖς ὅμοιον, πεπαι- B νόμενον ἐρυθρόν· *περιφερὲς δέ ἐστι τὸ σχῆμα τῶν κόκκων. Ταύτης ἡ ῥίζα ἀποζεσθεῖσα* ἐν οἴνῳ, καὶ μεθ᾽ ὕδατος πινομένη τεθαλασσωμένων κυάθων β΄. ὑδατῶδες καθαίρει· δίδοται δὲ καὶ ὑδρωπικοῖς. οἱ δὲ βότρυες ἐφήλεις ἀποκαθαίρουσι καὶ πάντα σπίλον. ταριχεύονται δὲ καὶ οἱ ταύτης ἀκρέμονες ἀρτιφυεῖς εἰς βρῶσιν. C

Orib. add. [illegible] — Orib. non habet. — Serap. legit, μικρότερα. — Orib. [illegible], si Marcello credimus quidam βοτρυώδεις — Vi. [illegible] quidam [illegible]

Περὶ Ἀμπέλου λευκῆς. Κεφ. ρπδ΄.

ΑΜΠΕΛΟΣ λευκή, οἱ δὲ, βρυωνίαν, οἱ δὲ, ὀφιοστάφυλον, οἱ δὲ, χελιδόνιον, ἢ μήλωθρον, ἢ ψίλωθρον, ἢ ἀρχέζωστιν, ἢ * ἄγρωστιν, ἢ κέδρωστιν καλοῦσι. ταύτης τὰ κλήματα καὶ τὰ φύλλα, καὶ *οἱ ἕλικες, D ὅμοια τῇ ἡμέρῳ ἀμπέλῳ, δασύτερα δὲ πάντα. καὶ ἐμπλέκεται τοῖς παρακειμένοις θάμνοις, ἐπιλαμβανομένη *τοῖς ἕλιξι· καρπὸν δὲ ἔχει βοτρυώδη, πυρρόν, ᾧ ψιλοῦνται τὰ δέρματα. ταύτης οἱ ἀσπάραγοι κατὰ τὴν πρώτην ἐκβλάστησιν ἑφθοὶ ἐσθίονται, οὔρησιν καὶ κοιλίαν κινοῦντες. *Δύ- E ναμιν δὲ ἔχει τὰ φύλλα καὶ ὁ καρπὸς καὶ ἡ ῥίζα δριμεῖαν· ὅθεν ἐπὶ τῶν χειρωνίων, καὶ γαγγραινικῶν καὶ φαγεδαινικῶν καὶ σαπροχρονίων ἑλκῶν, μεθ᾽ ἁλὸς καταπλασσόμενα ποιεῖ. ἡ δὲ ῥίζα χρῶτα ῥύπτει καὶ τιτανοῖ, καὶ ἐφήλιν ἀποκαθαίρει, ἰόνθους, φακούς, οὐλὰς μελαίνας, σὺν ὀρόβῳ καὶ γῇ χίᾳ καὶ τήλει. F καθεψηθεῖσα δὲ μετ᾽ ἐλαίου μέχρι παχυρωθῇ, πρὸς τὰ αὐτὰ ἁρμόζει· αἴρει δὲ καὶ ὑπώπια, καὶ πτερύγια τὰ ἐν δακτύλοις συστέλλει. σὺν δὲ οἴνῳ καταπλασσομένη, διαφορεῖ φλεγμονάς, καὶ ἀποστήματα ῥήσσει· ἀνάγει δὲ καὶ ὀστᾶ, λεία καταπλασσομένη. σηπτικαῖς τε μίγνυται ἐπιτηδείως· πίνεται δὲ καὶ G πρὸς ἐπιληψίας ὁλκὴ α΄ καθ᾽ ἡμέραν, πρὸς ἐνιαυτόν. ὠφελεῖ ἀποπλήκτους καὶ σκοτωματικούς, ὁμοίως λαμβανομένη. δυοῖν δὲ < ὁλκὴ ποθεῖσα, ἐχιοδήκτοις βοηθεῖ, καὶ ἔμβρυα φθείρει· ὑποταράττει δὲ ἐνίοτε τὴν

Forte αἱ — Forte ταῖς — Dragon addit. ἡ ῥίζα [illegible]

Add. Ald. hoc loco, δι' αὐτῆς

διαφόροις· * καὶ θερμὴ κινεῖ πινομένη, καὶ A
προσεστηκυῖα ὑστέρα, ἔμβρυα καὶ δεύτερα
ἐπισπᾶται. καὶ * ἐκλεικτὸν δὲ μετὰ μέλι-
τος δι' αὐτῆς, τοῖς πνιγομένοις καὶ δυσπνοοῦ-

Deest in Ald.

σι, καὶ βήσσουσι, πλευρὰν τε ἀλγοῦσι, καὶ
ῥήγμασι καὶ σπάσμασι δίδοται. καὶ σπλῆ-
να τήκει, τριωβόλου ὁλκὴ ποθεῖσα σὺν
ὄξει ἐπὶ ἡμέρας λ΄. καὶ καταπλάσσεται B
δὲ μετὰ σύκου πρὸς τὰ αὐτὰ χρησίμως.
ἀφέψεται δὲ καὶ εἰς ἐγκάθισμα, καθαρ-
τικὸν ὑστέρας ὂν καὶ ἐκβόλιον. χυλίζεται
δὲ ἡ ῥίζα αὐτῆς ἔαρος· πίνεται δὲ σὺν με-
λικράτῳ ὁ χυλὸς πρὸς τὰ αὐτά, ἄγων
φλέγμα. ὁ δὲ καρπὸς ποιεῖ πρὸς ψώρας
καὶ λέπρας, συγχριόμενος καὶ καταπλασ- C
σόμενος. κατασπᾷ δὲ καὶ γάλα ὁ καρπὸς
αὐτῆς χυλισθείς, καὶ μετὰ πυροῦ ἑψημένου
* ῥοφηθείς.

Lacuna legit in v. cod. [illegible]

V. addit. φασὶ [illegible] δὲ ἔχει δύναμιν ἐπὶ τῶν καυσωδῶν πυρετῶν.

Περὶ Ἀμπέλου μελαίνης. Κεφ. ρπέ.

Ἄμπελος μέλαινα, ἣ δέ, βρυωνία μέ-
λαινα, οἱ δὲ χειρώνειον ἄμπελον, φύλλα ἔχει
κισσοῦ ὅμοια, μᾶλλον δὲ πρὸς τὰ τῆς σμί- D
λακος, καὶ οἱ καυλοί, [μείζονα δὲ * τού-
των·] ἐλλαμβάνεται δὲ καὶ αὐτὴ τῶν δένδρων ταῖς
ἕλιξι· καρπὸς βοτρυώδης, χλωρὸς κατ'
ἀρχήν, πεπανθεὶς δὲ μέλας γίνεται· ῥίζα
μέλαινα ἔξωθεν, ἔνδοθεν δέ, πυξοειδής. Καὶ
ταύτης οἱ καυλοὶ κατὰ τὴν πρώτην ἐκ-
βλάστησιν λαχανεύονται· εἰσὶ δὲ καὶ οὐρητικοὶ E
καὶ * καταμηνίων ἀγωγοί,] τηκτικοὶ σπλη-
νός. ἐπιληπτικοῖς, καὶ * σκοτωματικοῖς, καὶ
παραλυτικοῖς ἁρμόζουσιν. ἔχει δὲ ἡ ῥίζα
δύναμιν ὁμοίαν τῇ λευκῇ, πρὸς τὰ αὐτὰ
ἁρμόζουσα, ἧττον μέντοι * ἐνεργεῖ. ποιεῖ
δὲ πρὸς τοὺς τῶν ὑποζυγίων λόφους, ἐ-
πειδὰν ἑλκωθῶσι, τὰ φύλλα σὺν οἴνῳ κα- F
ταπλασσόμενα· καὶ πρὸς στρέμματα ὁ-
μοίως ἐπιτίθενται.

Al. χειρώνειον

V. caret.

V. caret.

V. caret.

Περὶ Πτέριδος. Κεφ. ρπϛ΄.

ΠΤΕΡΙΣ, * οἱ δέ, ** βλῆχνον, οἱ δέ, πο-
λύρριζον καλοῦσι, φύλλα ἐστὶν ἄκαυ-
λα, καὶ ἀνανθῆ, καὶ ἄκαρπα ἐξ ἑνὸς μόσχου,
περὶ πῆχυν τὸ μέγεθος, ἐντετμημένα καὶ G
ἀνηπλωμένα ὡς πτέρυξ, ὑποδυσώδη·
ῥίζαν δὲ ἔχει ἐπιπόλαιον, * μέλαιναν, ὑ-
πομήκη, ἐκφύσεις ἔχουσαν πολλάς, ὑποστύφουσαν τῇ γεύσει· φύεται ἐν ὀρεινοῖς

Ald. addit [illegible] V. βλῆχρον. Theocrit. Schol. βλῆχρον appellat.

V. add. [illegible]

tulum. Cit & vrinam epota. Subdita autem vuluæ, partus secundásque morantes trahit. Sed & eclegma ex ea fit cum melle strangulatu oppressis, ægrè spirantibus atque tussientibus, laterum doloribus, ruptis atque vulsis. Quinetiam splenem ternis obolis pota ex aceto tricenis diebus consumit: necnon & ad eadem cum fico vtiliter illinitur. Ad muliebres insessus decoquitur, qui quidem vuluam purgandi & fœtus enectos eiiciendi vim habent. Succus è radice vere exprimitur, qui ex aqua mulsa potus tum cætera antedicta præstat, tum & pituitam trahit. Ad psoras & lepras fructus efficaciter inungitur atque imponitur. Sed & eius succus lactis abundantiam facit, si cum tritico cocto sorbeatur.

De Vite nigra. Cap. CLXXXV.

Nigra vitis, quam aliqui bryoniam nigram, alij Chironiam vitem nominant, folia fert hederæ, ad smilacis folia propiùs accedentia, sed maiora, caules etiam huic similes: ac ipsa quoque vicinas arbores capreolis suis amplectitur: fructus racematim cohæret, qui inter principia viret, at post maturitatem nigricat: radix foris nigra, intus buxeo colore. Huius etiam cauliculi qui primo germinum partu erumpunt, olerum modo in cibos recipiuntur. Vrinas porrò cient, menses pellunt, ac lienem minuunt, nec non & comitialibus, vertiginosis ac neruorum resolutione tentatis prosunt. Radix iisdem quibus albæ viribus pollet, eadémque præstat, sed inefficaciùs. Folia verò cum vino exulceratis iumentorum ceruicibus efficaciter illinuntur: ac luxatis etiam similiter imponuntur.

De Filice. Cap. CLXXXVI.

FILICI, quam aliqui blechnon, alij polyrrhizon vocant, folia sine caule, sine flore, sine semine, eáque ex vno pediculo cubitali fermè longitudine exeunt, incisa & pinnarum modo vtrinque expassa, subgraui odore: radicem verò habet per summa cespitum nigram, quadantenus longam, multas fundenté propagines, quæ sunt subadstringente gustu. Nascitur in montanis

saxosísque locis. Huius radix latum lumbricum, quam tæniam vocant, excutit, sumpta drachmis quatuor ex aqua mulsa: meliùs, si cum scammonij aut ellebori nigri totidem obolis detur: verùm eos qui sumunt allia priùs edisse oportet. Eadem laborantes ex liene efficaciter restituit. Quinetiam cum axungia contrita & imposita, ictis ab arundine efficaciter auxiliatur: cuius rei probatio talis fertur. Perimetur filix quam per ambitum sata copiosior arundo cinxerit, & contrà, extinguetur & euanescet arundo, quam multa filix circundederit.

De Thelypteri, seu filice fœmina.
Cap. CLXXXVII.

Thelypteris seu filix fœmina, quã aliqui nymphæam pterin nominãt, foliis est filicis, quę tamẽ nõ singulari, vt illa, pediculo hærent, sed è numerosis altioribúsq; propaginibus exeunt. Radices subiacent longæ in obliquum, numerosæ, ex nigro flauescentes: aliquæ etiamnum rubræ inueniuntur. Et hæ quoque radices cum melle in eclegmate sumptę, lata interaneorum animalia pellunt: potę verò ex vino drachmis tribus, teretes lumbricos eiiciunt. Datæ fœminis, conceptum impediunt: quòd si à grauida sumantur, abortum illa faciet. Earundem farina præhumidis & ægrè sanescentibus vlceribus inspergitur, ac iumentorum quoque ceruicibus medetur. Cæterùm elixa folia quæ recèns eruperint, olerum vice manduntur, vt aluum emolliant.

De Polypodio, seu filicula.
Cap. CLXXXVIII.

POLYPODION nascitur in muscosis petris & vetustis quercuum caudicibus, palmi altitudine, filici simile, subhirsutum & incisum, at non perinde tenui diuisura. Radix subiacet pilosa, cirros habens ceu polyporum, crassitudine minimi digiti: hæc si derasa fuerit, coloris intus herbacei comperietur: acerba verò est atque gustu subdulcis, purgãdi vi prædita. Datur porrò ad aluum soluendã coctã cũ gallina, aut piscibus, aut beta, aut malua. Aridæ farina aquę mulsę inspersa, detrahit pituitã ac bilem. Trita eadẽ luxatis

A καὶ πετρώδεσι τόποις. Ταύτης ἡ ῥίζα *ἕλμινθα πλατεῖαν ἐκτινάσσει < δ΄. ὁλκὴ μετὰ μελικράτου λαμβανομένη· *βέλτιον δὲ, εἰ μετὰ σκαμμωνίας ἢ ἐλλεβόρου μέλανος ὀβολῶν τεττάρων δοίη τις. δεῖ δὲ προσκοροδοφαγεῖν τοὺς λαμβάνοντας. ποιεῖ δὲ καὶ πρὸς ἀποκατάστασιν σπληνικῶν. καὶ B μετὰ ἀξουγγίου δὲ ἡ ῥίζα *τριβεῖσα καὶ καταπλασθεῖσα, ποιεῖ πρὸς τοὺς ὑπὸ καλάμου πληγέντας· ἡ δὲ δοκιμὴ τοιαύτη. ἔνθα *ἐστὶ πολὺς κάλαμος καὶ πολὺ βλάχνον, στιφαίνωσιν. ἀφανίζεται τὸ βλάχνον.

Ald. ὑμεν.

V. cuiusdam margo, καὶ [illegible]

Περὶ Θηλυπτερίδος. Κεφ. ρπζ΄.

Θηλυπτερίς, οἱ δὲ, νυμφαίαν πτέριν ὀ- C νομάζουσι, τὰ μὲν φύλλα πτέριδι ὅμοια, οὐ μονόκλωνα δὲ, ὡς τὰ ἐκείνης, ἀλλὰ πολλὰς ἔχοντα ἀποφύσεις καὶ ὑψηλοτέρας· ῥίζαι δὲ ὕπεισι μακραὶ, πλάγιαι, πλείους, ὑπόξανθοι ἐν τῷ μέλανι· τινὲς δὲ ἐρυθραί. Καὶ αὗται δὲ σὺν μέλιτι ἐν ἐκλείκτῳ λαμβανόμεναι, πλατεῖαν ἕλ- D μινθα ἐκβάλλουσι· σὺν οἴνῳ δὲ πινόμεναι < γ΄ πλῆθος, στρογγύλην ἐκτινάσσουσιν ἕλμινθα· γυναιξὶ δὲ δοθεῖσαι, ἀσυλληψίαν ποιοῦσι· κἂν *ἔγκυος δὲ διαβῇ, ἐκτιτρώσκει. ξηραὶ δὲ ἐπὶ τῶν *δυσαλθῶν καὶ καθύγρων ἑλκῶν *ἐπιπλάσσονται· λόφους τε ὑποζυγίων ἰῶνται. *τὰ δὲ E φύλλα αὐτῆς ἀρτίβλαστα λαχανεύεται ἑφθὰ βιβρωσκόμενα, καὶ κοιλίας μαλάσσουσιν.

V. [illegible]

V. [illegible]

Περὶ Πολυποδίου. Κεφ. ρπη΄.

ΠΟΛΥΠΟΔΙΟΝ φύεται ἐν πέτραις βρύα ἐχούσαις, καὶ ἐν τοῖς *ἀγρίοις πρέμνοις τοῖς ἐπὶ τῶν δρυῶν, σπιθαμιαῖον ἔ- F χουσα τὸ ὕψος, ὅμοιον τῇ πτέριδι, ὑπόδασυ, τετμημένον, οὐ μὴν οὕτω λεπτοσχιδῶς· ῥίζα δὲ ὕπεστι δασεῖα, πλεκτάνας ὥσπερεὶ πολύποδες ἔχουσα, πάχος μικροῦ δακτύλου. ξυσθεῖσα δὲ, ἔνδοθεν χλωρά, στρυφνή, τῇ δὲ γεύσει ὑπόγλυκυς, δύναμιν ἔχουσα καθαρτικήν. δίδοται δὲ G συνεψομένη ὄρνιθι, ἢ ἰχθύσιν, ἢ σεύτλῳ, ἢ μαλάχῃ πρὸς κάθαρσιν. ξηρὰ δὲ ἐπιπασσομένη ἐν μελικράτῳ, ἄγει φλέγμα καὶ χολήν. ποιεῖ καὶ πρὸς στρέμματα ἡ

ῥίζα λεία καταπλασσομένη, καὶ πρὸς A ῥαγάδας τὰς ἐν μεσοδακτύλοις.

Man. ἐν δακτυλοις legendum suspicatur.

Περὶ Δρυοπτερίδος. Κεφ. ρπθ'.

Orib. [illegible]

ΔΡΥΟΠΤΕΡΙΣ φύεται κατὰ τὰ βρυώδη μέρη τῶν παλαιῶν δρυῶν, ὁμοία πτέριδι, ἐλάττων δὲ πολλῷ τῇ σχίσει· ῥίζας δὲ ἔχει κατ' ἐπιπλοκὴν δασείας, στρυφνὰς κατὰ τὴν γεῦσιν, ἐν τῷ γλυκεῖ ῥέπουσας. B Αὕτη ἐπιπλασθεῖσα λεία σὺν ταῖς ῥίζαις, τρίχας ψιλοῖ· δεῖ δὲ ἀποψᾶν πρότερον μετὰ τὸ ἱκμάσαι τὸν χρῶτα, καὶ νεαρὸν ἐπιπλάσσειν.

Quidam add. τὸ σφόδρον καὶ τῷ [illegible]. V. caret.

Περὶ Κνίκου. Κεφ. ρϟ'.

ΚΝΙΚΟΣ φύλλα ἔχει ἐπιμήκη, ἐντετμημένα, τραχέα, ἀκανθώδη· καυλοὺς δὲ πηχυαίους, ἐφ' ὧν κεφάλια κατὰ μέγεθος ἐλαίας· ἄνθος κρόκῳ ὅμοιον· σπέρμα λευκὸν καὶ πυρρὸν, ἐπίμηκες, γωνιῶδες. C Τούτῳ τῷ ἄνθει χρῶνται εἰς τὰ προσοψήματα. Τὸ σπέρμα κοπτόμενον καὶ χυλιζόμενον σὺν ὑδρομέλιτι ἢ ζωμῷ ὄρνιθος, κοιλίαν καθαίρει, κακοστόμαχον δέ ἐστι. D γίνεται δὲ καὶ κοπτάρια κοιλίας μαλακτικά, τοῦ ὀποῦ αὐτοῦ μιγνυμένου ἀμυγδάλῳ καὶ νίτρῳ, καὶ ἀνίσῳ, καὶ μέλιτι ἑφθῷ. δεῖ δὲ πρὸ δείπνου λαμβάνειν εἰς δ'. διελόντα, ὡς βασιλικοῦ καρύου μέγεθος β'. ἢ γ'. σκευάζειν δὲ τὸν τρόπον τοῦτον· δεῖ κνίκου λευκοῦ ξέστην α'. Θασίων πεφωσμένων καὶ λελεπισμένων E κυάθους τρεῖς, ἀνίσου ξέστην ἕνα, ἀφρονίτρου < α'. ἰσχάδων τῆς σαρκὸς ἀριθμῷ λ'. πήσσει δὲ καὶ γάλα ὁ χυλὸς τοῦ σπέρματος, καὶ λυτικώτερον ποιεῖ.

Matth. τραχέα. V. caret. V. διπηχυαίους ἀκανθώδεις. Sic & Lacunæ v.c. Al. καφάλια. Marc. suspicatur legendum πεφρ... aut [illegible]. V. delet. V. [illegible]. Ald. [illegible]. V. καὶ δ'.

Περὶ Λινοζώστεως. Κεφ. ρϟα'.

ΛΙΝΟΖΩΣΤΙΣ, οἱ δὲ παρθένιον, οἱ δὲ Ἑρμοῦ βοτάνιον καλοῦσιν· ἔχει τὰ φύλλα ὅμοια ὠκίμῳ, πρὸς τὰ τῆς ἑλξίνης, ἐλάττονα δὲ· κλωνία διηγμένα, μασχάλας πολλὰς, πυκνὰς ἔχοντα· τὸν δὲ καρπὸν, ἡ μὲν θήλεια βοτρυώδη καὶ πολύν· ὁ δὲ ἄρρην, πρὸς τοῖς πετάλοις μικρὸν, στρογγύλον, ὥσπερ ὀρχίδια κατὰ δύο προσκείμενα· G ὅλος δὲ ὁ θαμνίσκος σπιθαμιαῖος, ἢ καὶ μείζων. Κινοῦσι δὲ ἀμφότεραι κοιλίαν λαχανευόμεναι καὶ ἐσθιόμεναι· καθεψόμεναι δὲ

Ald. διεγμένα

efficaciter imponitur, & aduersus rimas quæ inter digitos fiunt.

De Dryopteri. Cap. CLXXXIX.

DRYOPTERIS in veterum roborum muscosis partibus enascitur, filici similis, at multò tenuiore foliorum incisura: radicibus inter se implicitis, hirsutis, gustu astringentibus, & ad dulcedinem vergentibus. Ea si trita cum radicibus illinatur, pilos abolet. Primùm autem cutem posteaquam exudauerit abstergere oportet, ac deinde recentem ipsam imponere.

De Cnico. Cap. CXC.

CNICVS foliis constat oblongis, per ambitum diuisis, asperis, aculeatis: caulibus cubitalibus, & in eorum cacumine capitulis oliuæ magnitudine: flore croci: semine candido aut fuluo, oblongo, anguloso: illo flore in obsoniis vtuntur. Seminis verò cõtusi & expressi succus ex aqua mulsa aut gallinacei iusculo aluum purgat, sed stomacho aduersatur. Fiunt & ex eo placentulæ aluum emollientes, adiectis succo amygdalis, nitro, aniso & melle cocto. Hæ in frusta quatuor diuiduntur, quæ nucis iuglandis magnitudinem impleant: è quibus ante cœnam duo triáve sumi oportet. Ratio temperandi ea est, vt accipiatur, cnici candidi sextarius vnus, nucum Thasiarum seu amygdalarum tostarum & decorticatarum cyathi tres, anisi sextarius vnus, aphronitri drachma vna, cum carne caricarum numero triginta. Cæterùm seminis succus lac etiam coagulat, ipsúmque ad soluendã aluum efficacius reddit.

De Linozostide, seu Mercuriali. Cap. CXCI.

LINOZOSTIN aliqui parthenium, alij Mercurij herbulam appellant. Folia habet ocimi, helxinæ cognata, sed minora: ramulos duplici geniculorum nodo cinctos, & alarum cauis multis iísque densis præditos: semen, fœminæ quidem, racemosum atque copiosum; mari verò, iuxta folia paruum ac rotũdum, ceu binos testiculos vnà cohærentes. Totus autem frutex dodrãtalis est, aut etiam maior. Vtraque aluum ciet, si olerum vice mãdatur. Cocta

ἢ sine fibris dependens

verò in aqua, epoto iure, bilem aquosáque detrahit. Creduntur autem folia trita si bibantur, atque etiam à purgatione menstrua verendis admoueantur, vt fœminæ concipiantur facere: maris verò folia similiter vsurpata, vt masculi gignantur efficere.

A ἐν ὕδατι, καὶ πινομένου τοῦ ὕδατος, ἄγουσι χολὴν καὶ ὑδατώδη. δοκεῖ δὲ τὰ μὲν τῆς θηλείας φύλλα, λεῖα πινόμενα καὶ προστιθέμενα μετὰ τὴν κάθαρσιν τοῖς αἰδοίοις, σύλληψιν θήλεως ποιεῖσθαι, τὰ δὲ τοῦ ἄρρενος ὁμοίως ἐπιτηδευθέντα, ἀρρενογόνα γίνεσθαι.

De Cynocrambe. Cap. CXCII.

B

CYNIA seu cynocrambe, aliis mercurialis syluestris mas, cauliculum emittit binûm palmorum altitudine, mollem ac subalbidum: folia mercuriali aut hederæ similia, certis interstitiis candicantia: semen foliis adiacet paruum ac rotundum. Folia cum caulibus olerum instar pota, vim alui ciendæ habent. Ius verò decocti, bilem aquosáque detrahit.

Περὶ Κυνοκράμβης. Κεφ. ρϟβ'.

Censet Marcellus hoc caput adulterinum maximè cum in vetustis codicibus minimè reperiatur.

ΚΥΝΙΑ ἡ κυνοκράμβη, οἱ δὲ, λινόζωστις ἀγρία ἄρρην, καυλίον ἀνίησι δισπιθαμιαῖον, τρυφερὸν, ὑπόλευκον· φύλλα ἐμφερῆ λινοζώστιδι ἢ κισσῷ, ὑπόλευκα ἐκ διαστημάτων· τὸν δὲ καρπὸν C πρὸς τοῖς πετάλοις προσκείμενον, μικρὸν, στρογγύλον. Δύναμιν δὲ ἔχει ὅ,τε καυλὸς καὶ τὰ φύλλα πινόμενα, κοιλίας κινητικὴν, λαχανευόμενα. καθεψομένων δὲ τὸ ὕδωρ, ἄγει χολὴν καὶ ὑδατώδη.

De Heliotropio magno, seu Solari herba maiore. Cap. CXCIII.

HELIOTROPIVM magnũ aliqui à floris figura Scorpiuron appellauêre: cæteri heliotropium, quoniam folia sua cum inclinante sole circumagat. Folia ocimi habet, hirsutiora tamen, nigriora maioráque: ramulos ab ima radice ternos, quaternos, quinósve, compluribus alis concauos: florem in ipsorum cacuminibus candidum, purpurascentem, qui ad similitudinem caudæ scorpionis incuruatur. Radix gracilis est atque superuacua. Nascitur in asperis. Huius manualis fasciculus ex aqua decoctus & potus, pituitam bilémque per aluum extrahit. Prodest & contra scorpionum ictus ex vino bibitum, atque etiam illitum: ad arcendos vero conceptus, amuleti instar adalligatur. Aiunt porrò seminis grana quatuor hora vna ante accessionem cum vino pota, quartanas finire, tria verò, tertianas. Illitum autem semen, myrmecias, pensiles verrucas, thymos & epinyctidas exiccat. At folia podagris luxatisque, & infantium adustioni, quam siriasin vocant, vtiliter illinitur. Mẽses eadẽ cient: atque etiam partus trita & imposita pellunt.

Περὶ Ἡλιοτροπίου τοῦ μεγάλου. Κεφ. ρϟγ'.

D

ΗΛΙΟΤΡΟΠΙΟΝ τὸ μέγα, ὃ ἔνιοι ἐκάλεσαν σκορπίουρον ἀπὸ τοῦ περὶ τὸ ἄνθος σχήματος, ἡλιοτρόπιον δὲ ἀπὸ τοῦ συμπεριτρέπεσθαι τὰ φύλλα τῇ τοῦ ἡλίου κλίσει. ἔχει δὲ τὰ φύλλα ὠκίμῳ παραπλήσια, δασύτερα δὲ καὶ μελάντερα, B καὶ μείζονα· κλωνία ἀπὸ τῆς ῥίζης ὅσον γ'. ἢ δ'. ἢ ε'. καὶ ἐκ τούτων μασχάλας πλείους· ἐπ' ἄκρων δὲ ἄνθος λευκὸν, ὑποπόρφυρον, ἐπικαμπὲς, καθάπερ σκορπίου οὐρά· ῥίζα δὲ λεπτὴ, καὶ ἄχρηστος· φύεται ἐν τραχέσι τόποις. Τούτου ὅσον δέσμη ἀφεψηθεῖσα μεθ' ὕδατος καὶ ποθεῖσα, ἄγει F φλέγμα καὶ χολὴν κατὰ κοιλίας· ἁρμόζει δὲ καὶ σκορπιοπλήκτοις, μετ' οἴνου πινομένη τε καὶ καταπλασσομένη· πρὸς ἀτόκιον δὲ περιάπτεται. Φασὶ δὲ πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας, τοῦ καρποῦ δ'. κόκκους μετ' οἴνου ποθέντας, τεταρταίους καταπαύειν· τριταίους δὲ, τρεῖς. καταπλασσό- G μενος δὲ ὁ καρπὸς, μυρμηκίας τε ἀκροχορδόνας καὶ θύμους καὶ ἐπινυκτίδας ξηραίνει. τὰ δὲ φύλλα ποδάγραις καὶ στρέμμασι, καὶ σειριάσει παιδίοις ἐπιπλάττεται ὠφελίμως. κινεῖ δὲ καὶ ἔμμηνα, καὶ ἔμβρυα ἄγει λεῖα προστεθέντα.

Add. quidam ἀγρίου.

V. καὶ λειότερα, quam lectionem secutus est Marcellus.

Vulg. ex. ὑπόπυρρον

Forte πινόμενον, & ita deinceps.

Al. ἀπαλλάσσειν

Περὶ Ἡλιοτροπίου τοῦ μικροῦ. Κεφ. ρϟδʹ. A

V. add. οἱ δὲ καὶ σκορπίουρον καλοῦσιν. ἴσως δὲ σκορπιοειδὲς

Ἡλιοτρόπιον τὸ μικρὸν φύεται ἐν τελματώδεσι τόποις καὶ παρὰ λίμναις, ἔχει φύλλα παραπλήσια τῷ προειρημένῳ, στρογγυλώτερα δέ· καρπὸν στρογγύλον ἀποκρεμάμενον ὡς ἀκροχορδόνας. Δύναται δὲ ἡ πόα μετὰ τοῦ καρποῦ πινομένη σὺν νίτρῳ καὶ ὑσσώπῳ καὶ καρδάμῳ καὶ ὕδατι, B ἕλμινθας πλατείας καὶ στρογγύλας ἐκβάλλειν· αἴρει δὲ καὶ ἀκροχορδόνας σὺν ἁλσὶ καταπλασσομένη.

Περὶ Σκορπιοειδοῦς. Κεφ. ρϟεʹ.

Σκορπιοειδὲς, βοτάνιον φύλλα ἔχον ὀλίγα, καὶ σπέρματα οὐραῖς σκορπίου ἐμφερῆ. C βοηθεῖ δὲ καταπλασσόμενα σκορπιοπλήκτοις ἄκρως.

Τέλος τοῦ τετάρτου Βιβλίου.

De Heliotropio paruo. Cap. CXCIIII.

Heliotropion paruum, (quod & alio nomine Scorpiuros vocatur,) nascitur in palustribus, & iuxta lacus, foliis antedicto proximis, at rotundioribus: semine rotundo, pensilium verrucarum modo depedente. Herba cum semine pota, additis nitro, hyssopo, cardamomo & aqua, valet ad latos teretésque lumbricos excutiẽdos: quin & pensiles verrucas cum sale illita tollit.

De Scorpioide. Cap. CXCV.

Scorpioides herbula est, foliis paucis, & semine caudæ scorpionis effigie. Hęc illita, contra scorpionũ ictus præsentaneo sunt auxilio.


Quarti libri finis.



ΠΕΔΑΚΙΟΥ ΔΙΟΣΚΟΡΙΔΟΥ ἈΝΑΖΑΡΒΕΩΣ, Περὶ ὕλης ἰατρικῆς βιβλίον πέμπτον.

PEDACII DIOSCORIDIS ANAZARBÆI, De medica materia Liber quintus.

IANO ANTONIO SARACENO LVGDVNÆO INTERPRETE.



Ἀποδόντες ἐν τοῖς προγεγραμμένοις τέτταρσι βιβλίοις, φίλτατε Ἄρειε, τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν ἐξ αὐτῶν καρπῶν τε καὶ δακρύων· ἔτι τε ζώων καὶ μέλιτος καὶ γάλακτος καὶ στεάτων, καὶ τῶν καλουμένων σιτηρῶν καὶ λαχάνων. καὶ τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων καὶ σπερμάτων λόγον. ἐν τούτῳ, τελευταίῳ ὄντι τῆς ὅλης πραγματείας, διαλεξόμεθα περὶ οἴνων τε καὶ τῶν καλουμένων μεταλλικῶν, ἀρξάμενοι ἀπὸ τῆς περὶ ἀμπέλου παραδόσεως. E F



Qvoniam superioribus quatuor libris, amicissime Aree, de aromatibus, oleis, vnguentis, arboribus & earundem fructibus atque lacrymis, itémque de animalibus, melle, lacte, adipe, cerealibus & oleribus egimus: necnon & vniuersam de radicibus, herbis, succis, seminibúsque tractationem absoluimus: in hoc totius operis vltimo, de vinis & iis quæ metallica dicuntur disseremus, à vitis tractatione ducto exordio.

De Vite vinifera. Cap. I.

VItis viniferæ folia cum clauiculis trita & imposita, capitis dolores mitigant, itémq; stomachi inflammationem & ardorem cum polenta. Idipsum etiam folia per se imposita præstant: quippe quæ refrigerandi astringendiq; vim habeant. Potus eorundem succus iuuat dysentericos, sanguinem excreantes, stomachicos, ac mulieres malacia laborantes. Eadem efficiunt macerati in aqua capreoli & poti. Lacryma vitium, quæ veluti gummi est, quæque circa illarum caudices concrescit, ex vino pota, calculos pellit: inuncta lichenas, psoras, leprásque nitro affricto præparatas sanat. Eadem cum oleo sæpius pilis illitis psilothri effectum habet, maximéque liquor quem accensa sarmenta vitium viridia exudarunt, quo & perunctæ myrmeciæ tolluntur. Cinis autem sarmentorum & vinaceorum, detractis circa sedem condylomatis & thymiis illitus ex aceto medetur. Prodest & luxatis ac viperarum morsibus: quin & contra lienis inflammationes proficit, cũ rosaceo, ruta & aceto impositus.

De Labrusca seu vite syluestri. Cap. II.

vel, minimè veras. LAbrusca duûm est generum: Altera enim vuam *ad incipientem maturitatem minimè perducit, sed flore tenus œnanthen nominatam profert. Altera ad frugem peruenit, paruis acinis, nigris & adstringentibus. Folia, caules & clauiculæ quibus repunt, vim habent satiuæ viti similem.

De Vua. Cap. III.

QVælibet vua recens aluum turbat, & stomachum inflat: quæ verò decerpta aliquandiu pependit, propterea quòd ea ventilatione magna humiditatis portio decessit, innocentior est, ac tum stomacho vtilis est, tum & appetentiam ciborum restituit, atque adeò ægris languentibúsve idonea est. In vinaceis & ollis seruatæ, ori stomachóque, gratæ sunt: aluum sistunt, (sed vesicam & caput tentant) & sanguinem excreantibus conueniunt. Similes porrò sunt & quæ in

A Περὶ Ἀμπέλου οἰνοφόρου. Κεφ. α΄.

ΑΜΠΕΛΟΥ οἰνοφόρου τὰ φύλλα καὶ αἱ ἕλικες λεῖαι καταπλασσόμεναι, κεφαλαλγίας πραΰνουσι, φλεγμονήν τε στομάχου καὶ καῦσιν σὺν ἀλφίτῳ· καὶ καθ' ἑαυτὰ ἐπιτιθέμενα τὰ φύλλα, *ψυκτικὰ V. corr. καὶ στυπτικὰ ὄντα. καὶ ὁ ἐξ αὐτῶν δὲ χυλὸς B ποθεὶς, ὠφελεῖ δυσεντερικοὺς καὶ αἱμοπτοϊκοὺς καὶ στομαχικοὺς καὶ κισσώσας. ἀποβραχεῖσαι δὲ καὶ αἱ ἕλικες *ἐν ὕδατι V. add. λεῖαι καὶ ποθεῖσαι, τὰ αὐτὰ ποιοῦσι. τὸ δὲ δάκρυον αὐτῆς ὅμοιον ὂν κόμμι, περιπηγνύμενον τοῖς στελέχεσι, *λίθους ἐκτινάσσει V. add. τὸ πινόμενον σὺν οἴνῳ· ἰᾶται δὲ καὶ λειχῆνας C καὶ ψώρας καὶ λέπρας καταχριόμενον. δεῖ δὲ προσνιτροῦν τὸν τόπον. σὺν ἐλαίῳ δὲ ἐγχριόμενον συνεχῶς, ψιλοῖ τὰς τρίχας, καὶ μάλιστα ὁ ἀπὸ τοῦ χλωροῦ καιομένου κλήματος ἀφιδρούμενος ἰχὼρ· ὃς καὶ μυρμηκίας ἐπιχριόμενος ἐκβάλλει. ἡ δὲ ἐκ τῶν κλημάτων καὶ στεμφύλων τέφρα, τὰ D περὶ δακτύλιον ἀφαιρεθέντα κονδυλώματα καὶ θύμια, σὺν ὄξει καταπλασθεῖσα θεραπεύει. καὶ στρέμματα, καὶ ἐχιοδήκτοις ὠφελεῖ, *καὶ σπληνὸς φλεγμονάς,] σὺν ῥοδίνῳ καὶ πηγάνῳ καὶ ὄξει καταπλασσομένη. V. corr.

Περὶ Ἀμπέλου ἀγρίας. Κεφ. β΄.

ΑΜΠΕΛΟΣ ἀγρία διττή. ἡ μὲν γὰρ B αὐτῆς οὐ περκάζει τὴν σταφυλὴν, ἄχρι δὲ ἀνθήσεως ἄγει τὴν λεγομένην οἰνάνθην. ἡ δὲ τις τελεσφορεῖ, μικρόρραγος οὖσα, καὶ μέλαινα, καὶ στυπτική. Δύναμιν δὲ ἔχει ταύτης τὰ φύλλα καὶ αἱ ἕλικες καὶ οἱ καυλοὶ, ὁμοίως τῇ ἡμέρῳ.

Περὶ Σταφυλῆς. Κεφ. γ΄.

F ΣΤΑΦΥΛΗ, ἡ μὲν πρόσφατος πᾶσα ἐκταράσσει *κοιλίαν, καὶ ἐμπνευματοῖ στόμαχον· ἡ δὲ ἐπὶ χρόνον τινὰ κρεμασθεῖσα, ὀλίγον μετέχει τούτων, (διὰ τὸ πολὺ τῆς ἰκμάδος ἀνεξηράνθαι) εὐστόμαχός τε ἐστὶ καὶ ὀρέξεως ἀνακλητική, καὶ ἐπιτήδειος πρὸς τοὺς ἀσθενοῦντας. αἱ δὲ ἐκ τῶν V. quidem add. πνεύμασι G *στεμφύλων καὶ ἐκ τῶν βικίων, εὔστομοι, εὐστόμαχοι, κοιλίας ἐφεκτικαί. (κύστεως δὲ καὶ κεφαλῆς ἅπτονται) ἁρμόζουσι δὲ καὶ αἱμοπτοϊκοῖς. ὅμοιαι δέ εἰσι καὶ αἱ εἰς τὸ Cor. γίγαρ

γλεύκους ἐμβαλλόμεναι. αἱ δὲ ἐκ τοῦ ἑψή-
ματος καὶ γλυκέος, κακοστομαχώτεραι.
σώζονται δὲ καὶ μετ' ὀμβρίου ὕδατος
προεσταφιδωθεῖσαι. γίνονται δὲ αἱ τοιαῦται
ἐπ' ὀλίγον οἰνώδεις, διψώδεσι δὲ καὶ καυ-
σώδεσι καὶ χρονίοις πυρετοῖς χρήσιμαι. τὸ
δὲ στέμφυλον αὐτῶν ἀποτεθὲν, καταπλάτ-
τεται μεθ' ἁλῶν πρὸς φλεγμονὰς καὶ σκλη-
ρίας καὶ σπάργωσιν μαστῶν· τὸ δὲ ἀφέψη-
μα τῶν στεμφύλων, δυσεντερικοὺς καὶ κοι-
λιακοὺς καὶ ῥοϊκὰς ὠφελεῖ ἐνιέμενον· καὶ
εἰς ἐγκαθίσματα καὶ προσκλύσματα
λαμβάνεται. Τὰ δὲ ἐξ αὐτῶν γίγαρτα
στυπτικὰ, εὐστόμαχα· φρυγέντα δὲ καὶ ἀντὶ
ἀλφίτου ἐπιπασσόμενα λεῖα, ἁρμόζει δυσ-
εντερικοῖς, καὶ κοιλιακοῖς καὶ τοῖς τὸν στό-
μαχον ἀναλελυμένοις.

Ald. γλεύκους

Corn. ῥοϊκὰ sup. [illegible]

Marc. μετὰ legendum suspicatur.

Περὶ Σταφίδος. Κεφ. δ'.

ΤΗΣ δὲ σταφίδος στυπτικωτέρα ἐστὶν ἡ λευκή· ὠφελεῖ δὲ καὶ ἡ σὰρξ αὐτῶν ἐσθιομένη ἀρτηρίας καὶ βῆχας καὶ νεφροὺς καὶ κύστιν· καὶ δυσεντερίαις σὺν τοῖς γιγάρτοις ἐσθιομένη καθ' ἑαυτήν· μιγεῖσα δὲ ἀλεύρῳ κεγχρίνῳ καὶ κριθίνῳ καὶ ᾠῷ, καὶ τηγανισθεῖσα μετὰ μέλιτος καὶ λαμβανομένη· εἴς τε ἀποφλεγματισμοὺς καθ' ἑαυτὴν καὶ σὺν πεπέρει μασσωμένη ἐστὶ τε. διδύμων τε φλεγμονὰς παύει, καταπλασθεῖσα μετὰ ἀλεύρου κυαμίνου, καὶ κυμίνου.] ἐπινυκτίδας δὲ καὶ ἄνθρακας καὶ κηρία καὶ τὰς περὶ ἄρθρα σηπεδόνας καὶ γαγγραίνας, χωρὶς γιγάρτων ἰᾶται λεία σὺν πηγάνῳ ἐπιτιθεμένη· πρός τε ποδάγρας ἁρμόζει, μετὰ τοῦ ὀποπάνακος καταπλασσομένη· καὶ ὄνυχας δὲ θᾶττον ἀφίστησι σαλευθέντας ἐπιπλασθεῖσα.

V. caret.

Περὶ Οἰνάνθης. Κεφ. ε'.

ΟἸΝΑΝΘΗ καλεῖται ὁ τῆς ἀγρίας ἀμπέλου καρπὸς, ὁπότε ἀνθεῖ. [ἀποτίθεσθαι δὲ δεῖ εἰς ἀκόνιτον ἀγγεῖον ὀστράκινον, συλλέγοντας καὶ ξηραίνοντας ἐπὶ ὀθονίου ἐν σκιᾷ. καλλίστη δὲ γίνεται ἐν Συρίᾳ καὶ Κιλικίᾳ καὶ Φοινίκῃ. Δύναμις δὲ αὐτῆς στυπτική· ὅθεν πινομένη, εὐστόμαχος καὶ οὐρητική, κοιλίας ἐφιστῶσα καὶ αἵματος πτύσιν. ξηρὰ δὲ καταπλασθεῖσα, καὶ πρὸς

Ista sequentibus iungenda putat Manardus.

A mustum coniectæ fuere. At quæ in sapa aut passo conditæ sunt, stomachum magis infestant. Seruantur & in aqua cœlesti quæ priùs solem passæ fuerint: sed eæ parum vinosæ sunt, siticulosis tamen, ardentibus ac diuturnis febribus vtiles. Reconditi vinacei, inflammatis, præduris lacteq; turgentibus mammis cum
B sale imponuntur. Eorundem decoctum infusum, dysentericos iuuat & cœliacos, itémque fœminas fluxione vuluæ laborantes: sed & ad desessiones ac fotus vsurpatur. Ceterùm acinorum nuclei astringendi vim obtinent, stomachóque sunt vtiles: iidem tosti tritíque ac polentæ vice inspersi, dysentericis prosunt,
C itémque cœliacis ac stomachi dissolutione vexatis.

De Vua passa.

Cap. IIII.

VVA passa alba adstringentior est. Prodest esitata earum caro arteriæ, tussi, renibus ac vesicæ. Estur & cum nucleis per se contra
D dysenteriam, itémque admista milij ac hordei farina & ouo, in sartagine cum melle fricta sumitur. Sed & eadem ad eliciendam è capite pituitam tum per se, tum etiam cum pipere commanducata proficit. Testium quoque inflammationes sedat imposita cum lométo fabarum & cumini farina. Epinyctidas verò,
E carbunculos, fauos, putrescentiáq; articulorum vlcera, atque gangrænas sine nucleis trita & cum ruta illita sanat. Conuenit & podagræ cum panacis succo adhibita: deniq; & mobiles vngues illita celeriùs extrahit.

De OEnanthe.

F *Cap. V.*

OENANTHE vocatur, vitis syluestris fructus cùm floret. Condi verò debet in vas fictile non picatum, lecta priùs, & substrato linteo in vmbra siccata. Laudatissima in Syria, Cilicia & Phœnice. Vis ei astrictoria: quare pota, stomacho ac cien
G dæ vrinæ vtilis, aluũ sistit ac sanguinis excreationes. Contra fastidia &

acorem ſtomachi ſicca & illita etiã efficax eſt. At in capitis doloribus tam viridis quàm ſicca cum aceto & roſaceo perfunditur. Cruenta vulnera & incipientes ægilopas, oris vlcera & verendorum nomas, trita & additis melle, croco, myrrha & roſaceo adhibita pro cataplaſmate, ab inflãmatione vindicat. Peſſis quoque ammiſcetur, ad cohibendum ſanguinem: & contra oculorum fluxiones ſtomachique ardores cum polline polentæ ac vino illinitur. Cinis verò crematæ in teſta candentibus prunis, facit ad oculorum medicamenta: quin & paronychias, pterygia, abſcedẽtes cruoreq; manantes gingiuas cũ melle ſanat.

De Omphacio. Cap. VI.

OMPHACIVM ſuccus eſt acerbæ vuæ ſeu Thaſiæ ſeu Aminææ nondum variantis. Oportet autem ante Canis ortum expreſſum ſuccum in aheno ex ære rubro, quod linteo ſit coopertum, inſolare, vſquedum in denſitatem coëat, intereáque ſemper totum id quod ipſi vaſi concretum adhæſerit liquido reliquo permiſcere, atque noctu ipſum à locis ſubdialibus ſub tectum referre: quandoquidem obſtant nocturni rores, quominùs ſpiſſeſcat cogatúrve. Eligendum eſt flauum, friabile, perquàm aſtringens & linguam mordens. Sunt qui coctione ſuccum condenſent. Prodeſt contra tonſillas, vuam, oris vlcera, gingiuas humore flaccidas, purulẽtáſque aures, cum melle aut paſſo: item ad fiſtulas, vetera vlcera nomáſque, ex aceto. Dyſentericis & mulieribus fluxione vuluę laborantibus clyſtere infunditur. Oculorũ quoque claritati cõfert, eorundẽmque ſcabritiæ anguliſque arroſis cõuenit. Bibitur & ad recentem ſanguinis excreationem, etiam ex ruptis vaſis obortam. Sed eo admodũ diluto & pauco vtendum: ſiquidem potenter exurit.

De Vini natura pro ætatis ratione. Cap. VII.

VINA vetuſta neruos reliquáque ſenſuum inſtrumenta, lædunt, attamẽ guſtu ſuauiora iucundioráq; ſunt: quare vitãda iis qui internę alicui⁹ partis imbecillitatẽ ſentiũt,

A πρὸς ἀσώδη καὶ ὀξύνοντα στόμαχον ποιεῖ. ἔστι δὲ καὶ κεφαλαλγίαις ἔμβρεγμα, σὺν ὄξει καὶ ῥοδίνῳ χλωρά τε καὶ ξηρά· κατάπλασμά τε ἐναίμων ἀφλέγμαντον, καὶ τῶν ἀρχομένων αἰγιλώπων, καὶ τῶν ἐν στόματι οὐλῶν, καὶ νομῶν τῶν ἐν αἰδοίοις, σὺν μέλιτι καὶ κρόκῳ καὶ ῥοδίνῳ καὶ B σμύρνῃ λεανθεῖσα. εἴς τε πεσσοὺς μίγνυται πρὸς ἐπίσχεσιν αἵματος. καὶ πρὸς ῥεύματα ὀφθαλμῶν καὶ καυσούμενον στόμαχον καταπλάσσεται σὺν παιπάλῃ ἀλφίτου καὶ οἴνου. καυθεῖσα δὲ ἐπ' ὀστράκου διαπύροις ἄνθραξι, ποιεῖ πρὸς τὰ ὀφθαλμικά· παρωνυχίας τε καὶ πτερύγια καὶ οὖλα ἀφεστῶτα C καὶ αἱμασσόμενα σὺν μέλιτι θεραπεύει.

Περὶ Ὀμφακίου. Κεφ. ϛ'.

ΟΜΦΑΚΙΟΝ, ἔστι μὲν χυλὸς ὄμφακος Θασίας σταφυλῆς μήπω περκαζούσης, ἢ Ἀμιναίας. δεῖ δὲ πρὸ κυνὸς ἐκθλίβοντα τὸν χυλὸν ἡλιάζειν ἐν χαλκώματι ἐρυθρῷ ἐσκεπασμένῳ ὀθονίῳ, D μέχρις οὗ συστραφῇ, ὅλον ἀεὶ τὸ περιπηγνύμενον μίσγοντα τῷ ὑγρῷ· νύκτωρ δὲ αἴρειν αὐτὸ ἀπὸ τοῦ ὑπαιθρίου. κωλύουσι γὰρ αἱ δρόσοι τὴν σύστασιν αὐτοῦ. ἐκλέγου δὲ τὸ ξανθὸν, καὶ εὔθρυπτον, στύφον ἱκανῶς καὶ δάκνον τὴν γλῶσσαν. ἔνιοι δὲ ἕψοντες τὸν χυλὸν συστρέφουσιν. Ἁρμόζει δὲ πρὸς παρίσθμια καὶ σταφυλὴν, E ἄφθας, οὖλα πλαδαρά, ὦτα πυορροοῦντα, σὺν μέλιτι ἢ γλυκεῖ· πρὸς δὲ σύριγγας καὶ παλαιὰ ἕλκη καὶ νομὰς, σὺν ὄξει. ἐγκλύζεται δὲ ἐπὶ δυσεντερικῶν καὶ ῥοικῶν· ἔστι δὲ καὶ ὀξυδερκές. παχύτησι δὲ ὀφθαλμῶν ἁρμόζει καὶ περιβρώσεσι κανθῶν. πίνεται καὶ πρὸς αἵματος πτύσιν τὴν πρόσφατον F καὶ κατὰ ῥῆξιν γινομένην. ὑδαρεῖ δὲ δεῖ χρῆσθαι λίαν καὶ ὀλίγῳ. ἐπικαίει γὰρ ἱκανῶς.

al. αἰθρίου. V. αὐτοῦ. V. στρυφνόν. al. παχύτησι τῶν ὀφθαλμῶν. V. ποιεῖ.

Περὶ ποιότητος τῶν οἴνων ἐκ τῆς ἡλικίας. Κεφ. ζ.

ΟἼΝΟΙ οἱ μὲν παλαιοὶ, νεύρων βλαπτικοὶ καὶ τῶν λοιπῶν αἰσθητηρίων, G πρὸς δὲ γεῦσιν ἡδίονες· ὅθεν ἐπὶ τῶν ἀσθενές τι μέρος ἐχόντων ἔνδον παραιτητέοι.

Mellon ἐμπνευματωτικός

ἐπὶ μέν τοι τῆς ἐν ὑγιείᾳ χρήσεως ὀλίγος A
τέ καὶ ὑδαρὴς λαμβάνεται ἀβλαβῶς. ὁ δὲ
νέος, ἐμπνευματικός, δύσπεπτος, δυσόνει-
ρος, οὐρητικός. ὁ δὲ μέσος τῇ ἡλικίᾳ, ἐκ-
πέφευγε τὰ ἀμφότερα ἐλαττώματα· ὅ-
θεν ἐκκριτέος ἐστὶν ἔν τε ὑγιείας καὶ ἀσθε-
νείας χρήσεσιν.

Ἐκ τῆς χρόας. Κεφ. η'. B

Lac. legit in v. cod. [illegible]

Ἔτι ὁ μὲν λευκός, λεπτός τε καὶ εὐανά-
δοτος καὶ εὐστόμαχος ὑπάρχει. ὁ δὲ μέ-
λας, παχὺς καὶ δύσπεπτος, μέθης καὶ σαρ-
κῶν θρεπτικός. ὁ δὲ κιῤῥὸς μέσος ὤν, μέ-
σην ἔχει καὶ τὴν πρὸς ἑκάτερα τούτων
δύναμιν. αἱρετώτερος μέν τοι ἔν τε ὑγιείᾳ
καὶ ἀσθενείᾳ ὁ λευκός· ἔτι καὶ πρὸς τὴν ποιό- C
τητα διαφέρουσιν.

Ἐκ τῆς γεύσεως καὶ τῶν μεμιγμένων.
Κεφ. θ'.

V. caret.

Ὁ μὲν γὰρ γλυκὺς οἶνος, ἁδρομερής τε
ἐστὶ καὶ δυσδιάπνευστος· στομάχου πνευ-
ματωτικός. κοιλίας τε καὶ ἐντέρων τα-
ρακτικός, ὥσπερ καὶ τὸ γλεῦκος· ἧττον δὲ D
μεθύσκει. κύστει δὲ καὶ νεφροῖς εὔθετος. ὁ δὲ
αὐστηρός, οὐρητικώτερος· κεφαλαλγίας τε
καὶ μέθης ποιητικός. ὁ δὲ στρυφνός, εὐθετώ-
τατος πρὸς ἀνάδοσιν σιτίων· κοιλίας τε
σταλτικός, καὶ τῶν ἄλλων ῥευματισμῶν. ὁ δὲ
ἁπαλός, ἧττον ἅπτεται τῶν νευρωδῶν, καὶ
ἧττον ἐστὶν οὐρητικός. ὁ δὲ τεθαλασσωμέ- E
νος, κακοστόμαχος, διψοποιός, νεύρων κα-
κωτικός, εὐκοίλιος, ἀνεπιτήδειος τοῖς ἐξ ἀ-
σθενείας. ὁ δὲ ἐκ τῆς θειλοπεδευθείσης
σταφυλῆς, ἢ ἐπὶ τῶν κλημάτων ὀπτηθείσης
καὶ τειβομένης γινόμενος, γλυκὺς κα-
λούμενος Κρητικὸς ἢ πρότροπος ἢ πρά-
μνιος· καὶ ὁ καθεψομένου τοῦ γλεύκους σεί- F
ραιος, ἢ ἕψημα καλούμενος. ὁ μὲν μέλας,
καλούμενος δὲ μελαμψίθιος, παχύς ἐ-
στι καὶ πολύτροφος· ὁ δὲ λευκός, λεπτό-
τερος. ὁ δὲ μέσος, μέσην ἔχει καὶ τὴν
δύναμιν. στυπτικὸς δὲ πᾶς ἐστι, σφυ-
γμῶν ἀνακτητικός· ποιῶν πρὸς πάν-
τα τὰ θανάσιμα ὅσα κατ' ἕλκωσιν ἀναι- G
ρεῖ, πινόμενος σὺν ἐλαίῳ καὶ ἐξεμού-
μενος· καὶ πρὸς μηκώνειον δὲ καὶ φαρικόν,

Cornari' ἁπλῶς legendum suspicatur.
Lac. vetus exemplar habet, [illegible]. quam is Diosc. genuinã esse lectionẽ autumat.
V. caret.
Ald. μελαμψίθιος

Nihilominus in secunda valetudine vinum eiusmodi paucum & aqua dilutum innoxiè sumitur. At nouũ inflationes parit, ægrè coquitur, grauia facit insomnia, vrinásque ciet. Quod verò ætate medium est, vtroque illo vitio caret, proindéque ad vsum sanorum ægrorúmque deligendum.

Pro ratione coloris. Cap. VIII.

Insuper album est tenue ac stomacho vtile, faciléque in membra diuiditur. Nigrum verò, crassum est & ad concoquendum difficile, temulentiam facit & corpus auget. Fuluum, vtpote quod medium est, medias etiam inter vtrunque vires obtinet. Album tamen tum in secunda, tum & in aduersa valetudine laudabilius. Sed & vina sapore distant.

Pro saporum eorúmque quæ illis miscentur differentia. Cap. IX.

Siquidem dulce crassis partibus constat & ægrè de corpore expirat, stomachum inflat, aluum & intestina, vti & mustum, turbat: sed minùs inebriat, vesicæ ac renibus aptum. Austerum vrinas magis expellit, sed capitis dolorem facit, ac temulentiam gignit. Acerbum ad ciborum per membra digestionem accommodatissimum: aluum cæterásque fluxiones cohibet. At vinum molle & sapore languidum, neruos minùs tentat, minúsque vrinas pellit. Vinum porrò aqua marina factũ stomacho aduersatur, sitim facit, neruos infestat, bonam facit aluum & à valetudine sese recolligentibus haudquaquã idoneum est. Passum autẽ quod vuis in cratibus sole siccatis aut in ipso sarmento torrefactis exprimitur, Creticum cognomine, aut protropum aut pramniũ, itémque sapa quæ fit musto igni decocto, Græci Siræon seu hepsema appellant: nigra quidem si fuerint, qualia melampsithia dicuntur, crassa sunt & corpora multum alũt: at candida, tenuiora: quæ verò medio inter hæc colore sunt, medias quoque vires sortiuntur. Omnia tamen astringunt, languidos pulsus excitant, & faciunt aduersus venena quæcunque exulcerando necant, ex oleo pota & vomitionibus reddita: itemq; cõtra meconiũ, pharicũ,

toxicum, cicutam & lactis in vētriculo coagulationem: necnon & cōtra renum ac vesicæ rosiones & exulcerationes: nihilominus inflationes pariunt, & stomacho aduersantur. Priuatim cōfert Melampsithium iis qui alui fluxione laborāt. Album magis cæteris emollit aluū. Gypso conditum neruos offendit, capitis grauitatē infert, viscera calore accendit, & vesicæ aduersatur: sed contra venena cæteris aptius. Picata aut resinata excalfaciunt & cōcoctionē adiuuāt, sanguinem excreantibus inimica. Quæ verò aparachyta, hoc est, maris expertia dicuntur, & sapam tamen admistam recipiunt, caput implent, temulentiam gignunt, de corpore difficulter expirāt, & stomachum malè habent.

Pro locorum differentia. C. X.

Inter Italica vina Falernū principem locum obtinet: quod inueteratum per quam facilè concoquitur, pulsus recreat & exuscitat, aluū astringit, stomacho vtile: sed vesicę nocet, atq; iis qui visus hebetudinē sētiūt, liberaliori potationi minimè idoneū. Albanū crassioribus quàm Falernum cōstat partibus, *subdulceq́; est, stomachum inflat & aluum emollit: sed cōcoctionem nō æquè adiuuat, neruosum verò gen' minùs infestat. Sed & hoc ipsum vetustate austerum saporē concipit. Cæcubū cùm sit dulce, est & Albano crassius, corpus auget, & colorē cutis meliorem lætiorémque facit: at iuuandæ concoctioni minimè idoneum est. Surrētinum valde austerū est: quare intestinorum & stomachi fluxiones cohibet, & cùm tenuibus cōstet partibus, caput minùs tētat: vetustate autem & stomacho vtile & iucūdioris euadit saporis. Adrianum & Mamertinum, quæ quidem in Sicilia gignuntur, ex æquo crassarum sunt partium, modicè astringunt & celeriùs inueterātur, minúsque ob suam lenitatem neruos tētant. Prætutianum, quod & ipsum è locis circū Adriam deuehitur, est odoratū ac minùs asperum: haustum copiosius eo sese prodit indicio, quòd & ebrietatem diu seruat, & soporē cōciliat. Istricum Prætutiano simile est, sed vrinam vehementiùs pellit.

Al. prædulce.

A καὶ τοξικὸν, καὶ κώνειον, καὶ γάλα θρομβωθέν· καὶ πρὸς κύστιν καὶ νεφροὺς ὀδαξωμένους καὶ εἱλκωμένους. εἰσὶ δὲ *πνευματικοὶ καὶ κακοστόμαχοι. ἰδίως δὲ ἐπὶ τῶν τὴν κοιλίαν ῥευματιζομένων ἁρμόζει ὁ *Μελάμψιθος. ὁ δὲ λευκὸς μαλακτικὸς κοιλίας τῶν ἄλλων μᾶλλον. ὁ δὲ τὴν γύψον ἔ-
B χων, κακωτικὸς τῶν *νεύρων, καρηβαρικὸς, πυρώδης, κύστει ἄθετος· πρὸς δὲ τὰ θανάσιμα τῶν ἄλλων εὐθετώτερος. οἱ δὲ πίσσαν ἢ ῥητίνην πιτυΐνην ἔχοντες, θερμαντικοὶ, καὶ πεπτικοί· ἄθετοι δὲ τοῖς *αἱμοπτοϊκοῖς. οἱ δὲ καλούμενοι ἀπαράχυτοι, ἔχοντες δὲ ἕψημα μεμιγμένον, κεφαλῆς εἰσὶ πληρωτικοὶ,
C μέθης γεννητικοὶ, *δυσδιαπνευστοι, κακοστόμαχοι.

V. [illegible] lego, [illegible]
V. μέλας.
V. τὰ νεῦρα.
V. [illegible]
V. add. φυσώδεις.
Add. in vet. Lac. codice, [illegible], φορτικοὶ καὶ φυσώδεις.

Περὶ διαφορᾶς ἐκ τῶν τόπων. Κεφ. ι.

Ὁ μὲν οὖν δοκῶν πρωτεύειν τῶν ἐν Ἰταλίᾳ οἴνων, Φάλερνος δὲ καλούμενος, παλαιωθεὶς ἄγαν *εὔπεπτος, σφυγμῶν ἀνα-
D κλητικὸς, κοιλίας στεγνωτικὸς, καὶ εὐστόμαχος· κύστει ἄθετος, καὶ *ἀμβλυωποῦσι, καὶ πρὸς πολυποσίαν ἀνεπιτήδειος. ὁ δὲ Ἀλβανὸς *ἁδρομερέστερος τοῦ Φαλέρνου, ἔγγλυκος· ἐμπνευματῶν στόμαχον, κοιλίαν τε μαλάττων. (πέψει τε οὐχ ὁμοίως συνεργῶν) τοῦ δὲ νευρώδους ἧττον κακωτικός· πα-
E λαιωθεὶς δὲ καὶ οὗτος αὐστηρὸς γίνεται. ὁ δὲ Καίκουβος γλυκὺς ὤν, ἁδρομερέστερός ἐστι τοῦ Ἀλβανοῦ· σαρκῶν τε καὶ εὐχροίας γεννητικός· πέψει δὲ ἄθετος. ὁ δὲ Συρεντῖνος, αὐστηρὸς ἱκανῶς ἐστιν· ὅθεν ἐντέρων καὶ στομάχου ῥεῦμα ἵστησι, κεφαλῆς τε *ἧττον ἅπτεται, λεπτομερὴς ὤν· παλαιωθεὶς δὲ, *εὐστόμαχος καὶ ἡ-
F δίων γίνεται. ὁ δὲ Ἀδριανὸς καὶ ὁ Μαμερτινὸς γεννώμενοι ἐν Σικελίᾳ, κατ' ἴσον εἰσὶν ἁδρομερεῖς, μετρίως στύφοντες, καὶ τάχιον παλαιοῦνται, ἧττόν τε τοῦ νευρώδους ἅπτονται, διὰ τὸ ἐν αὐτοῖς *λεῖον. ὁ δὲ Πραιτιανὸς, καὶ αὐτὸς ἐκ τῶν κατ' Ἀδρίαν κομιζόμενος τόπων, εὐώδης καὶ *λειότερός ἐστιν. οὐ δὲ
G λανθάνει πολὺς πινόμενος, φυλάττει τε ἐφ' ἱκανὸν τὴν μέθην, καὶ καροῖ. ὁ δὲ Ἰστρικὸς λεγόμενος, ἔοικε τῷ *Πραιτιανῷ, οὐρητικώτερος ὑπάρχων.

al. ἄποτος. Marc. ἄποτος legendũ suspicatur.
V. quid. αἰσθητικοῖς.
V. ἁδρομερέστερος.
V. ἄκαταστις. Sic Lac.
V. δυσστομαχώτερος.
Vulg. ex. λιπαρόν.
V. quid. λεπτότερος.
V. [illegible]

ὁ μέν τοι Χῖος, ἁπαλώτερος τῶν προειρημένων, εὔτροφος, πότιμος, ἧττον μεθύσκων, ῥεύματος σταλτικός, χρήσιμος εἰς τὰ ὀφθαλμικά· ὁ δὲ Λέσβιος, εὐανάδοτος, κουφότερος τοῦ Χίου καὶ εὐκοίλιος. τὴν αὐτὴν δὲ τούτῳ κέκτηται δύναμιν ὁ κατὰ Ἔφεσον γινόμενος, καλούμενος δὲ Φυγελίτης· ὁ δὲ ἐκ τῆς Ἀσίας Μεσογίτης ἐκ τοῦ Τμώλου, κεφαλαλγὴς καὶ νεύρων βλαπτικός. ὁ δὲ Κῷος, καὶ Κλαζομένιος, διὰ τὸ θαλάττης πολλῆς μετέχειν, εὔφθαρτος καὶ ἐμπνευματώδης, κοιλίας τε ταρακτικὸς νεύρων ἐστὶ βλαπτικός. A B

Chium antedictis mollius est, probè nutrit, potui aptum est, ac minùs inebriat: fluxiones cohibet, oculorum medicamentis vtile. Lesbium facilè membra subit, Chio leuius, & aluo idoneum. Ephesium eandem vim habet, quod Phygelites nominatur. Verùm Asianum è Tmolo monte, Messogites appellatum, capitis dolorem affert ac neruos lędit. Coum verò & Clazomenium, quoniam copiosam maris aquam admixtam habent, facilè corrumpuntur, inflationes excitant, aluum turbant, ac neruis officiunt.

Περὶ Δυνάμεως τῶν οἴνων.
Κεφ. ια'.

C Κοινῶς δὲ πᾶς ἀμιγὴς οἶνος καὶ ἀκέραιος, αὐστηρὸς δὲ τὴν φύσιν, θερμαντικός, εὐανάδοτος, εὐστόμαχος, ὀρεκτικός, θρεπτικός, ὑπνοποιός, ῥωστικός, εὐχροίας παρασκευαστικός. ἱκανῶς δὲ ποθείς, βοηθεῖ τοῖς κώνειον, ἢ κόριον, ἢ φαρικὸν, ἢ ἰξίαν, ἢ μηκώνιον, ἢ λιθάργυρον, ἢ σμίλακα, ἢ ἀκόνιτον, ἢ μύκητας εἰληφόσι. πρός τε ἑρπετῶν δήγματα καὶ πληγὰς πάντων, ὅσα πλήξαντα ἢ δακόντα κατὰ ψύξιν ἀναιρεῖ ἢ ἀνατρέπει στόμαχον. ποιεῖ καὶ πρὸς ἐμπνευμάτωσιν χρονίαν καὶ δῆξιν ὑποχονδρίου καὶ πλατυσμόν, καὶ λύγγα στομάχου, ἐντέρων τε καὶ κοιλίας ῥευματισμόν. καὶ ἐφιδροῦσι, καὶ διαφορουμένοις ἁρμόζουσι, μάλιστα δὲ οἱ λευκοὶ καὶ παλαιοὶ καὶ εὐώδεις. οἱ μέν τοι παλαιοὶ καὶ γλυκεῖς, καὶ πρὸς τὰ περὶ κύστιν καὶ νεφροὺς ἐπιτηδειότεροι. πρός τε τραύματα καὶ φλεγμονὰς, σὺν ἐρίοις οἰσυπηροῖς ἐπιτιθέμενοι. καταντλοῦνται δὲ ὠφελίμως πρὸς τὰ θηριώδη καὶ φαγεδαινικὰ καὶ ῥευματιζόμενα ἕλκη. πρὸς δὲ τὴν ἐν ὑγιείᾳ χρῆσιν εὔθετοι οἱ ἀθάλασσοι, αὐστηροὶ καὶ λευκοί. διαφέρουσι δὲ τούτων οἱ Ἰταλικοί. ὡς ὁ Φαλέρινος, Συρεντῖνος καὶ Καίκουβος, ὅ,τε Σιγνῖνος καὶ ἄλλοι πολλοὶ οἱ ἀπὸ τῆς Καμπανίας, καὶ ὁ * Πραιτιανὸς ἀπὸ τοῦ * Ἀδριανοῦ, καὶ Σικελιωτικὸς, ὁ Μαμερτῖνος καλούμενος. ἑλληνικῶν δὲ Χῖος, Λέσβιος, Φυγελλίτης ὁ ἐν Ἐφέσῳ γινόμενος. D E F G

V. quid. [illegible]

Marc. λύσιν legendum suspicatur: quo modo etiam legisse videtur Ruellius.

V. φαλερῖνος

V. [illegible]

De vini generum facultate.
Cap. XI.

In vniuersum vinum omne meracum & sincerum ac sua natura austerum, excalfacit, facilè in membra distribuitur, stomacho conuenit, appetentiam ciborum inuitat, corpus alit, somnum conciliat, robur auget & colorem commendat. Potum liberaliùs, auxilio est cõtra assumptam cicutam, coriandrũ, pharicum, ixiam, meconium, argẽti spumam, taxum, aconita, fungósve: nec minùs contra serpentium morsus & omnium ictus morsúsve, quæ refrigerando necant aut stomachũ in vomitiones effundunt. Facit & ad diuturnam hypochondrij inflationem, rosionem atque distentionem: itémque singultum, ac stomachi, intestinorũ & ventris rheumatismos. Vina cõueniũt sudatoribus & quibus corpus immodico sudore digeritur, maximè quæ sunt alba vetera & odorata. At quæ sunt vetusta simul & dulcia, renum ac vesicæ vitijs sunt accõmodatiora: necnon vulneribus inflammationibúsque in succida lana commodè imponuntur. Quin & iisdem fera, phagedænica & affluentibus humoribus irrigua vlcera vtiliter fouentur. Porrò vina quibus aquæ marinæ nihil additum est, austera & alba, ad sanorum victus commodè vsurpantur. In his præstant Italica: vti Falernum, Surrentinum, Cæcubum, & permulta alia è Campano agro, itémque Prætutianum, Adrianum & Siculum, quod Mamertinum appellatur. Ex Græcis, Chium, Lesbium & Phygelites, quod in Epheso gignitur.

Crassa verò & nigra, stomacho aliena sunt, flatúsque pariunt: attamen corpus augent. Tenuia autem & austera, stomacho quidem prosunt, sed carnes minùs alunt. At quę sunt valde vetera, tenuia & candida, vehementiùs vrinas ciunt, & dolores capitis inferunt, neruosúmque genus largiùs pota tentant. In media ætate, vt à septimo anno, potui saluberrima sunt. Modus autem pro ætate, anni tempestate, consuetudine & qualitate vini decernatur. Optimè verò præcipitur, vt ne sitis immodica toleretur, & tantum potionis adhibeatur, quantum proluendis cibis sat sit. Siquidem ebrietas omnis, maximéque iugis frequentiórve, perniciosa. Enimuerò largior perpotatio neruos obsessos in dies remittere, morborúmque acutorum initia quotidie introducere consueuit. Attamen moderatè aliquot diebus vino indulgere, maximéque post aquæ potum, vtile. Ita nanque modo quodã quæ sub sensum deinde cadunt recrementa ex alto euocantur, & per cęca corporis spiracula repurgantur. Sed illi perpotationi aquam superbibere par est: siquidem medicationis alicuius gratia factę ex composito temulentiæ remedium affert.

De vino Omphacite. Cap. XII.

VINVM quod Omphacites appellatur, peculiariter fit in Lesbo, vua nondum planè matura, sed adhuc acerba, ad tres quatuórve dies in cratibus siccata Sole, donec racemi in rugas cõtrahantur. Ex iis postquam expressum est vinum, cadis *insolatur. Vim habet astringendi, stomacho amicam, & malacia laborantibus, ileosis, ægrè concoquẽtibus & stomachi dissolutione vexatis vtilem. Creditur & absorptũ pestilẽtibus affectibus auxiliari. Cęterùm huiusmodi vina non nisi post annos complures potui apta sunt.

H. sole insolatur.

De vino secundario & adynamo. Cap. XIII.

LORA, quam Græci deuterian, alij potimon appellant, paratur hunc in modum. In vinacea è quibus vini triginta metretæ expressæ fuerint, tres aquę metretas adiicito: ac vbi vinacea ipsa versaueris calcaueríſque, exprimito: expressum decoque ad tertias partes, & in singulos

A Οἱ δὲ παχεῖς καὶ μέλανες κακοστόμαχοι, φυσώδεις, σαρκὸς μέντοι θρεπτικοί. Οἱ μέντοι λεπτοὶ καὶ αὐστηροὶ, εὐστόμαχοι, ἧττον δὲ σαρκοποιοί. οὐρητικώτεροι δὲ καὶ κεφαλαλγεῖς οἱ σφόδρα παλαιοὶ καὶ λεπτοὶ καὶ λευκοὶ, ἅπτονται δὲ τῶν νευρωδῶν πλεονασθέντες. οἱ μέσοι δὲ τὴν ἡλικίαν, ἄριστοι

V. add. καὶ χείρω διαδίδονται.

B πρὸς πᾶσιν. ὡς οἱ ἀπὸ ζ' ἐτῶν. ἡ δὲ ποσότης, παρὰ τὴν ἡλικίαν καὶ τὴν τοῦ ἔτους ὥραν, καὶ ἔθη καὶ ποιότητα τοῦ οἴνου, ὁριζέσθω. καὶ τὸ μὴ διψῆν δὲ ἄριστόν ἐστι παράγγελμα, καὶ τὸ μετρίως βρέχεσθαι τῆς τροφῆς. μέθη δὲ πᾶσα, καὶ μάλιστα ἡ συνεχὴς, ἐπιβλαβής· τά τε γὰρ νεῦρα πολιορ-

V. παράπηγμα

C κούμενα καθ' ἑκάστην ἐνδίδωσι, καὶ παθῶν ὀξέων ἀρχὰς ἐμποιεῖ καθημέραν ἡ πολυποσία. μετρίως δὲ οἰνοῦσθαι ἐπί τινων ἡμερῶν, καὶ μάλιστα ἐπὶ ὑδροποσίας, ὠφέλιμον· μετασυγκρίνει γάρ πως, τάς τε αἰσθητὰς ἀνακαθαίρει ἐκκρίσεις, καὶ ἀδήλως πoροποιεῖ. δεῖ μέντοι γε μετὰ τὴν οἴνωσιν ὕδωρ πίνειν ἀ-

V. ἀφ' ὑδροποσίας.

D ποθεραπείας γάρ τινος χάριν τῆς συνεχομένης οἰνώσεως, τρόπον ἐπάγει βοηθείας.

V. περὶ τῆς συγκινήσεως ἕνεκεν ἐπάγει. Deest in Ald. χάριν

Περὶ Ὀμφακίτου οἴνου. Κεφ. ιβ'.

Ὁ δὲ καλούμενος Ὀμφακίτης σκευάζεται ἰδίως ἐν Λέσβῳ, ἡλιοπεδευομένης μήπω κατὰ πάντα πεπείρου τῆς σταφυλῆς οὔσης, ἔτι δὲ ὀξιζούσης, ἐπὶ ἡμέρας

E γ' ἢ δ'. ἕως ἂν ῥυσσωθῶσιν οἱ βότρυες, καὶ μετὰ τὸ ἐκθλιβῆναι ἡλιάζεται ἐν κεραμίοις οἶνος. Στυπτικὴν δὲ ἔχει τὴν δύναμιν καὶ εὐστόμαχον, καὶ κισσώδεσι καὶ εἰλεώδεσι, καὶ τοῖς δυσπέπτοις καὶ ἐκλελυμένοις τὸν στόμαχον ἁρμόζουσιν· δοκεῖ δὲ καὶ λοιμικαῖς διαθέσεσι βοηθεῖν καταρ-

F ῥοφούμενος. χρῄζουσι δὲ οἱ τοιοῦτοι οἶνοι ἐτῶν πλειόνων· ἄλλως γὰρ οὐκ εἰσὶ πότιμοι.

Al. ποτιμοί

Περὶ Δευτερίας καὶ ἀδυνάμου. Κεφ. ιγ'.

Ὁ δὲ καλούμενος δευτερίας, ὃν ἔνιοι πότιμον καλοῦσι, σκευάζεται τοῦτον τὸν τρόπον· εἰς τὰ στέμφυλα, ὧν ἐξέθλιψας οἴνου μετρητὰς λ'. βάλε ὕδατος μετρητὰς γ'. καὶ

G μίξας καὶ πατήσας ἔκθλιψον, καὶ ἀφέψησον εἰς τὸ τρίτον. χρὴ δὲ ἑκάστῳ τῶν

ἀποληφθέντων μετὰ τὴν μῖξιν δὶς ξέστας β´. καὶ μετὰ τὸν χειμῶνα διηθεῖ εἰς κεράμια. χρῶ δὲ αὐτῷ μετ' ἐνιαυτόν· ταχέως γὰρ ἐξίτηλος γίνεται. ἁρμόζει δὲ ἐφ' ὧν διστάζομεν οἶνον διδόναι, ἀναγκαζόμενοι δι' ἐπιθυμίαν τοῦ νοσοῦντος, καὶ ἐπὶ τῶν ἐκ νόσων ἀναλαμβανόντων χρονίως. Γίνεται δὲ καὶ ἀδύναμος λεγόμενος, τὴν αὐτὴν ἔχων τῷ δευτερείῳ δύναμιν. δεῖ δὲ ἴσον μέτρον ὕδατος τῷ τοῦ γλεύκους μίξαντας, ἑψῆσαι πραέως πυρὶ μαλακῷ, ἄχρις ἂν ἐξαναλωθῇ τὸ ὕδωρ· καὶ μετὰ τοῦτο ψύξαντας, καταγγίζειν εἰς ἀγγεῖον πεπισσωμένον. ἔνιοι δὲ θαλάττης πελαγίας καὶ ὕδατος ὀμβρίου καὶ μέλιτος καὶ γλεύκους ἴσα μίξαντες καὶ καταγγίσαντες, ἡλιάζουσιν ἐπὶ ἡμέρας μ´. χρῶνται δὲ αὐτῷ πρὸς τὰ αὐτὰ μετ' ἐνιαυτόν.

Περὶ Οἴνου ἐκ τῆς ἀγρίας σταφυλῆς. Κεφ. ιδ´.

Ο Δὲ ἐκ τῆς ἀγρίας σταφυλῆς μέλας, στυπτικὸς ὑπάρχων, ἁρμόζει κοιλίᾳ ῥευματιζομένῃ, καὶ στομάχῳ· καὶ πρὸς τὰ ἄλλα ὅσα στύψεως καὶ συστολῆς χρῄζει.

Περὶ Μελιτίτου οἴνου. Κεφ. ιε´.

ΟΙΝΟΣ Μελιτίτης δίδοται μὲν ἐν χρονίοις πυρετοῖς, ἀσθενῆ στόμαχον ἔχουσιν· ὑπομαλάττει γὰρ τὴν κοιλίαν, οὖρα κινεῖ, στόμαχον ἀποκαθαίρει· ἁρμόζει καὶ ἀρθριτικοῖς, καὶ νεφριτικοῖς, καὶ τοῖς ἀσθενῆ τὴν κεφαλὴν ἔχουσι· χρήσιμος δὲ καὶ γυναιξὶν ὑδροποτούσαις· εὐώδης γάρ ἐστι καὶ θρεπτικός. διαφέρει δὲ τοῦ οἰνομέλιτος, ὅτι ἐκεῖνο μὲν ἐξ αὐστηροῦ οἴνου καὶ παλαιοῦ καὶ ὀλίγου μέλιτος σκευάζεται. ὁ δὲ μελιτίτης πρὸς ε´. χόας αὐστηροῦ γλεύκους, μέλιτος χοῦν ἕνα, καὶ ἁλὸς κύαθον ἕνα. σκευάζειν δὲ δεῖ ἐν μεγάλῳ ἀγγείῳ, ἵνα τόπον ἔχῃ πρὸς τὸ ὑπερζεῖν, καταπάσσοντας τοῦ προειρημένου ἁλὸς κατ' ὀλίγον, ἄχρις ἂν ἐκζέσῃ· παυσαμένου δέ, καταγγίζειν εἰς ἕτερα κεράμια.

Περὶ Οἰνομέλιτος. Κεφ. ιϛ´.

ΟΙΝΟΜΕΛΙ δὲ διαφέρει, τὸ ἐκ τοῦ παλαιοῦ οἴνου καὶ αὐστηροῦ καὶ μέλιτος καλοῦ γινόμενον· ἧττον γὰρ πνευματοῖ καὶ

A residui congios salis binos sextarios addito, ac post hyemẽ in cados defundito. Eo post annum vtitor: celeriter enim exolescit. Conuenit porrò ægris, quibus vinum propinare dubitamus, & cogimur tamen ipsorum desiderijs obtemperare: itémque à longa valetudine sese recolligentibus. Fit & vinum quod
B vocant adynamon, viribus iisdem quibus lora præditum. Pares aquæ & musti mensuræ leniter ac lento igne feruefiunt, dum excoquatur aqua: reliquum vbi refrixerit, in vas picatum transfunditur. Alij aquæ marinæ & pluuiæ, mellis atque musti pares miscent portiones, eluttriant, & in sole quadraginta die-
C bus torrent. Huiusmodi potu ad eadem illa omnia post annum vtuntur.

De Vino è labrusca expresso. Cap. XIIII.

VINVM è labrusca nigrum astringit: proindéque prodest alui sto-
D machíque fluxionibus, & ad cætera valet quæ astrictionem contractionémque desiderant.

De Vino Melitite. Cap. XV.

VINVM Melitites datur in longis febribus, iis qui stomacho sunt imbecilli: leuiter enim aluum emollit, vrinas ciet ac stomachum
E expurgat. Prodest articulario morbo obnoxijs, nephriticis & * capitis infirmitate laborantibus: vtile quoque mulieribus * aquam potantibus: siquidem odoratum est, corporáque alit. Distat à mulso, quoniam fit illud è vino austero ac vetere & melle exiguo: melitites autem, adiecto ad quinque congios
F austeri musti mellis congio, & salis cyatho. Porrò in magno vase fieri ipsum oportet, quò locus amplior ad vehementer efferuescendum pateat, antedicto sale sensim asperso, quandiu efferbuerit: ac vbi feruere desierit, in cados alios transfunditur.

Pl. neruorum

Pl. vini abst.

G

De Mulso. Cap. XVI.

MVLSVM præfertur, quod ex vetere vino austeróque & bono melle factum est. Tale siquidẽ mi-

nùs inflat, & celeriter in vsum venit. Ac vetus quidem corpus alit: quod mediç est ętatis, aluo vtile est, vrinámque pellit. Sed à summo cibo sumptum, nocet: inter initia verò potum, stomachum implet, deindéque tamen appetẽdi auiditatem reuocat. Fit mulsum vt plurimùm, duabus vini metretis admixta vna mellis. Aliqui quò próptiùs perfici exhiberíque possit, mel cum vino coquunt, atque ita transfundunt. Alij impensæ parcentes ad musti feruentis sextarios sex vnum mellis adiiciunt, ac vbi ferbuerit, elutriant: dulce autem permanet.

De Aqua mulsa. Cap. XVII.

AQVA mulsa easdem quas mulsum vires obtinet. Cruda vtimur, cùm ventrem mollire volumus, aut etiam vomitiones inuitare: quemadmodum facimus ijs qui venena hauserunt, ipsum addito oleo propinantes. Decoctam verò exhibemus exilis languidíque pulsus hominibus ac infirmis, tussientibus, peripneumonicis & iis qui immodico sudore digeruntur. Inueterata condititiáque, quam aliqui Hydromel propriè vocant, dum mediæ est ætatis, loræ & adynamo vino in recreandis viribus respondet, similémque vim adipiscitur: quare iis qui membri alicuius inflammatione laborant magis quàm lora ipsa accommodata est. Quę verò vetustior est, in partium inflammationibus, aluóque * astricta damnatur: at laborantibus ex stomacho, aut cibum fastidientibus, sudatoribúsve conuenit. Conficitur porrò duabus aquæ cœlestis veteris partibus ad vnam mellis adiectis & insolatis: alij fontanam aquam miscẽt, & ad tertias partes decoquunt, atque ita recondunt. Nec desunt qui Hydromelitis appellationem tribuant Apomeliti, quod elotis aqua fauis confici seruaríque solet. Id verò etiam meracius confici oportet: aliqui & ipsum coquunt. Ægrotantium potui minimè aptum est, quoniam ceraginis plurimum sibi vendicat.

De Aqua. Cap. XVIII.

DE aquis in vniuersum decernere propter locorum proprieta-

(margin: vel corpori-busque astri-cto)

A ταχέως παρίσταται τὸ τοιοῦτον. ἔστι δὲ τὸ μὲν παλαιόν, θρεπτικόν· τὸ δὲ μέσον, εὐκοίλιον, οὐρητικόν· βλάπτει δέ, ἐπὶ τροφῇ ληφθέν· πινόμενον δὲ ἐν ἀρχῇ, πληροῖ· ὄρεξιν δὲ μετὰ ταῦτα κινεῖ. σκευάζεται δὲ πρὸς δύο μετρητὰς ὡς ἐπὶ τὸ πολὺ οἴνου, ἑνὸς μετρητοῦ μέλιτος μιγνυμένου. τινὲς δέ, ἵνα τά- B χιον αὐτὸ παρασκευάσωσι, συνέψουσι τὸ μέλι τῷ οἴνῳ, καὶ οὕτω καταγγίζουσιν· ἔνιοι δὲ διὰ λιτότητα, γλεύκους ζέοντος ξέσταις ϛʹ πρὸς ξέστην αʹ μέλιτος μιγνύντες, μετὰ τὸ ἀποζέσαι καταγγίζουσι. μένει δὲ γλυκύ.

Περὶ Μελικράτου. Κεφ. ιζʹ.

C ΜΕΛΙΚΡΑΤΟΝ δὲ τὴν αὐτὴν τῷ οἰνομέλιτι δύναμιν κέκτηται. χρώμεθα δὲ τῷ * ἀφεψημένῳ, ἐφ' ὧν κοιλίαν μαλάξαι βουλόμεθα, ἢ ἔμετον κινῆσαι, ὡς ἐπὶ τῶν θανάσιμον πεπωκότων, διδόντες αὐτὸ μετ' ἐλαίου· τῷ δὲ ἀφεψημένῳ, ἐπὶ τῶν μικροσφύκτων καὶ ἀσθε- D νῶν καὶ βησσόντων καὶ περιπνευμονικῶν καὶ διαφορουμένων. Τὸ δὲ σκευαστὸν καὶ ἀπόθετον, ὃ ἰδίως ἔνιοι ὑδρόμελι καλοῦσι, μέσον μὲν τῇ ἡλικίᾳ ὑπάρχον, ἀναλογεῖ τῷ δευτερίᾳ καὶ ἀδυνάμῳ οἴνῳ, ὅσον ἐπὶ τὸ τὰς δυνάμεις ἀνακτᾶσθαι· ὅθεν ἐπὶ τῶν φλεγμαινόντων τι μέρος, ἐστὶν εὔθετον E μᾶλλον τοῦ δευτερίου. τὸ δὲ παλαιότερον, ἀδόκιμον ἐπὶ τῶν φλεγμαινόντων καὶ στεγνῶν· ἐπὶ δὲ τῶν στόμαχον πεπονθότων ἢ * ἀνορέκτων ἢ διαφορουμένων, ἐπιτήδειον. Σκευάζεται δέ, πρὸς ἓν μέλιτος μέρος, * δύο ὕδατος ὀμβρίου παλαιοῦ μιγνυμένων, καὶ ἡλιαζομένου. τινὲς δέ, πηγαῖον μίξαν- F τες, ἀφέψουσιν εἰς τὸ τρίτον, καὶ ἀποτίθενται. καλοῦσι δέ τινες καὶ τὸ * ἀπὸ μέλιτος ἐκπλυνομένων τῶν κηρίων ὕδατι σκευαζόμενον ὑδρόμελι, καὶ ἀποτιθέμενον. δεῖ δὲ αὐτὸ καὶ * ἀκρατέστερον ποιεῖν. τινὲς δέ, καὶ τοῦτο ἕψουσιν. ἔστι δὲ ἄθετον ἐπὶ νοσούντων, διὰ τὸ πλεῖστον ἔχειν κηρανθέμου.

(margin: Lac. legit in v.c. μὴ ἀφεψημένῳ)

(margin: Sarab. legit ἀλυ-μενόντων.)

(margin: Lac. legit in v.c. ...)

G

Περὶ Ὕδατος. Κεφ. ιηʹ.

ΥΔΩΡ περὶ μὲν ἐν τῷ καθόλου ἐπικρίνειν δυσχερὲς ἔχει, διὰ τὰς τῶν τό-

των ἰδιότητας καὶ ἰδιοσυγκρισίας, καὶ τοὺς ἀέρας, καὶ ἄλλα οὐκ ὀλίγα. ὡς δὲ ἐπίπαν ἄριστόν ἐστι τὸ καθαρὸν καὶ γλυκύ, ἀμέτοχον δὲ οἱασδηποτοῦν ποιότητος, καὶ τοῖς ὑποχονδρίοις μηδ' ἐλάχιστον χρόνον ἐπιμένον. ἔτι τε ἀλύπως διοδεῦον, καὶ μὴ πνευματοῦν, μηδὲ διαφθειρόμενον.

Sic v. c. at vulg. ex. καὶ ἐμπνευματοῦν.

Περὶ Θαλασσίου ὕδατος. Κεφ. ιθ'.

ΘΑΛΑΤΤΙΟΝ ὕδωρ θερμόν, δριμύ, κακοστόμαχον (κοιλίας γὰρ ταρακτικόν) ἄγον φλέγμα. θερμὸν δὲ καταντλούμενον, ἐπισπᾶται καὶ διαφορεῖ. ἁρμόζον τοῖς περὶ νεῦρα πάθεσι καὶ χιμέτλοις πρὸ τοῦ ἑλκωθῆναι. ὠμηλύσεσί τε ἐπιτηδείως μίγνυται, καὶ ἐμπλάστροις καὶ μαλάγμασι διαφορητικοῖς ἐντεθέν. καὶ πρὸς τὰ κενώματα ἐνιέμενον χλιαρόν. καὶ πρὸς στρόφους, θερμόν. ψώρας τε καὶ κνησμοὺς καὶ λειχῆνας καὶ κονίδας, καὶ μαστῶν σπαργώντων κατάντλημα. διαφορεῖ καὶ πελιώματα πυελούμενον. καὶ πρὸς τὰ τῶν θηρίων δήγματα ὅσα τρόμους καὶ ψυγμοὺς φέρει, μάλιστα δὲ σκορπίων καὶ φαλαγγίων, καὶ ἀσπίδων, καὶ εἰ προσεμβαίνῃ τις εἰς θερμὸν αὐτό, ὠφελεῖ. καὶ ταῖς χρονίαις καχεξίαις τοῦ σώματος καὶ τῶν νεύρων, ὠφέλιμον δὲ δι' αὐτοῦ λουτρόν. ὑπαλμιζόμενον δὲ θερμόν, ὑδρωπικούς, κεφαλαλγίας καὶ δυσηκοΐας παρηγορεῖ. ἀποτιθεῖσα δὲ ἡ ἀκέραιος θάλασσα καὶ ἀμιγὴς ποτίμου ὕδατος, ἄβρωμος γίνεται. οἱ δέ, προέψουσιν αὐτήν, καὶ οὕτως ἀποτίθενται. δίδοται δὲ καὶ πρὸς κάθαρσιν καθ' ἑαυτήν, ἢ μετ' ὀξυκράτου, ἢ οἴνου ἢ μέλιτος· καὶ μετὰ τὸ καθαρθῆναι, ἐπιδιδόασι ζωμὸν ὄρνιθος ἢ ἰχθύων, πρὸς τὸ κατακεράσαι τὴν τῆς δήξεως δριμύτητα.

Marc. addit καὶ χολήν.

Alex. Mar. ἀναπαλιζόμενον, seu potius ἀναπαλλόμενον.

V. ὀξυμέλιτος, & sic etiam Lac. v. cod.

Περὶ Θαλασσομέλιτος. Κεφ. κ'.

ΘΑΛΑΣΣΟΜΕΛΙ δοκεῖ καθαίρειν ἀνδρικῶς. σκευάζεται δὲ ἐκ μέλιτος καὶ ὕδατος ὀμβρίου καὶ θαλάσσης, ἴσων διυλισθέντων καὶ ἡλιασθέντων ἐν ἀγγείῳ πεπισσωμένῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν. τινὲς δέ, δύο μέρη θαλάσσης ἀφεψημένης καὶ ἓν μέλιτος καταμίξαντες, κα-

A tes ac peculiares naturas, itémque cœlum, aliáque non pauca difficile est. Magna tamen ex parte optima est, pura, dulcis & cuiuscunque tandem qualitatis expers, quęq; ne minimo quidem tempore hypochondrijs immoratur: insuperq; quæ citra molestiam & expeditè permeat, nec inflationes parit, ac denique B minimè corrumpitur.

De aqua marina. Cap. XIX.

AQVA maris calida est & acris, stomacho aduersatur, aluű conturbat, & pituitam expellit. Si verò calida ad fotus adhibeatur, attrahit simul atque discutit: proindéq; neruorű vitiis, & pernionibus ante vl-C cera prodest. Commodè miscetur cataplasmatis ex hordeacea farina: itémque emplastris & malagmatis discutientibus idonea est. Ad mouendas deiectiones tepefacta clysteribus infunditur: ad tormina verò, calens. Eadem psoræ, pruritus, lichenes, lendes, nimióque lacte tur-D gentes mammæ fouentur. Sed & liuentia fotu discutit. Salutaris quoq; est ad venenatorű morsus ictúsve, quæ quidẽ tremores perfrictionésque inferűt: maximè verò scorpionum, phalangiorum aspidúmque: ac si quis etiá in ipsius calidę solium descẽderit, auxiliatur. Quin & balneű ex ea vtile malo habitu confe-E ctis iá diu corporibus neruisq;. Eiusdẽ feruentis vapor, hydropicos, capitis dolores, difficilémque auditű leuat. Porrò sincera & citra potabilis aquæ mixturam asseruata, virus deponit. Alij eam præcoquunt, atq; ita recondunt. Cæterùm datur ad purganda corpora per se, aut è posca, aut vino, aut melle: veruntamen F post deiectionem insuper exhibetur gallinæ pisciúmve iusculum, ad temperandam infringendámve inductæ rosionis acrimoniam.

De Thalassomelite. Cap. XX.

QVOD Thalassomeli vocát, egregiè purgare creditur. Temperatur autem æquis portionibus aquæ G marinæ & pluuiæ, itémque mellis, percolatis & picato vase per caniculæ ardores insolatis. Sűt qui ad duas aquæ marinæ coctæ partes, mellis vnam adijciant, & vase condant: ac

huiusmodi quidem cõfectura moderatior mitiórque est ipsa aqua marina.

De Aceto. C. XXI.

ACETVM refrigerat & astringit, stomacho est vtile, & appetentiam cibi excitat: erumpentem vndecunque sanguinem potu insessúve sistit: prodest alui fluxionibus, cum cibariis coctum: cruentis vulneribus idoneum est, ac inflammationes arcet, in succidis lanis aut spongiis impositum. Reprimit & procidétia sedis vuluæq́; item gingiuas abscedentes & sanguine manantes. Est etiam efficax ad nomas, erysipelata, herpetas, lepras, lichenas & pterygia, si cum aliquo conuenienti misceatur: phagedænas vlcerum nomásque fotu continuo cohibet: podagricis calido fotu, cũ sulphure auxiliatur: sugillata tollit, cum melle inũctum. Contra capitis ardores, cum rosaceo in succidis velleribus aut spongia imponitur. Ad hydropem, auditum difficilem, auriúmque sonitus ac sibilos, feruentis vapor proficit: earundem quoque vermes instillatum necat. Panos coercet tepidi fotus, aut si imbuta eo spongia admoueatur: & pruritus permulcet. Contra venenatorum morsus, quæ refrigerando nocent, calidi fotus prodest: vti frigidi, contra eorum ictus quæ exurens virus eiaculantur. Calidum potũ atq; vomitionibus redditum, aduersus omnia venena efficax est: ac præsertim contra haustum meconium cicutámve, sanguinem in ventriculo conglobatum, lac ibidem coagulatum, fungos, ixiam, taxúmque, cum sale. Haustu voratas hirudines, si sorbeatur, eiicit: tussim veterem mitigat, & recentem lacessit. In orthopnœa, calidum cõmodè sorbetur. Sed & gutturis fluxiones gargarizatum inhibet: anginis & laxatæ columellæ conuenit: necnõ & calidum contra dentium dolorem colluitur.

De Oxymelite C. XXII.

ACETVM mulsum, quod oxymel vocant, hoc modo temperatur:

A ταγγίζουσι· *μετεωρότερον δὲ γίνεται καὶ ἐπιεικέστερον τὸ τοιοῦτον τῆς θαλάσσης. al. στομαχικώτερον.

Περὶ Ὄξους. Κεφ. κα΄.

ΟΞΟΣ ψύχει καὶ στύφει, εὐστόμαχόν τε ἐστὶ καὶ εὐόρεκτον, σταλτικόν τε αἱμορραγίας πάσης, πινόμενόν τε καὶ ἐγκαθιζόμενον· καὶ ἐπὶ ῥευμάτων κοιλίας συνεψόμενον ταῖς τροφαῖς ἁρμόζει· B ἔναιμόν τε ἐστὶ καὶ ἀφλέγμαντον, σὺν ἐρίοις οἰσυπηροῖς ἢ σπόγγοις ἐπιτιθέμενον. στέλλει καὶ ὑστέραν καὶ ἕδραν προπεπτωκυῖαν· καὶ οὖλα ἀφεστῶτα καὶ αἱμορραγοῦντα. ποιεῖ καὶ πρὸς νομὰς καὶ ἐρυσιπέλατα, ἕρπητας, λέπρας, λειχῆνας, πτερύγια, σύν τινι τῶν ἐπιτη- C δείων μιγνύμενον. φαγεδαινικά τε ἕλκη, συνεχῶς ἀποπλυνόμενον, καὶ νομὰς ἵστησιν· ὠφελεῖ καὶ ποδαγρικοὺς καταντλούμενον θερμὸν μετὰ θείου. ὑπώπιά τε αἴρει σὺν μέλιτι καταχριόμενον· πρός τε τὰς ἐγκαύσεις τῆς κεφαλῆς, σὺν ῥοδίνῳ καὶ οἰσυπηροῖς ἐρίοις ἢ σπόγγῳ. ὑδρωπικούς D τε καὶ δυσηκόους ὑπατμισθὲν θερμὸν ὠφελεῖ, καὶ ἤχους καὶ συριγμούς· ἐνσταχθὲν δὲ, κτείνει τοὺς ἐν ὠσὶ σκώληκας. στέλλει καὶ φύγεθλα, χλιαρὸν καταντλούμενον, ἢ διὰ σπόγγων ἐπιτιθέμενον, καὶ κνησμοὺς παρηγορεῖ. πρός τε θηρίων δήγματα ὅσα ψύχει, κατάντλημα θερμόν· ψυχρὸν E δὲ, τοῖς πυροῦσι τῶν ἰοβόλων· ποιεῖ καὶ πρὸς τὰ θανάσιμα πάντα, πινόμενον θερμὸν καὶ ἐξεμούμενον, μάλιστα πρὸς μηκωνείου καὶ κωνείου πόσιν, καὶ αἷμά πως καὶ γάλακτος θρομβωθὲν ἐν κοιλίᾳ, πρός τε μύκητας καὶ ἰξίαν καὶ σμίλακα, σὺν ἁλσί. βδέλλας τε ποθείσας καταρροφούμενον F ἀποβάλλει· καὶ βῆχα χρονίαν πραΰνει, τὴν δὲ πρόσφατον ἐρεθίζει. ἁρμόζει δὲ καὶ πρὸς ὀρθόπνοιαν, θερμὸν καταρροφούμενον· στέλλει δὲ ἀναγαργαριζόμενον καὶ τὰ ἐν βρόγχῳ ῥεύματα, συναγχικοῖς τε ἁρμόζει, καὶ πρὸς κιονίδα κεχαλασμένην· καὶ πρὸς ὀδόντων πόνον, θερμὸν διακλυ- G ζόμενον.

Περὶ Ὀξυμέλιτος. Κεφ. κβ΄.

ΟΞΥΜΕΛΙ σκευάζεται οὕτω· λαβὼν ὄξους κοτύλας ε΄. καὶ ἁλὸς θαλασσίου

μναῖ μίαν, μέλιτος μνᾶς ι. ὕδατος κοτύλας ι. μίξας ἕψησον, ἄχρις οὗ δεκάκις ἀναβράσῃ. καὶ ψύξας κατάγγισον. Δοκεῖ δὲ λαμβανόμενον πάχος ἄγειν, ὠφελεῖν ἰσχιαδικούς, καὶ ἀρθριτικοὺς καὶ ἐπιληπτικούς. βοηθεῖ δὲ καὶ τοῖς ὑπὸ * ἐχίδνης τῆς καλουμένης σηπὸς δηχθεῖσι, καὶ τοῖς μηκώνειον ἢ ἰξίαν πιοῦσιν. ἀναγαργάρισμά τι συναγχικῶν ὠφέλιμον.

Corn. interserit καὶ

Περὶ Ὀξάλμης. Κεφ. κγ'.

ΟΞΑΛΜΗ ὠφελεῖ καταντλουμένη πρὸς νομάς, σηπεδόνας, κυνόδηκτα, καὶ τὰ ἀπὸ τῶν ἰοβόλων δήγματα. στέλλει δὲ καὶ τὰς ἐπὶ τῶν λιθοτομηθέντων αἱμορραγίας, εὐθέως μετὰ τὴν χειρουργίαν θερμὴ ἐγκλυζομένη, ° καὶ ἕδρας προπεπτωκυίας· ἐγκλύζεται δὲ ἐπὶ τῶν μετὰ νομῆς δυσεντερικῶν· δεῖ δὲ ἐπεγχυματίζειν γάλακτι. καταρροφουμένη δὲ καὶ ἀναγαργαριζομένη, βδέλλας κτείνει· σμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας.

Loc. addit. ex v. cod. καὶ ἐγκλυζομένη.

Περὶ Θυμοξάλμης. Κεφ. κδ'.

ΘΥΜΟΞΑΛΜΗ, ἣν ἐχρῶντο οἱ ἀρχαῖοι ἐπὶ τῶν ἀσθενῆ τὸν στόμαχον ἐχόντων, κατὰ τρεῖς ἢ τέσσαρας κυάθους πρὸς ὕδωρ θερμὸν κεραννύντες, καὶ ἐπὶ ἀρθριτικῶν καὶ πνευματουμένων. ἄγει δὲ τὰ παχέα καὶ μέλανα. σκευάζεται δὲ οὕτω. θύμου λείου ὀξύβαφον, ἁλῶν ἴσον, ° ἀλφίτων, πηγάνου, | γλήχωνος, ἑκάστου ὀλίγον, βαλὼν εἰς ἄγγος, ἐπίχει ὕδατος κοτύλας ϛ'. ὄξους ἡμικοτύλιον, περιδήσας τι ὀθόνιον ἐξαιθριάζε.

Desunt in Ald. & ad notha transferuntur.

Περὶ Σκιλλητικοῦ ὄξους. Κεφ. κε'.

ΤΟ δὲ Σκιλλητικὸν ὄξος σκευάζεται τῷ τρόπῳ τούτῳ· καθάρας λευκὴν σκίλλαν καὶ κατατεμὼν καὶ διείρας λίνῳ ὥστε μὴ θιγγάνειν τοὺς * τόμους ἀλλήλων, ξήρανας ἐν σκιᾷ ἐπὶ ἡμέρας μ', λαβὼν μναῖ μίαν ἐξ αὐτῆς κάθες εἰς ξέστας ὄξους καλοῦ ιβ'. ἄφες τε ἡλίῳ ἡμέρας * ζ'. βρέχεσθαι, πωμάσας τὸ ἀγγεῖον ἐπιμελῶς· μετὰ δὲ ταῦτα ἀνελόμενος τὴν σκίλλαν καὶ ἐκπιέσας, αὐτὴν μὲν ῥῖψον· τὸ δὲ ὄξος ὑλίσας, κατάγγιζε καὶ ἀποτίθεσο· ἔνιοι δὲ μναῖ πρὸς ὄξους ξέστας ε'.

V. add. φασὶ ἢ τόμους.

A Aceti heminas quinque, salis marini minam vnam, mellis minas decē & aquæ sextarios quinque pariter coquito, dum decies efferbuerint: mox vbi refrixerint, diffundito. Cōstat porrò sumptum crassos humores extrahere, atque ischiadicis, arthriticis & comitialibus opitulari. Est & auxilio cōtra morsum viperę B & lacertæ quam sepa vocant, itémque contra haustum meconium, ixiámve. Anginis denique vtiliter gargarizatur.

De Oxalme. C. XXII.

ACETVM salsum seu acida muria, quam oxalmen vocant, fotu cōtra nomas, putrida vlcera, canum morsus & venenatos ictus, auxilia- C tur. Sistit & sanguinis eruptiones quę post excisos calculos eueniunt, siquidem post operationem statim calida in vulnus infundatur: ac prociduam sedem reprimit. Dysentericis etiamnum si nomas sentiant, infunditur: at oportet illico pòst lac insuper infundere. Hirudines eadē D sorbitione & gargarizatu necat: furfures denique & manantia capitis vlcera exterget.

De Thymoxalme. Cap. XXIIII.

THYMOXALME Veteres vtebantur, dabántque laborantibus imbecillitate stomachi, itémq; arthriticis & inflatione vexatis, ternos quaternósve cyathos aqua cali- E da dilutos: humores crassos atrosq; trahit. Hoc verò modo factitatur: Thymi triti acetabulum, salis idem modus, polentǣ, rutæ, pulegij, singulorum exiguę portiones in vas coniiciuntur, & aquę terni sextarij, acetíque totidem cyathi affunduntur, atque circumposito linteo sub dio exponuntur.

F *De aceto Scillino. Cap. XXV.*

SCILLINVM acetum hoc paratur modo: Expurgatam scillā quę candida sit concidito, sectásque taleolas lino traiectas modicis interuallis, vt ne se cōtingant, suspendito, atque ita siccato in vmbra quadraginta diebus. Earū minā in aceti G boni sextarios duodecim immergito, & vase diligenter operculato septenis diebus in sole macerari sinito: postea scillam eximito, & expressam abiicito: acetum verò percolatū in vas diffundito atq; reponito. Aliqui scillæ minā vnā aceti sextariis

quinque ammiſcent. Alij poſtquam extempore ſcillam repurgarũt citra exiccationem, parem eius menſuram adiiciunt, & ſenis menſibus macerari patiuntur. Ac tale quidẽ acetum maiorem incidendi vim aſſciſcit. Porro Scillinum acetum gingiuas laxas & humore ſuperfluo prægnantes commodè aſtringit, eaſdémque firmat: emotos dentes ſtabilit, putridis oris vlceribus & graueolentiæ egregiè medetur: fauces ſorbitione durat calloſáſque reddit, vocem denique expedit, ac limpidam canoramq́; facit. Sed & ſtomachicis, ægrè cibum cõcoquẽtibus, comitialibus, vertiginoſis, melancholicis & mente captis exhibetur. Datur & contra vuluarum ſtrangulationes, lienes prętumidos & iſchiada. Imbecillos admodum recreat: corporis ſalubritatẽm colorẽq́; meliorẽ præſtat. Oculorũ quoque aciẽ exacuit, atq; tarditatẽ aurium inſtillatione infuſionéve purgat. In ſumma ad omnia efficax eſt, præterquam ad internas exulcerationes, capitis dolores neruorúmq; vitia. Cæterùm datur quotidie ieiunis ſorbendum, inter initia quidem quãtitate exigua: ſed ea deinde paulatim augetur ad cyathum vſque. Nonnulli binos cyathos, aut etiam amplius, exhibent.

De Scillino vino. *Cap. XXVI.*

FIT & è Scilla vinum hoc modo: Diſſectam, vti dictum eſt, ſcillam ſole aſſiccato, dein contuſam eius minã tenui cribro incernito, & linteo raro illigatam in vicenos ſextarios muſti recentis ac boni demergito: atque vbi trimeſtri ſpatio maduerit, elutriatum vinum obſtructo diligẽter vaſe recõdito. Licet quoque humida ſcilla vti, in orbiculos rapi modo diſſecta, ſed duplicato pondere. Cæterùm vinum id quadraginta diebus inſolari oportet, & valde inueteraſcere. Sed & inſuper alia eſt antedicti vini parandi ratio. Scilicet Scillæ diſſectæ ac repurgatæ minæ tres in muſti boni metretam Italicum adiiciuntur, & ſenos menſes vaſe obſtructo macerari ſinuntur: poſt id tempus defæcatum transfuſúmque vinum reconditur. Vtile porrò eſt cõtra cru-

A μίσγουσιν. ἔνιοι δὲ, αὐτόθεν καθάραντες δίχα τοῦ ξηρᾶναι, τὸν σταθμὸν ἴσον βάλλουσι, καὶ ἐῶσι μῆνας ς'. γίνεται δὲ τὸ τοιοῦτον τμητικώτερον. Εὐθετεῖ δὲ διακλυζόμενον πρὸς οὖλα μυδῶντα, στέλλον καὶ στεῤῥοποιοῦν αὐτά, καὶ ὀδόντας κινουμένους· καὶ τὰς περὶ τὸ στόμα σηπεδόνας καὶ δυσωδίας ἰ-
B σχυρῶς ἀνασκευάζει· καταῤῥοφούμενον δὲ, τόν τε βρόγχον στερεοῖ καὶ τυλώδη ποιεῖ, καὶ τὸν ἦχον εὔτονον καὶ λαμπρὸν ἀποτελεῖ. παραλαμβάνεται δὲ πρὸς στομαχικοὺς καὶ δυσαναπεπτοῦντας, ἐπιληπτικοὺς, σκοτοδινιῶντας, μελαγχολικοὺς, ἀπηλιθιωμένους· ἔτι δὲ καὶ πρὸς ὑστε-
C ρικὰς πνίγας, καὶ σπλῆνας ὑπερόγκους καὶ ἰσχιάδας· ἀναλαμβάνει δὲ καὶ τοὺς λίαν ἀσθενεῖς· καὶ τὸ σῶμα ὑγιεινὸν καὶ εὔχρουν κατασκευάζει. ἔστι δὲ καὶ ὀξυδερκές· καὶ πρὸς δυσηκοΐαν ἐνσταγὲν δυνατὸν, ἐάν ἐγχυματίζηται. καὶ καθόλου πρὸς ἅπαντα ἐνεργεῖ, πλὴν ἑλ-
D κώσεων τῶν ἐντὸς, κεφαλαλγιῶν καὶ νευρικῶν. δίδου δὲ καθ' ἡμέραν ῥοφεῖν νήστει τὴν μὲν ἀρχὴν ὀλίγον, κατὰ βραχὺ δὲ προσαύξων ἄχρι κυάθου. τινὲς δὲ κυάθους β'. διδόασιν ἢ καὶ πλεῖον.

Drag. exempl. νηριτικῶν.

Περὶ Σκιλλητικοῦ οἴνου.

Κεφ. κς'.

E ΟΔΕ ἀπὸ τῆς Σκίλλης οἶνος γίνεται οὕτως· κατατεμὼν ὡς εἴρηκα τὴν σκίλλαν, ξήρανον ἐν ἡλίῳ, ἔπειτα κόψας αὐτῆς μνᾶν μίαν καὶ διασήσας λεπτῷ κοσκίνῳ, ἔνδησον ὀθονίῳ ἀραιῷ, καὶ κάθες εἰς γλεύκους καλοῦ καὶ προσφάτου ξέστας κ'. τρίμηνόν τε ἔασον βρε-
F χθῆναι. μετὰ δὲ ταῦτα μετεράσας τὸν οἶνον εἰς ἕτερον ἀγγεῖον, ἀπόθου περισφηνώσας ἐπιμελῶς. ἔνεστι δὲ καὶ ὑγρᾷ τῇ σκίλλῃ χρῆσθαι, ἐπιτέμνοντα αὐτὴν γογγυλίδος τρόπον, καὶ τὴν ὁλκὴν διπλασιάσαντα· δεῖ δὲ ἡλιάζειν ἐπὶ ἡμέρας μ'. καὶ παλαιοῦν ἄγαν. Ἔτι δὲ καὶ
G οὕτω σκευάζεται ὁ προειρημένος οἶνος· λαβὼν σκίλλης ἐντετμημένης καὶ κεκαθαρμένης μνᾶς γ'. κάθες εἰς γλεύκους καλοῦ μετρητὴν Ἰταλικὸν, καὶ μῆνας ἓξ ἔασον πωμάσας, εἶτα ὑλίσας καὶ μετεράσας ἀπόθου. Εὐθετεῖ δὲ πρὸς ἀπ-

ψίας καὶ διαφθορὰς τροφῆς, καὶ τοῖς ἀπεμοῦσι τὴν τροφὴν ἐφ' ὧν τε πάχος κοιλίαν κατέχει καὶ στόμαχον. σπληνικοῖς καὶ καχέκταις, καὶ ὑδρωπικοῖς, ἰκτερικοῖς, δυσουροῦσι, στροφουμένοις, πνευματουμένοις, παραλυτικοῖς, ῥίγεσι χρονίοις, σκοτωματικοῖς, σπάσμασι καταμηνίων τε ἀγωγός. ἥκιστα δὲ νεῦρα λυπεῖ. ἀμείνων δὲ ὁ παλαιότερος. φυλάσσεσθαι δὲ δεῖ αὐτοῦ τὴν χρῆσιν ἔν τε πυρετοῖς, καὶ ἐπὶ τῶν ἐντὸς ἐχόντων ἕλκος.

Περὶ Θαλασσίων οἴνων. Κεφ. κζ.

ΟΙ δὲ διὰ θαλάττης οἶνοι ποικίλως σκευάζονται· οἱ μὲν γὰρ εὐθέως αὐτῷ μετὰ τὸ τρυγηθῆναι τὴν σταφυλὴν, μιγνύουσι θάλασσαν. ἔνιοι δὲ προηλιοπεδοῦσι, καὶ οὕτω πατοῦσι, μιγνύντες θάλασσαν. οἱ δὲ, σταφιδώσαντες τὴν σταφυλὴν, βρέχουσιν ἐν πίθοις μετὰ θαλάσσης, καὶ οὕτω πατοῦντες ἐκθλίβουσι. γίνεται δὲ ὁ τοιοῦτος γλυκύς. οἱ μέν τοι γε πρὸς τὴν γεῦσιν αὐστηρότεροι σκευαζόμενοι, ποιοῦσι καὶ πρὸς πυρετῶν παρασκευὴν, εἰ μὴ παρεῖεν ἀμείνους, καὶ πρὸς κοιλίας ὑπαγωγὴν, καὶ ἐμπύοις, σκληροκοιλίοις, καὶ ὅσοι ὑπὸ τῶν Ἀμιναίων ψαύονται κεφαλῆς. κακοστόμαχοι μέν τοι καὶ οὗτοι, καὶ πνευμάτων γεννητικοί. Οὐκ ἄχρηστον δὲ ὑπογράψαι νομίζομεν πρὸς τὸ πλήρη τὴν ἱστορίαν τοῖς φιλιστοροῦσι γενέσθαι, καὶ τὴν τῶν ποικιλωτέρων οἴνων σκευασίαν· οὐχ ὅτι πολλή τις ἐστὶν ἢ ἀναγκαία ἡ χρῆσις αὐτῶν, ἀλλ' ἵνα κατὰ μηδὲν αὐτῶν ἐλλείπειν δοκῶμεν. εἰσὶ δὲ αὐτῶν ἔνιοι, ἧττον περίεργοι καὶ πίπτοντες εἰς τὴν χρῆσιν· ὡς ὁ διὰ τῶν κυδωνίων καὶ ἀπίων καὶ κερατίων, ἔτι δὲ καὶ ὁ διὰ μύρτων σκευαζόμενος.

Addit Lac. ex v. cod. καὶ πατῆσαι.

Περὶ Κυδωνίτου οἴνου. Κεφ. κη.

Ο μὲν οὖν Κυδωνίτης, ὃν ἔνιοι μηλίτην καλοῦσι, σκευάζεται οὕτω· μήλων κυδωνίων ἐξελὼν τὸ σπέρμα, καὶ τεμὼν ὡς γογγυλίδα, εἰς μετρητὴν γλεύκους χάλασον μνᾶς ιβ΄. πρὸς ἡμέρας λ΄. εἶτα διυλίσας ἀπόθου. σκευάζεται δὲ καὶ οὕτω. δεῖ μετὰ τὸ κόψαι καὶ ἐκθλίψαι τὰ κυδώνια, τοῦ χυλοῦ τούτων μίξαι τοῖς ιβ΄. ξέσταις, ἕνα

Vetus sic: ἀπόθου, δεῖ ἐκθλίψαντας τὰ κυδώνια. Al. omittit δεῖ.

A ditates & ciborum corruptiones: itẽ iis qui cibum reuomunt, necnon & iis quorum ventrem stomachúm ve crassi humores obsederint. Prodest & lienosis, habitu malo prçditis, hydropicis, regio morbo & vrinæ difficultate laborantibus, torminosis, inflatione vexatis, paralyticis, diuturnis rigoribus, vertiginosis atque B cõuulsis. Mẽses deniq; pellit, minimeq; neruos infestat. Fit porrò vinũ eiusmodi vetustate meli⁹. Sed cauẽdus ipsi⁹ vsus tũ in febribus, tũ & in exulcerationibus interaneorum.

De vinis aqua marina factis.

Cap. XXVII.

MARINA vina variè factitãtur. Aliqui enim protinus vt decerC ptæ calcatæq; sunt vuæ, aquã maris admiscent: nõnulli prius in cratibus vuas sole siccant, iisq; deinde calcatis marinã adiiciũt. Alij passas prius vuas in doliis aqua marina macerãt, móxq; calcatas exprimunt. Et eiusmodi quidẽ vinũ dulce euadit. Quç tamẽ austeriore gustu tẽperãtur, eD tiã in febribus subsidio sunt, siquidẽ meliora defuerint. Valent & ad aluum subducendam, prosũntque purulenta excreantibus, iisque qui aluo sunt dura, quique facilè ex vinorum Aminæorum vsu capite tentãtur: attamen & huiusmodi vina stomacho aduersantur, flatúsque pariunt. Porrò quo plenioré habeant E historiam ij qui huius studio tenentur, haud inutile duximus multiplices variè conficiendorum vinorum formulas infrà describere: nõ quòd frequẽs aut necessarius eorum existat vsus, sed nequid omisisse videamur, quod ad vinorum tractatum pertineat. Sunt autẽ ex factitiis illis nonnulla minoris operæ & laboris, F quæ tamẽ in vsum veniunt: vti quæ ex cotoneis malis, pyris, siliquis, itémque myrti baccis concinnatur.

De vino Cydonite. Cap. XXVIII.

Itaque Cydonites, quod alio nomine melites appellatur, ita fieri consueuit: Mala cotonea exemptis seminibus frustatim raporum moG do concidũtur, eaq; duodecim minarũ põdere in musti metretam demittũtur, & inibi ad triginta dies esse sinũtur: tãdem excolatum vinũ reponitur. Paratur & hoc modo: Ad succi cotoneorũ tusorũ pressorúmq; sextarios duodenos, mellis sextarios singulos adiicere

adijcere oportet, atq; ita recōdere. Vinum id astringit, & stomacho vtile est: itémque prodest dysentericis, hepaticis, nephriticis & ægrè meientibus.

De Melomelite. Cap. XXIX.

Melomeli, quod & Cydonomeli nominant, fit in hunc modum: Cotonea mala seminibus exemptis in tantam mellis copiā cōiiciuntur, vt eo submersa cōtegantur obruátúrve. Id post annum iucundū ac suaue redditur, mulso nō dissimile. Pręstat autem eadē quę superior confectio.

De Hydromelo. Cap. XXX.

Fit Hydromelon, mēsura vna melomelitis è cotoneis facti ad duas aquæ coctæ & per Caniculæ æstum insolatæ addita: ac vis huius eadem quoque est.

De Omphacomelite. Cap. XXXI.

Omphacomelitis faciendi ratio hæc est: Vuas acerbas nondum variātes tribus diebus insolato, deindéque exprimito: & ad ternas succi partes, mellis optimi despumati singulas partes adijcito: mox cōfectionē in fictilia diffusam insolato. Vim reprimendi ac refrigerandi habet: proindéq; stomachicis & cœliacis conuenit. Vsus autē post annum est.

De vino Apite. Cap. XXXII.

Fit & è pyris, perinde atque è coroneis, vinum Apites nomine, ita tamen vt pyra non magnopere matura sint. Quin & è siliquis etiam, mespilis & sorbis simili modo vina temperantur. Omnia porrò hęc genera astringunt, & acerba stomachóque vtilia sunt, atque internas fluxiones cohibent.

De OEnanthino. Cap. XXXIII.

OEnanthinum vinum hoc modo concinnatur: Sumito florum siccorū è vite syluestri pubescente minas duas, & in musti metretam mittito, inibíq; dies triginta macerari finito: mox vinum excolatum recondito. Facit ad stomachum imbecillum eiusdémq; fastidium, cœliacos atque dysentericos.

De vino Rhoite. Cap. XXXIIII.

Vinum è Punicis, quod rhoiten vocant, fit in hunc modum: Punica

A ξέστην μέλιτος, καὶ οὕτω χρὴ ἀποτίθεσθαι. Ἔστι δὲ στυπτικὸς, εὐστόμαχος, δυσεντερίαις ἁρμόζων, ἡπατικοῖς, νεφριτικοῖς τε καὶ δυσουροῦσι.

Περὶ Μηλομέλιτος. Κεφ. κθ΄.

Καὶ Μηλόμελι δὲ, ὃ καὶ κυδωνόμελι ὀνομάζεται, σκευάζεται οὕτω· μήλων κυ-
B δωνίων ἐξαιρεθέντων τὰ σπέρματα καὶ βληθέντων εἰς μέλι ὅτι πλεῖστον, ὥς τι ἐναποπνιγῆναι, γίνεται προσηνὲς μετ᾽ ἐνιαυτὸν, οἰνομέλιτι ἐοικός· ἁρμόζει πρὸς ἃ καὶ ἡ πρὸ αὐτοῦ σκευασία.

Περὶ Ὑδρομήλου. Κεφ. λ΄.

Ὑδρόμηλον δὲ σκευάζεται, μιγνυμένου
C τοῦ ἐκ τῶν κυδωνίων μηλομέλιτος μετρητοῦ ἑνὸς πρὸς β΄. μετρητὰς ἀφεψημένου ὕδατος καὶ ἡλιαζομένου ἐν ταῖς ὑπὸ κύνα. Δύναμις δὲ καὶ τούτου ἡ αὐτή.

Περὶ Ὀμφακομέλιτος. Κεφ. λα΄.

Ὀμφακόμελι δὲ σκευάζεται τοῦτον τὸν τρόπον· λαβὼν ὄμφακας μήπω περκάζου-
D σας, ἡλίαζε ἐπὶ ἡμέρας γ΄. καὶ μετὰ ταῦτα ἐκθλίψας, βάλε πρὸς γ΄ μέρη τοῦ χυλοῦ, μέλιτος καλλίστου ἀπηφρισμένου μετρητοῦ μέρος ἓν· καὶ ἡλίαζε καταγγίσας εἰς κεράμους. Δύναμιν δὲ ἔχει σταλτικὴν, ψυκτικήν· ὅθεν ἁρμόζει στομαχικοῖς, κοιλιακοῖς. ἡ χρῆσις δὲ αὐτοῦ μετ᾽ ἐνιαυτόν.

E Περὶ Ἀπίτου οἴνου. Κεφ. λβ΄.

Ἀπίτης σκευάζεται ὁμοίως, ὥσπερ καὶ ὁ κυδωνίτης. μὴ λίαν δὲ ἔστωσαν ᴳ ἄπιοι πέπειροι. καὶ ὁ τῶν κερατίων δὲ, καὶ ὁ τῶν μεσπίλων καὶ οὔων, ὁμοίως σκευάζεται. πάντες δέ εἰσι στυπτικοὶ, στρυφνοὶ, εὐστόμαχοι, ῥεύματα ἔνδον ἐπέ-
F χοντες.

ᴳ Al. in vet. cod. legitur, ὥσπερ ὁ [illegible] οἴνου ἢ γλυκέως σκευασία.

Περὶ Οἰνανθίνου. Κεφ. λγ΄.

Ὁ δὲ Οἰνάνθινος σκευάζεται οὕτω· λαβὼν τῆς ἀγρίας ἀμπέλου τὸ ἄνθος βρυούσης ξηρὸν μνᾶς β΄. εἰς μετρητὴν γλεύκους, ἔα ἡμέρας λ΄. εἶτα διυλίσας ἀπόθου. Ποιεῖ δὲ πρὸς ἀτονίαν στομάχου, ἀνορεξίαν, κοιλια-
G κοὺς, καὶ δυσεντερικούς.

Περὶ Ῥοΐτου οἴνου. Κεφ. λδ΄.

Ὁ Ῥοΐτης δὲ οἶνος σκευάζεται οὕτως. ῥόας ἀπυρήνους λαβὼν ὡρίμους καὶ ἀπο-

θλίψας τὸν χυλὸν τῶν κόκκων ἀπόθου, A ἢ ἀφεψήσας εἰς τρίτον οὕτως ἀποτίθεσο. Ποιεῖ δὲ πρὸς τὰ ἐντὸς ῥεύματα καὶ πυρέτοις ῥοώδεις. ἔστι δὲ εὐστόμαχος καὶ σταλτικὸς κοιλίας, καὶ οὐρητικός.

Περὶ Ῥοδίτου οἴνου. Κεφ. λέ.

Ῥοδίτης δὲ οὕτω σκευάζεται· ῥόδων ξηρῶν κεκομμένων μνᾶν μίαν ἐνδήσας εἰς B ὀθόνιον, κάθες εἰς γλεύκους ξέστας ή· μετὰ δὲ τρεῖς μῆνας, διυλίσας μετάγγιζε καὶ ἀποτίθεσο. Χρήσιμος δὲ ἀπυρέτοις πρὸς στομάχου πέψεις καὶ πόνους ἐπιπινόμενος, πρός τε καθύγρους κοιλίας καὶ δυσεντερίας. σκευάζεται δὲ καὶ διὰ χυλοῦ ῥόδων, καὶ μέλιτος μιγνυμένου, ὃ καλεῖται C Ῥοδόμελι. ἁρμόζει πρὸς τὰς ἐν ἀρτηρίᾳ τραχύτητας.

Ald. δυσεντερίαν

Περὶ Μυρτίτου οἴνου. Κεφ. λϛ'.

Μυρτίτης δὲ σκευάζεται οὕτω· δεῖ μύρτα μέλανα παρακμάζοντα λαβόντα, κόπτειν καὶ ἐκθλίβειν τὸν χυλὸν δι' ὀργάνου καὶ καταγγίζειν. ἔνιοι δὲ καὶ ἀφε- D ψοῦσιν εἰς τρίτον. τινὲς δὲ, καὶ προηλιοπεδεύουσιν ἐν ἡλίῳ, καὶ ξηράναντες μίσγουσι τῇ χοίνικι κοπείσῃ τρεῖς κοτύλας ὕδατος, καὶ οἴνου παλαιοῦ τὸ αὐτὸ, οὕτω τε ἐκθλίβουσι καὶ ἀποτίθενται. Ἱκανῶς δὲ ἐστὶ στυπτικὸς καὶ εὐστόμαχος, ῥευματιζομένῳ τε στομάχῳ καὶ κοιλίᾳ χρήσιμος, πρός E τε τὰς ἐντὸς ἑλκώσεις καὶ ῥοῦν· μελαίνει δὲ καὶ τρίχας ἐν κεφαλῇ.

Orib. interpretes, austeri.

Περὶ Μυρσινίτου οἴνου. Κεφ. λζ'.

Μυρσινίτης δὲ σκευάζεται οὕτω· δεῖ λαβόντα τῶν μελαινῶν μυρσινῶν τοὺς ἀκρέμονας καὶ τὰ φύλλα σὺν τοῖς μύρτοις κόπτειν, καὶ βάλλειν εἰς τοὺς τρεῖς τοῦ γλεύ- F κους χόας, τῆς μυρσίνης κεκομμένης μνᾶς ι'. καὶ ἕψειν ἄχρις ἂν δύο ἀπολειφθῶσιν ἢ τὸ ἥμισυ, καὶ διυλίσαντας ἀποτίθεσθαι. Ποιεῖ δὲ οὗτος πρός τε ἀχῶρας καὶ πίτυρα, ἐξανθήματα, οὖλα, παρίσθμια, ὦτα πυορροοῦντα· στέλλει καὶ G ἱδρῶτας.

Περὶ Σχινίνου οἴνου. Κεφ. λή.

Καὶ ὁ Σχίνινος δὲ ἐοικότως τῷ μυρσινίτῃ σκευάζεται.

matura lignosíque nuclei expertia sumito, aciníſq; expreſſum ſuccum, aut ita vt eſt, aut ad tertias decoctũ reponito. Efficax eſt contra fluxiones internas & febres alui ꝓfluuio comitatas. Eſt & ſtomacho vtile, aluúmq; aſtringit & vrinã mouet.

De vino Rhodite. Cap. XXXV.

Rhodites ſeu roſaceũ ſic fit: Roſarum ſiccarum tuſarúmq; minam illigatã linteolo in muſti ſextarios octo conijcito: & poſt tres menſes colo traiectum transfundito atque reponito. Vtile eſt ijs qui febri carent ad ſtomachi coctiones iuuandas, eiuſdémque dolores leniẽdos, à cibo potum: nec non & cõtra humidas aluos ac dyſenterias. Fit quoque è ſucco roſarum ammixto melle quod Rhodomeli vocant, arterię ſcabritijs vtile.

De vino Myrtite. Cap. XXXVI.

Myrteum cõficitur ad hũc modum: Myrti baccas nigras præ maturitate iam flacceſcentes tundito, torculóque expreſſum ſuccum diffundito. Aliqui etiam ad tertias decoquunt. Alij baccas priùs in cratibus ad ſolem ſiccant, & earũ contuſarum ſingulis chœnicibus ternas aquæ heminas & vini veteris parem modum adijciunt: poſteà exprimunt atque recondunt. Potenter aſtringit: ſtomacho vtile: alui ſtomachíq; rheumatiſmis prodeſt, itémque contra inteſtinas vlcerationes, fluorémq; muliebrem: denique capitis etiam denigrat capillos.

De vino Myrſinite. C. XXXVII.

Myrſinites ita temperatur: nigræ myrti teneri ramuli cum ſuis baccis ac folijs tuſi decem minarum pondo in tres muſti congios merguntur, coquuntúrque, donec duo ſuperſint, aut certè dimidium: tandémque colatum id vinum ad vſus reconditur. Contra manantia capitis vlcera, furfures, papularum eruptiones, gingiuarum ac tonſillarum inflammationes & aures purulentas efficax eſt, ac ſudores quoque cohibet.

De Lẽtiſcino vino. C. XXXVIII.

Lentiſcinum ſimiliter atq; myrſinites temperatur.

De vino Terebinthino. Cap. XXXIX.

Nec secus Terebinthinum. Nam & harũ arborũ ramuli sumi debẽt, in quibus fructus insit. Sed & assimilis sunt ista vina facultatis: siquidẽ astringunt, stomacho vtilia sunt; & fluxionibus stomachi, intestinorũ ac vesicæ, itemq; sanguinis profluuio accõmodãtur: vlcera omnia fluxioni obnoxia fotu ad cicatricẽ perducunt: vuluæ denique ac sedis rheumatismos insessione cohibent.

De vino Palmeo. Cap. XL.

Palmeum vinũ vt conficias, palmulas, quas chydæas quasi vulgares vocant, eásq; maturas in doliolum imo pertusum & arundine picata obstructũ demittito, ita vt foramen lino obturatũ sit. Tùm denis chœnicibus ternos aquæ congios affundito: quòd si non admodũ dulce id esse libeat, quinos congios infundito, & ad dies decẽ macerari illas sinito. Exacto eo spatio, hoc est, die vndecima detracto ab arundine linteo, vinũ crassum ac dulce excipito, atq; reponito. Suaue illud quidẽ, sed capiti noxium: cõtra fluxiones, propter astrictoriã vim, efficax: eandẽ ob causam stomachicis, cœliacis & sanguinẽ excreãtibus conuenit. Sunt qui addita rursum pari aquæ mensura, manantem deinde liquorem excipiunt: id quod tertiò, quartò & quintò faciunt, non item amplius: quando quod reliquum ab his est, acescit.

De vino Catorchite. Cap. XLI.

Catorchites, quod aliquibus sycites quasi ficatũ appellatur, in Cypro similiter palmeo concinnatur: sed hoc interest, quòd in hoc præparando nonnulli pro aqua recens pressorũ vinaceorũ diluti tantundẽ adijciunt. Sumuntur in hũc vsum caricæ nigræ, quæ chelidoniæ puniceæve seu purpureæ appellantur: atque macerantur, vti anteà dictũ est. Post dies decem liquor excipitur, atque iterùm ac tertiò diluti vinaceorum par modus affunditur. Simili modo spatijs intercedentibus excipitur & quarta & quinta infusio: qua similiter acescẽte, vice aceti vtũtur. Porrò vinũ eiusmodi tenuium est partiũ: flatus gignit, stomacho aduersatur, & fastidium creat: bonam tamen facit aluum, & vrinam ciet: menses quoque trahit, & lactis vbertatem præstat:

A Περὶ Τερμινθίνου οἴνου. Κεφ. λθ'.

Καὶ ὁ Τερμίνθινος ὁμοίως. ἔγκαρποι γὰρ καὶ τούτων αἱ ἀκρέμονες λαμβάνονται. καὶ παραπλησίας εἰσὶ δυνάμεως, στυπτικοὶ καὶ εὐστόμαχοι, ῥεύμασί τε ἁρμόζοντες στομάχου, ἐντέρων, κύστεως, αἱμορραγίαις. κατουλοῦσι δὲ καὶ τὰ ῥευματικὰ πάντα ἕλκη, ἐπαντλούμενοι τοῖς τε περὶ ὑστέραν καὶ ἕδραν ῥευματισμοὺς στέλλουσιν, ἐγκαθιζόμενοι.

B

Περὶ Φοινικίτου οἴνου. Κεφ. μ'.

Φοινικίτης· λαβὼν φοίνικας τοὺς χυδαίους πεπείρους, βάλε εἰς πιθάκνην τετρημένην ἐν τῷ πυθμένι, καὶ ἐσφηνωμένην καλάμῳ πεπισσωμένῳ. τὸ δὲ τρῆμα λίνῳ βεβύσθω. ἐπίχεε δὲ τοῖς δέκα χοίνιξιν, ὕδατος

C χόας γ'. εἰ δὲ μὴ λίαν αὐτὸ γλυκὺ θέλεις εἶναι, πέντε χόας ἐπίχει. ἔα δὲ ἐπὶ ἡμέρας ι'. τῇ δὲ ια'. ἀφαιρῶν τὸ ἀπὸ τοῦ καλάμου ὀθόνιον, ἀπόδεχου οἶνον παχὺν καὶ γλυκὺν, καὶ ἀπόθεσο. Ἔστι δὲ ἡδὺς μὲν, κεφαλαλγὴς δὲ· ποιεῖ πρὸς ῥεύματα, διὰ τὸ στῦφον· ὅ-

D θεν στομαχικοῖς, καὶ κοιλιακοῖς, καὶ αἱμοπτοϊκοῖς ἁρμόζει. ἔνιοι δὲ τὸ αὐτὸ πάλιν τοῦ ὕδατος μίσγοντες δέχονται, καὶ τοῦτο τρίτον ποιοῦσι, καὶ τέταρτον, καὶ πέμπτον, ὅτι λοιπὸν ὀξίζει. Sunt qui addant, καὶ ἕκτον, quas etiã voces expressit Ruellius.

Περὶ Κατορχίτου οἴνου. Κεφ. μα'.

Καὶ ὁ Κατορχίτης δὲ, ὃν ἔνιοι συκίτην

E καλοῦσιν, ἐν Κύπρῳ σκευάζεται ὁμοίως τῷ φοινικίτῃ· διαφέρει δὲ, ὅτι ἐπὶ τούτου ἔνιοι ἀντὶ ὕδατος, στεμφύλων ἀπόβρεγμα νεοθλίπτων τὸ ἴσον μέτρον βάλλουσιν. ἰσχάδες δὲ λαμβάνονται αἱ χελιδόνιοι καλούμεναι, ἢ φοινικαῖ, μέλαιναι δὲ εἰσί, καὶ ἀποβρέχονται ὡς προείρηται. μετὰ δὲ ἡμέρας δέκα ἐκλαμ-

F βάνεται τὸ ὑγρὸν, καὶ ἐκ δευτέρου καὶ τρίτου ἐπιχεῖται τοῦ ἐκ τῶν στεμφύλων ἀποβρέγματος τὸ αὐτὸ μέτρον· ὁμοίως δὲ ἐκ διαστημάτων ἐκλαμβάνεται τὸ δ'. καὶ ε'. ἀπόβρεγμα ὁμοίως ὀξίζον, ᾧ ἀντὶ ὄξους χρῶνται. Λεπτομερὴς δέ ἐστι καὶ φυσώδης καὶ κακοστόμαχος, ἀποστρέφων ὄρεξιν,

G εὐκοίλιος μέντοι καὶ οὐρητικός. καταστᾷ δὲ καὶ ἔμμηνα, καὶ γάλα δαψιλὲς ποιεῖ,

αἷμα δὲ φαῦλον κατασκευάζει, καὶ ἐλε- A φαντιάσεως ἐστὶ ποιητικὸν, ὡς καὶ τὸ ζῦθος. ἔνιοι δὲ καὶ ἁλῶν τοῖς ἓξ κεραμίοις ξέστας ἐμβάλλουσι δέκα. ἄλλοι δὲ, ἅλμης κεράμιον, δυσμετάβλητον καὶ εὐκοίλιον ἔσεσθαι δοκούμενοι. ἄλλοι δὲ, καὶ θύμον καὶ μάραθον ὑποστρώσαντες τῷ πυθμένι, εἶτα τὰς ἰσχάδας, καὶ ἐναλλὰξ τοῦτο ποιοῦσιν, ἄχρις ἂν πληρώσωσι τὸ ἀγγεῖον. B

Περὶ Συκομορίτου οἴνου. Κεφ. μβ'.

Σκευάζεται δὲ καὶ ὁ ἐκ τῶν Συκομόρων ὡσαύτως. ὄξος δὲ γίνεται δριμὺ, διὰ τὸ μὴ ἐξισχύειν τὴν δύναμιν αὐτῶν φυλάσσειν τὴν γλυκύτητα τοῦ ῥεύματος.

Περὶ Ῥητινίτου οἴνου. Κεφ. μγ'. C

Ὁ δὲ Ῥητινίτης καὶ κατὰ τὰ ἔθνη σκευάζεται· πλεονάζει δὲ ἐν Γαλατίᾳ, διὰ τὸ ἀποξυνέσθαι τὸν οἶνον ἀπεπτώτου μενούσης τῆς σταφυλῆς, διὰ τὸ ψύχειν, εἰ μὴ παραπλακῇ πιτυΐνῃ. κόπτεται δὲ σὺν τῷ φλοιῷ ἡ ῥητίνη, καὶ τῷ κεραμίῳ μίγνυται ἡμικοτύλιον. καὶ οἱ μὲν, ἀπηθοῦσι μετὰ τὸ ἀποζέσαι χωρίζοντες τὴν ῥητίνην. ἄλλοι δὲ, ἐῶσι. παλαιωθέντες δὲ γίνονται ἡδεῖς. Πάντες δὲ κεφαλαλγεῖς ἄλλως τε οὗτοι καὶ σκοτωματικοί, πεπτικοὶ μέντοι καὶ οὐρητικοὶ, καὶ καταῤῥοιζομένοις καὶ βήσσουσιν ἁρμόζοντες· κοιλιακοῖς, δυσεντερικοῖς, ὑδρωπικοῖς, καὶ ῥοικαῖς γυναιξί· τοῖς δὲ ἐν βάθει ἑλκουμένοις, ἔγκλυσμα. στυπτικώτερος μέντοι τοῦ λευκοῦ ἐστὶν ὁ μελανίζων. D E

Περὶ Στροβιλίτου οἴνου. Κεφ. μδ'.

Στροβιλίτης δὲ σκευάζεται, ἐναποβρεχομένων τῷ γλεύκει στροβίλων προσφάτων καὶ τεθλασμένων. ποιεῖ δὲ τὰ αὐτὰ τῷ ῥητινίτῃ. ἐὰν δὲ γλεύκει ἐναποβρέξας τις τοὺς στροβίλους ἑψήσῃ, ἁρμόζει καὶ φθινώδεσιν ἱκανῶς πινόμενος. F

Περὶ Κεδρίνου. Κεφ. με'.

Ὁ δὲ Κέδρινος ἢ Ἀρκεύθινος, ἢ Κυπαρίσσινος, ἢ δάφνινος, ἢ πιτύϊνος, ἢ ἐλάτινος, σκευάζεται ὁμοίως. χρὴ γὰρ τὰ ξύλα νεότμητα σχίζοντας, ὅτε τὸν καρπὸν ἐκδίδωσι, τιθέναι πρὸς ἥλιον ἢ ἐν βαλανείῳ, ἢ ἐν πυρὶ ὥστε ἐνιδρῶσαι, καὶ μίσγειν τῷ χοῒ G

Lacuna addit ex v. cod. ἢ δρύϊνος.

at vitiosum sanguinē creat, & elephantiasin infert, vti & zythū. Aliqui senis amphoris denos salis sextarios adijciūt: alij muriæ amphorā. Sic enim ægriùs vitiari, & aluo idoneum reddi existimant. Alij etiam thymum & fœniculū in fundo substernunt, deindéq; caricas componunt, atque ita vicissim, donec vas expleuerint.

De vino è Sycomoris factitio. Cap. XLII.

Fit & è Sycomoris vinum codē modo, sed in acetū acre degenerat: quoniā non ita prçualet vis eorum, vt manātis liquoris dulcedo retineri possit.

De vino Resinato. Cap. XLIII.

Resinatum vinum passim apud varias gentes factitari solet, sed plurimū in Galatia: quoniā illic prç frigore nō maturescēte vua vinū facilè coacescit, nisi picea resina condiatur tēperetúrve. Tunditur autē cum cortice resina, & amphoræ dimidia hemina permiscetur. Aliqui vbi efferbuit, excolant separántque resinā: alij eādē relinquūt. Hęc porrò vina vetustate suauia redduntur. Sed omnia capitis dolorē & vertiginē faciunt: concoctionē tamē adiuuant, & vrinam cient: destillatione vexatis ac tussientibus prosunt: itē cœliacis, dysentericis, hydropicis, & fœminis vuluæ fluore laborātibus: profundioribus exulcerationibus eadem infundūtur. Cæterùm in hoc genere nigricans albo magis constringit.

De vino Strobilite. Cap. XLIIII.

Strobilites fit, maceratis in musto strobilis recētibus & contusis, præbétque resinati effectus. Quòd si quis strobilos musto præmaceratos decoxerit, abundè potum ijs cōducet qui tabitudine conficiuntur.

De Cedrino vino, & alijs. Cap. XLV.

Cedrinum, Iuniperinum, Cupressinum, Laurinū, Pineū & Abiegnū, simili ratione concinnantur. Arborum enim, dū fructus edunt, cæsam recēs materiem assulosè diuidere, & Soli aut balneo, ignive admouere oportet vti consudet, congióque

vini minam vnam permiſcere, atq; ita duorũ menſium ſpatio ſinere: tũ demum transfundere, Soli exponere, tandémq; recondere. Porrò factitiorũ huiuſmodi vinorũ vaſa impleri debẽt: nanque illa non expletis vaſis aceſcunt. Nihilominus medicata vina rectè valentibus haudquaquam idonea. Cæterùm iſthæc omnia excalfaciũt, vrinam cient & leuiter aſtringunt. Laurinum tamẽ vehemẽtius excalfacit. Fit quoque vinum è Cedri maioris fructu, in vnum muſti congium addito baccarum contuſarum minæ ſemiſſe. Sed diebus quadraginta inſolari, ac ijs exactis, defęcatum in vaſa transferri debet.

De Iuniperino vino. Cap. XLVI.

Fit & è baccis Iuniperi, ſimiliter vt è cedri fructu, & ad eadẽ valens.

De Cedrite. Cap. XLVII.

Cedrites hoc modo fit: Cedriam dulci aqua lauant, & ſingulas amphoras ſingulis cyathis proluunt, & ita muſto replent. Hoc quoque vini genus excalfacit, attenuat, tuſſi antiquæ citra febrem vtile, necnon & pectoris laterũmq; doloribꝰ, torminibus ac vẽtris & inteſtinorũ vlceribus, purulẽta excreãtibus, hydropicis, & mulieribus vuluæ cauſarijs. Facit & aduerſus lumbricos atq; rigores: cõtra venenatorũ morſus auxiliatur, ac ſerpẽtes necat: auriũ deniq; doloribus inſtillatũ medetur.

De vino Picato. Cap. XLVIII.

Vinum picatũ ex liquida pice & muſto tẽperatur. Picem autem primùm marina aut muria tantiſper eluere oportet, dũ inalbuerit, & ſincera maris aqua defluat: mox aqua dulci iterũ proluenda. Tùm in congios octo muſti additur vncia picis vna aut altera, atque ita ſinitur. Pòſt vbi efferbuerit atque ſubſederit, in vaſa diffunditur. Hoc genus vini [illegible] excalfacit, 'concoctionem adiuuat, abſtergit atque purgat: proindéque vtile doloribus pectoris, alui, iocineris, lienis & vuluarũ, ſi ſine febre ſint, itémque veteribus rheumatiſmis & profundis exulcerationibus. Eſt & efficax contra tuſſim, tardam concoctionem, inflationes & anhelationes: luxatis denique, pręſertim in ſuccida lana, imponitur.

A τοῦ οἴνου μνᾶν μίαν, καταμίξαντας τε ἐᾶν μῆνας β'. εἶτα μεταγγίζειν, καὶ ἡλιάσαντας ἀποτίθεσθαι. πληροῦν δὲ δεῖ τὰ ἀγγεῖα τῶν σκευαστῶν οἴνων· ἀποξυνοῦνται γὰρ τὰ ἀπόκενα. ἄχρηστοι μέν τοι εἰσὶ φαρμακώδεις οἶνοι τοῖς ὑγιαίνουσι. θερμαντικοὶ δὲ πάντες, οὐρητικοὶ, ὑποστύφοντες. ὁ μέν τοι B δάφνινος, θερμαντικώτερος. γίνεται δὲ καὶ ἐκ τοῦ καρποῦ τῶν μειζόνων κέδρων οἶνος. Dal. μείζων
δεῖ δὲ τῷ χοῒ τοῦ γλεύκους ἡμιμναῖον κεκομμένων τῶν κεδρίνων μίξαι· ἡλιάσαι τε ἐφ' ἡμέρας μ'. μετὰ δὲ ταῦτα διυλίζειν, καὶ μεταγγίζειν.

Περὶ Ἀρκευθίτου οἴνου. Κεφ. μϛ'.

C Γίνεται καὶ ἐκ τοῦ τῶν ἀρκευθίδων καρποῦ, ὁμοίως τῷ κεδρίτῃ, τὰ αὐτὰ ποιῶν.

Περὶ Κεδρίτου. Κεφ. μζ'.

Κεδρίτης δὲ γίνεται οὕτω· κεδρίαν πλύναντες ὕδατι γλυκεῖ, διακλύζουσιν ἕκαστον κεράμιον κυάθῳ ἑνὶ, καὶ οὕτω πληροῦσι γλεύκους. D θερμαντικὸς δὲ καὶ οὗτος γίνεται, καὶ λεπτυντικὸς, βηχὶ παλαιᾷ ἁρμόζων δίχα πυρετῶν, καὶ πόνοις θώρακος, πλευρῶν, στρόφοις, ἕλκεσι τοῖς ἐν κοιλίᾳ καὶ ἐντέροις, ἐμπυϊκοῖς, ὑδρωπικοῖς, ὑστερικαῖς· ποιεῖ καὶ πρὸς ἕλμινθας, καὶ πρὸς ῥίγη· βοηθεῖ θηριοδήκτοις, καὶ ἑρπετὰ κτείνει· ὠταλγίας τε ἐνσταζόμενος ἰᾶται. Deeſt in Ald.

Περὶ Πισσίτου οἴνου. Κεφ. μη'.

E Οἶνος πισσίτης σκευάζεται ἐκ πίσσης ὑγρᾶς, καὶ γλεύκους. δεῖ δὲ τὴν πίσσαν πρότερον πλύνειν θαλάσσῃ ἢ ἅλμῃ ἐφ' ἱκανὸν, μέχρις ἂν λευκανθῇ, καὶ ἡ θάλασσα καθαρὰ ἀπορρέῃ, ἔπειτα ὕδατι γλυκεῖ· καὶ τοῖς η'. χοεῦσι μίσγειν οὐγγίας πίσσης α'. ἢ β'. καὶ ἐᾶν. μετὰ δὲ τὸ ἀναζέσαι καὶ καταστῆναι, καταγγίζειν. Ἔστι δὲ θερμαντικὸς, πεπτικὸς, σμηκτικὸς, ἀνακαθαρτικός· εὔθετος τοῖς περὶ θώρακα, κοιλίαν, ἧπαρ, σπλῆνα καὶ ὑστέρας πόνοις δίχα πυρετοῦ, καὶ χρονίοις ῥεύμασι, καὶ ἑλκώσεσι τοῖς ἐν βάθει· G ποιεῖ καὶ πρὸς βῆχας, βραδυπεψίας, πνευματώσεις, ἄσθματα· καὶ πρὸς στρέμματα δὲ μᾶλλον μετ' οἰσυπηρῶν ἐρίων.

Περὶ Ἀψινθίτου οἴνου. Κεφ. μθ'.

ΑΨΙΝΘΙΤΗΣ δὲ ποικίλως σκευάζεται. Οἱ μὲν γὰρ τοῖς μ'. καὶ η'. ξέσταις τῶν Ἰταλικῶν κεραμίων, μίξαντες ἀψινθίου Ποντικοῦ λίτραν μίαν, ἕψουσι μέχρι τὸ γ'. ἀποληφθῆ. ἔπειτα προσεπιχέαντες γλεύκους ξέστας ς'. καὶ ἀψινθίου ἡμιλίτριον ἐπιμελῶς μίξαντες, καταγγίζουσι· καταστάντα δὲ διυλίζουσιν. Οἱ δὲ, μνᾶν ἀψινθίου εἰς τὸ κεράμιον καθιᾶσι, κόψαντες καὶ ἐνδήσαντες εἰς ὀθόνιον ἀραιὸν, ἐῶσιν ἐπὶ μῆνας δύο. Οἱ δὲ, ἀψινθίου οὐγγίας γ'. ἔνιοι δὲ τέσσαρας, καὶ νάρδου Συριακῆς, κινναμώμου, κασσίας, σχοίνου ἄνθους, καλάμου, ἐλάτης φοίνικος, ἀνὰ οὐγγίας β'. καθιᾶσιν εἰς μετρητὴν γλεύκους, καὶ εἰς ὅλμον κόψαντες καὶ σφηνώσαντες, ἐῶσι δίμηνον ἢ τρίμηνον· εἶτα διυλίσαντες καὶ μεταγγίσαντες, ἀποτίθενται. Οἱ δὲ, εἰς γλεύκους μετρητὴν νάρδου Κελτικῆς < ιδ'. καὶ ἀψινθίου < μ'. καθιᾶσιν ἐν ὀθονίῳ δήσαντες· καὶ μεθ' ἡμέρας μ'. μεταγγίζουσιν. Οἱ δ', εἰς τοὺς ξέστας κ'. τοῦ γλεύκους λίτραν α'. ἀψινθίου ἐμβάλλουσι, καὶ πιτυίνης ξηρᾶς ῥητίνης οὐγγίας β'. μετὰ δὲ ἡμέρας ι'. διυλίσαντες, ἀποτίθενται. Ἔστι δὲ εὐστόμαχος, οὐρητικὸς, χρήσιμος βραδυπεπτοῦσιν, ἡπατικοῖς τε καὶ νεφριτικοῖς, καὶ ἰκτερικοῖς, ἀνορέκτοις, κακουμένοις στόμαχον καὶ πρὸς ὑποχονδρίων τάσιν χρόνιον, καὶ πρὸς ἐμπνευματώσεις, ἕλμινθας στρογγύλας, ἔμμηνα ἐπεχόμενα· πρός τε ἰξίου πόσιν πλεῖστος ποθεὶς καὶ ἐξεμούμενος ἁρμόζει.

Sunt qui legant ἑξαυε. Cornarius legit γλεύκους ξέστας ϛ'.

Lacuna addit ex v. cod. καὶ ἀποτίθενται ἐπὶ μῆνας τρεῖς.

Sunt qui ita legant hoc loco ex vet. codicibus, καὶ τῷ μετρητῇ τοῦ γλεύκους ἐμβρέχουσι. quæ scriptura ab Hermolao & Ruellio expressa est. Lacuna verò sic legit. οἱ δὲ μνᾶν ἀψινθίου κόψαντες, καὶ ἐνδήσαντες εἰς ὀθόνιον ἀραιὸν, εἰς τὸ κεράμιον τοῦ γλεύκους καθιᾶσι, καὶ ἐῶσιν ἐπὶ μῆνας δύο.

Ald. ϛ'. at Lac. legit, εἰς τοὺς εἴκοσι ξέστας.

Περὶ Ὑσσωπίτου οἴνου. Κεφ. ν'.

Ὑσσωπίτης δὲ ὁ ἐκ τοῦ Κιλικίου ὑσσώπου κάλλιστός ἐστι· σκευάζεται δὲ ὁμοίως τῷ ἀψινθίτῃ. δεῖ δὲ τῷ κεραμίῳ τοῦ γλεύκους λίτραν μίαν τοῦ ὑσσώπου κεκομμένων τῶν φύλλων προσδιδόναι, ἐνδεσμοῦντας εἰς ὀθόνιον ἀραιόν. συγκαθίενται δὲ λιθάρια, ἵνα τῷ πυθμένι προσκαθίσῃ ὁ ἔνδεσμος· μετάγγιζε δὲ δι' ἡμέρας μ'. διυλίζων. ἁρμόζει δὲ πρὸς τὰ ἐν θώρακι καὶ πλευρᾷ καὶ πνεύμονι πάθη, ἐπι-

A *De vino Absinthite. Cap. XLIX.*

ABSINTHITES variè conficitur. Aliqui enim in duodequinquaginta sextarios, Italicarum amphorarũ additam absinthij Pontici libram decoquũt ad tertias partes. Dein vbi insuper affuderint sex musti sextarios, & absinthij selibrã B diligẽter permiscuerint, in vas diffundunt: cúmque subsederit, excolant. Alij absinthij minam tusam & linteolo raro deligatam in musti amphoram demittunt, inibiq; duobus mensibus macerari patiuntur. Alij absinthij quadrantem trientémve, & nardi Syriacæ, cinnamomi, cassiæ, floris iunci odorati, cala- C mi & palmę elates singulos sextantes priùs in pila tusos in musti metretam conijciunt, & obstructo vasis spiraculo duûm triúmve mensium spatio dimittunt, tandémque defæcatum vinum trãsfundunt ad vsus. Sunt & qui in musti cadum addant nardi Celticæ vncias xiiij. & absinthij vncias xl. linteo illiga- D tas: post quadragesimũ verò diem elutriant. Alij deniq; in viginti musti sextarios absinthij libram, & resinæ pini siccæ sextantem immittunt, & post dies decem vinum excolant atque recondunt. Vtile est stomacho: vrinam cit: tardam concoctionem accelerat: hepaticis, ne- E phriticis, regio morbo laborantibus, cibum auersantibus, & stomacho malè affectis auxiliatur. Valet & contra diuturnam hypochondriorum distentionem, inflationes, teretésque lumbricos & remoratos menses. Denique prodest & contra hausta ixiæ venena, maiore copia potum, identidémque vomitione F redditum.

De vino Hyssopite. Cap. L.

Hyssopites è Cilicio hyssopo maximè laudatur, fitq; haud secus atque absinthites. Scilicet foliorum hyssopi tusorum libra linteo raro inuoluta in amphoram musti con- G ijcitur. Intra linteolum verò simul etiã immittũtur lapilli, vt degrauatus ponduscùlo fasciculus sidat, petátque fundum. Vinum post xl dies, defæcatum elutriatur. Contra pectoris, lateris & pulmonis vitia, veteré tus-

sim & anhelationem prodest. Vrinam quoque cit, atque torminibus febriúmque rigoribus circuitu redeuntibus auxiliatur, ac menses denique mouet.

De vino Chamædryite. Cap. LI.

Chamædryites simili quo hyssopites modo fieri solet. Excalfacit atque discutit, ideóq; conuulsis, regio morbo, vuluę inflationibus, tardæ cócoctioni & incipienti hydropi subuenit. Cæterùm inueterascés præstantius euadit.

De vino Stœchadite. Cap. LII.

Simili quoque modo Stœchadites cóficitur: sed in congios sex, minam stœchadis vnam addere oportet. Humores crassos dissoluit, & inflationes, lateris ac neruorum dolores atq; perfrictiones discutit. Datur & vtiliter comitialibus cum pyrethro & sagapeno.

De aceto è Stœchade. Cap. LIII.

Ad eadem quoque fit acetum è Stœchade, herba ipsa vti antè dictú est aceto macerata: eosdé verò implet effectus.

De vino è Betonica. Cap. LIIII.

Fit vinum Cestrites è betonica, quam cestron psychotrophon appellant. Herba semine maturo prægnans cum suis ramulis minæ pondo in vini congios duos adijcitur, septémque mensium spatio dimittitur, tandémque transfunditur. Ad multa intestina vitia, vti & frutex ipse, pollet. Et vt in vniuersum dicatur, quælibet factitia vina eorum ex quibus finguntur sibi vires asciscunt. Quare ijs qui illorum naturas pernouerint, fuerit etiam ex facili vinorum vires cóiectura consequi: veruntamen vinorum vsus febricitantibus abdicádus. Fit etiamnum è betonica acetú, ad eadé vitia vtile.

De vino Tragoriganite.
Cap. LV.

Tragoriganites fit quaternis tragorigani drachmis linteolo colligatis, in quaternos musti sextarios coniectis, & post tertium mensem transfusis. Prodest torminibus, conuulsis, ruptis, lateris doloribus, flatuum discursationibus ac difficilibus concoctionibus.

A χας τε παλαιάς, καὶ ἆσθμα· ἔστι δὲ καὶ οὐρητικὸς, καὶ στροφουμένοις ἁρμόζει, περιόδους τε ῥίγη τὰ ἐν περιόδοις· κινεῖ δὲ καὶ ἔμμηνα.

Περὶ Χαμαιδρυΐτου οἴνου. Κεφ. να´.

Καὶ ὁ Χαμαιδρυΐτης ὁμοίως τῷ ὑσσωπίτῃ σκευάζεται· θερμαντικὸς ὢν καὶ B διαλυτικός· ἁρμόζων σπασμοῖς καὶ ἰκτέροις, ὑστερικαῖς πνευματώσεσι, βραδυπεψίαις, ὕδρωπι ἀρχομένῳ. ἀμείνων δὲ παλαιούμενος γίνεται.

Περὶ Στοιχαδίτου οἴνου. Κεφ. νβ´.

Σκευάζεται καὶ Στοιχαδίτης ὁμοίως. δεῖ δὲ τοῖς ϛ´ χοεῦσι μνᾶν μίαν στοιχάδος C διδόναι. διαλύει δὲ πάχη καὶ πνευματώσεις, καὶ πόνους πλευρᾶς καὶ νεύρων, καὶ καταψύξεις· δίδοται δὲ καὶ ἐπιληπτικοῖς ὠφελίμως μετὰ πυρέθρου καὶ σαγαπηνοῦ.

Περὶ ὄξους Στοιχαδικοῦ. Κεφ. νγ´.

Γίνεται καὶ ὄξος διὰ Στοιχάδος πρὸς τὰ εἰρημένα, ἐναποβρεχομένης ὄξει τῆς D πόας, ὡς προείρηται. ποιεῖ δὲ πρὸς τὰ αὐτά.

Περὶ Κεστρίτου οἴνου. Κεφ. νδ´.

Γίνεται καὶ ἐκ τοῦ Κέστρου τοῦ ψυχοτρόφου οἶνος. δεῖ δὲ λαμβάνειν τὴν πόαν σπέρματος πλήρη πεπείρου σὺν τοῖς κλάδοις, καὶ μνᾶν μίαν βάλλειν εἰς οἴνου χοᾶς E β´. ἐᾶν τε ἑπτὰ μῆνας, καὶ οὕτω μεταγγίζειν. ποιεῖ δὲ πρὸς πολλὰ τῶν ἐντὸς, καθάπερ καὶ ὁ θάμνος αὐτῆς. καὶ καθόλου πάντες οἱ σκευαστοὶ οἶνοι ἀναλαμβάνουσι τὴν δύναμιν τῶν μιγμάτων· διὸ τοῖς τὰς ἐκείνων ἐπεγνωκόσι φύσεις εὐχερὲς καὶ τὰς τῶν οἴνων δυνάμεις συμβάλλειν· ἀπυ- F ρέτοις μέντοι ἐστὶν ἡ τῶν οἴνων χρῆσις. καὶ ὄξος δὲ ἐξ αὐτοῦ γίνεται, πρὸς τὰ ἐοικότα πάθη χρησιμεῦον. — Lac. legit in vet. cod. περὶ ὧν καὶ ὁ θάμνος αὐτῆς.

Περὶ Τραγοριγανίτου οἴνου.

Τραγοριγανίτης· τραγοριγάνου < δ´. εἰς γλεύκους ξέστας δ´. ἐν ὀθονίῳ χάλα πρὸς μῆνας γ´. καὶ μετάγγιζε. ἁρ- G μόζει στρόφοις, σπάσμασι, ῥήγμασι, πόνοις πλευρῶν, πνευμάτων διαδρομαῖς, δυσπεψίαις. — V. inserit πάσμασι

Περὶ Βουνίτου οἴνου. Κεφ. νϛʹ.

Οἶνος διὰ Βουνίου· βουνίου < ϛʹ. κόψας, καθὲς εἰς κοτύλας γλεύκους τέσσαρας, καὶ τ' ἄλλα ὁμοίως ποίει. Ἁρμόζει δὲ στομαχικοῖς κεκοπωμένοις δι' ὁπλομαχίαν, ἢ ἱππασίαν πολλήν.

Περὶ Δικταμνίτου οἴνου. Κεφ. νζʹ.

Goup. alter, δικτάμνου < αʹ. εἰς γλεύκους &c. cui Hermolaus consensit.

Δικταμνίτης· δικτάμνου < δʹ. εἰς γλεύκους κοτύλας ηʹ. ἀπόβρεχε ὁμοίως. Ποιεῖ δὲ ἀνορεκτοῦσι στόμαχον, ἀλλὰ καὶ λόχια καὶ ἔμμηνα.

Περὶ Πρασίτου οἴνου. Κεφ. νηʹ.

Ὁ διὰ πρασίου· πρασίου τοῦ ἀκμαίου φύλλα κόψας, χοίνικας βʹ. καθὲς εἰς μετρητὴν γλεύκους, καὶ τ' ἄλλα ὁμοίως ποίει· Ἁρμόζει δὲ τοῖς περὶ θώρακα, καὶ πρὸς ὅσα τὸ πράσιον.

Περὶ Θυμίτου οἴνου. Κεφ. νθʹ.

Θυμίτης· θύμου κεκομμένου καὶ σεσησμένου *οὐγγίας ρʹ. ἐνδήσας εἰς ὀθόνην, καθὲς εἰς γλεύκους κεράμιον. Ἁρμόζει πρὸς δυσπεψίας, ἀνορεξίας, *δυσεντερίας, νεύρων πόνους, ὑποχονδρίων, φρίκας χειμερινάς, καὶ πρὸς ἰοβόλα τὰ ψύχοντα καὶ σήποντα.

Περὶ Θυμβρίτου οἴνου. Κεφ. ξʹ.

Θυμβρίτης ὁμοίως σκευάζεται. καὶ πρὸς τὰ αὐτὰ ποιεῖ, πρὸς ἃ καὶ ὁ θυμίτης.

Περὶ Ὀριγανίτου οἴνου. Κεφ. ξαʹ.

Ὀριγανίτης δι' ὀριγάνου Ἡρακλεωτικῆς σκευάζεται, ὁμοίως τῷ θυμίτῃ· ποιεῖ πρὸς τὰ αὐτά.

Περὶ Καλαμινθίτου, γληχωνίτου καὶ ἀβροτονίτου οἴνου. Κεφ. ξβʹ.

Καλαμινθίτης, γληχωνίτης, ἀβροτονίτης, ὁμοίως σκευάζονται τῷ διὰ θύμου· Ποιοῦσι δὲ στομαχικοῖς καὶ ἀνορεκτοῦσι, καὶ πρὸς ἴκτερον· οὐρητικοὶ γάρ εἰσιν.

Περὶ Κονυζίτου οἴνου. Κεφ. ξγʹ.

Οἶνος Κονυζίτης ὁμοίως σκευάζεται· ἔστι δὲ πάντων μᾶλλον θηριακός.

Περὶ Ἀρωματίτου οἴνου. Κεφ. ξδʹ.

Ὁ δὲ Ἀρωματίτης οὕτω κατασκευά-

A *De vino Bunite. Cap. LVI.*

E Bunio fit vinum nomine Bunites, binis drachmis Bunij tusi in musti quaternas heminas missis, & cæteris eodem modo factis. Cōfert stomachicis & armorū certaminis equitandíve lassitudine oppressis.

De vino Dictamnite. Cap. LVII.

B Dictamnitis cōficiendi ratio hæc est: Dictamni quaternas drachmas in octonis musti heminis similiter macerato. Facit aduersus stomachi fastidia, & purgamenta à partu, mēsésque ciet.

De vino Prasite. C. LVIII.

Ad vinum è Marrubio conficiendum, foliorum marrubij adulti tusorum chœnices duas in musti metretam demittito, cæteráque consimiliter facito. Conuenit hoc vinum pectoris vitiis, atque omnibus, quibus & ipsum marrubium. C

De vino Thymite. C. LIX.

Thymites sic fit: Thymi tusi & cribrati drachmas centū linteo illigatas musti amphoræ indito. Valet cōtra difficiles coctiones, cibi fastidia, graues ructus, neruorū & præcordiorū dolores, frigoris hyemalis horrores: itémq; aduersus animalia virus eiaculantia, quæ quidē ictu suo locum refrigerant & putrefaciunt. D

De vino Thymbrite C. LX.

Simili modo è Thymbra vinum fit: quod eadem quæ Thymites præstat. E

De vino Origanite. C. LXI.

Sic & Origanites ex origano Heracleotico conficitur, haud secus atque Thymites, & ad eadem quoq; est efficax.

De vinis è Calamintha, Pulegio & Abrotono. C. LXII. F

E Calamintha, Pulegio & Abrótono vina fiunt, eodē quo Thymites modo. Prosunt stomachicis & cibum auersantibus: ac valent etiamnum ad morbum regium, propterea quòd vrinas cient.

De vino Conyzite. C. LXIII.

G Similiter & è Conyza vinum fit: quod contra venenata præ cæteris est efficax.

De vino Aromatite. C. LXIIII.

Vinum Aromatites ita componi-

tur: Palmæ, aſpalathi, calami, nardi Celtici, ſingulorum vncias ſingulas poſtquam contriueris, paſſo ſubigito: indéque factas grandiores offas in muſti auſteri ſextarios duodecim deijcito, & operculato vaſe quadraginta dies macerari ſinito: excolatum deinde vinum recondito. Eſt & altera eius parandi ratio: Calami drach. viij. phu drach. vij. coſti drach. ij. nardi Syriaci drach. vj. caſſiæ drach. viij. croci drach. iiij. amomi drach. v. aſari drach. iiij. Hæc, inquam, omnia ſimul trita & linteo colligata in muſti metretam demergito: & poſtquam vinum deferbuerit, transfundito. Facit ad pectoris, lateris & pulmonis dolores: difficili vrinæ, rigoribus, retardatis menſibus, atque ijs qui per gelidæ hyemis rigorem iter faciunt, potu auxiliatur. Conuenit & ijs qui humores craſſos gignunt: coloré quoque meliorem hilarioremque facit, & ſomnum conciliat, doloréſque leuat, veſicæ ac renum vitijs vtile.

De vino ex myrrha, pipere & iride. Cap. LXV.

Fit & vinum ad deſtillationes, tuſſim, cruditates, inflationes & ſtomachi ſuperfluos humores. Myrrhę drach. ij. piperis albi drach. j. iridis drach. vj. aniſi drach. iij. Iſta penitus cōtuſa & linteolo illigata in ſex vini ſextarios conijcito: vinum poſt triduum excolato, & in lagena recondito. Ab inambulatione meraculum cyathi vnius menſura propinatur.

De vino Nectarite. Cap. LXVI.

Nectarites paratur ex helenio, quod alij Medicá, alij ſymphytum, aliqui verbaſcum Idæum, alij oreſtion, alij denique nectarion appellant. Radicis helenij ſiccæ vncias v. linteolo colligatas in muſti ſex congios addito, & poſt tertium mēſem diffundito. Facit ad ſtomachi & pectoris vitia, ac vrinas quoque pellit.

De vino è Nardo Syriaco, Celtico & Malabathro. Cap. LXVII.

E Syriaca nardo & Celtica, malabatróq; vinū factitatur in hūc modū: ſingulorū minę ſemiſsē in binos muſti cōgios mittito, & poſt bimeſtre colato: cyathū vnū cum tribus

A ζεται· φοίνικος, ἀσπαλάθου, καλάμου, νάρδου Κελτικῆς, ἑκάστου *χοίνικα λειώσας, *φύρασον γλυκεῖ. καὶ ποιήσας εὐμεγέθεις μάζας, βάλε εἰς γλεύκους αὐστηροῦ ξέστας ιβ'. καὶ ἔασον ἡμέρας μ'. σφηνώσας τὸ ἀγγεῖον εἶτα διυλίσας, ἀποτίθεσο· σκευάζεται δὲ καὶ ἄλλως· καλάμου ὁλ- — Lac. legit ex vet. cod. φύρασον γλυκεῖ
B κὰς η'. φοῦ < ζ'. κόστου < β'. νάρδου Συριακῆς < ϛ'. κασσίας < η'. κρόκου < δ'. ἀμώμου < ε'. ἀσάρου < δ'. ταῦτα ὁμοῦ λειώσας καὶ ἐν ὀθονίῳ δήσας χάλασον εἰς μετρητὴν γλεύκους, καὶ μετὰ τὸ ἀποζέσαι τὸν οἶνον μετάγγιζε. Ποιεῖ δὲ πρὸς πόνους θώρακος, πλευροῦ,
C πνεύμονος. δυσουρίαις τε καὶ ῥίγεσιν, ἐμμηνίοις ἐπισχεθεῖσι, καὶ τοῖς διὰ κρυμὸν ὁδοιποροῦσιν ἁρμόζει πινόμενος· καὶ πρὸς τοὺς πάχος γεννῶντας· προσποιεῖ δὲ καὶ εὐχροιαν, ὑπνωτικός τε ἐστὶ καὶ ἀνώδυνος, τοῖς περὶ κύστιν καὶ νεφροὺς ἁρμόζων πάθεσι.

Περὶ οἴνου τοῦ ἐκ σμύρνης, πεπέρεως,
D καὶ ἴρεως. Κεφ. ξε'.

Σκευάζεται δὲ *οἶνος πρὸς κατάρρους, βῆχας, ὠμότητας, ἐμπνευματώσεις καὶ πλάδον στομάχου· σμύρνης < β'. πεπέρεως λευκοῦ < α'. ἴρεως < ϛ'. *ἀνήθου < γ'. ταῦτα ὁλόκοπα ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς ξέστας ϛ'. οἴνου· μετὰ δὲ
E τρίτην διυλίσας, ἀποτίθεσο εἰς λάγηνον. καὶ πότιζε μετὰ περίπατον διδοὺς ἄκρατον, κύαθον α'. — Lac. inserit ex vet. cod. καὶ ἄλλας ἀ-σιτωσεις (?) — G. Hæc ita leguntur in vet. libris. ἀνίσου < γ'. ταῦτα ἐνδήσας, vt Hermolaus legit.

Περὶ Νεκταρίτου οἴνου. Κεφ. ξϛ'.

Ὁ δὲ Νεκταρίτης σκευάζεται ἐκ τοῦ ἑλενίου· ὃ ἔνιοι Μηδικὴν, οἱ δὲ σύμφυτον, οἱ δὲ, Ἰδαῖον φλόμον, οἱ δὲ, ὀρέστιον, οἱ δὲ, νεκτάριον
F καλοῦσιν· ἑλενίου ῥίζης ξηρᾶς *οὐγκίας ε'. ἐνδήσας εἰς ὀθόνιον, κάθες εἰς χόας ϛ'. γλεύκους, καὶ μετὰ γ'. μῆνας ἀπόχει. Ποιεῖ δὲ πρὸς στόμαχον, θώρακα· ἄγει δὲ καὶ οὖρα. — Parif. ex. δρα-χμάς

Περὶ τοῦ διὰ Συριακῆς νάρδου καὶ Κελτικῆς καὶ Μαλαβάθρου οἴνου. Κεφ. ξζ'.

Ὁ δὲ διὰ Συριακῆς νάρδου, καὶ Κελ-
G τικῆς, καὶ μαλαβάθρου, σκευάζεται οὕτως· ἑκάστου ἡμιμναῖον λαβὼν, εἰς δίχουν γλεύκους κάθες, καὶ μετὰ μῆνας β'. διΰλιζε. δίδου δὲ καὶ κύαθον α'. πρὸς τρεῖς

ὕδατος. ποιεῖ νεφριτικοῖς, ἰκτερικοῖς, ἡπα- A
τικοῖς, δυσουροῦσιν, ἀχρόοις, στομαχικοῖς.

Ald. ὀγκίας β'. Τινὲς δὲ ἀκόρου *οὐγγίας α' ἢ β'. Κελτικῆς νάρδου οὐγγίας γ'. ἐν κεραμίῳ γλεύκους σκευάζουσιν.

Περὶ Ἀσαρίτου οἴνου. Κεφ. ξη'.

Ἀσαρίτης. Ἀσάρου οὐγγίας γ'. κάθες εἰς γλεύκους κοτύλας ιβ'. ὁμοίως. ἔστι B δὲ διουρητικός, ὑδρωπικοῖς ἁρμόζων, καὶ ἰκτεριῶσιν, ἡπατικοῖς, ἰσχιαδικοῖς.

Περὶ τοῦ διὰ τῆς ἀγρίας Νάρδου οἴνου. Κεφ. ξθ'.

Ὁ δὲ διὰ τῆς ἀγρίας Νάρδου νάρδου ἀγρίας τῆς ῥίζης προσφάτου λειώσας σεσησμένης κάθες οὐγγίας η'. εἰς χοῦν C γλεύκους ὁμοίως. καὶ ἔα μῆνας β'. χρήσιμος ἡπατικοῖς, δυσουροῦσι, πνευματουμένοις, στομαχικοῖς.

Περὶ Δαυκίτου οἴνου. Κεφ. ο'.

Δαυκίτης. Δαύκου τῆς ῥίζης ὁλοκόπου * ⊲ ϛ'. εἰς γλεύκους κεράμιον κάθες ὁμοίως, καὶ μετάγγιζε. ποιεῖ δὲ πρὸς πό- D νους θώρακος, ὑποχονδρίων, ὑστέρας· ἄγει ἔμμηνα, ἐρυγὰς κινεῖ, καὶ οὖρα· ἁρμόζει βηχί, σπάσμασι, ῥήγμασιν.

Περὶ Ἐλελισφακίτου οἴνου. Κεφ. οα'.

Ἐλελισφακίτης ὁμοίως· ἐλελισφά-

Ald. ὀγκίας δ'. Ruellius ⊲ á legisse videtur. κου *οὐγγίας η'. ὁμοίως εἰς γλεύκους ἀμφορέα, ὅ ἐστι κεράμιον, κάθες. ποιεῖ δὲ E πρὸς νεφρῶν πόνους, καὶ κύστεως καὶ πλευρῶν, αἵματος ἀναγωγάς, βῆχα, ῥήγματα, σπάσματα,

Deest in Ald. cod. & ad notha transfertur. *θλάσματα, ἔμμηνα ἐπεχόμενα.

Περὶ Πανακίτου οἴνου. Κεφ. οβ'.

V. ∫ habet. Πανακίτης. Πάνακος οὐγγίαν *α'. εἰς χόα γλεύκους καθεὶς ὁμοίως μετάγγιζε. F ποιεῖ σπάσμασι, ῥήγμασι, θλάσμασιν, ὀρθοπνοίαις· λεπτυντικὸς πάχους σπληνός·

V. βραδυπεψίας ποιεῖ δὲ καὶ πρὸς στρόφους, ἰσχιάδας, *βραδυπεψίας· καταμήνια ἄγει καὶ ἔμβρυα· ὑδρωπικοῖς καὶ θηριοδήκτοις ἁρμόζει.

Περὶ Ἀκορίτου οἴνου. Κεφ. ογ'. G

G. Alter οὐγγίας ś. quam scripturam interpretes sequuntur. Marcellus tamen ⊲ á legit. Ἀκορίτης, ὃ καὶ ὁ ἀπὸ Γλυκυρρίζης ὁμοίως σκευάζεται. δεῖ γὰρ ἑκάστου οὐγγίας *π'. εἰς χόας ϛ'. πρὸς μῆνας γ'. ἀποβρέχοντας μεταγ-

A aquæ exhibeto. Bene facit hoc vinum nephriticis, ictericis, hepaticis, vrinæ difficultate laborantibus, decoloratis & stomachicis. Sút qui acori vnciam vnam aut alteram, & Celticæ nardi vncias iii in musti amphoram adijciunt.

De vino Asarite. C. LXVIII.

B Asariten sic cóficito: Asari vncias iij. in musti heminas duodecim itidem adijcito. Id vini genus vrinam ciet, atque hydropicis, regio morbo laborantibus, hepaticis ischiadicisque conuenit.

De vino è syluestri nardo. *Cap.* LXIX.

E syluestri nardo sic fit: Radicis C syluestris nardi recentis ac tritę cribratæq; vncias viij. in musti congiú similiter addito, & duos menses inesse patitor. Vtile hepaticis, vrinæ difficultate laborantibus, inflatis atque stomachicis.

De vino Daucite. *Cap.* LXX.

Daucites sic: Radicis Dauci planè D cótusæ vncias vj. musti amphoræ similiter indito, atque transfundito. Facit ad pectoris, præcordiorum ac vuluæ dolores: menses pellit, ructus cit & vrinas: prodest denique tussi, conuulsis atque ruptis.

De vino è Saluia. *Cap.* LXXI.

Vinum è Saluia similiter cóficito: Saluiæ vncias viij. in musti am- E phoram, quæ eadem cum ceramio est, simili modo mittito. Valet cótra renú, vesicæ & laterú dolores, sanguinis excreationes, tussim, rupta, vulsa, contusa & menses suppressos.

De vino Panacite. *Cap.* LXXII.

Panacis vnciá j. in musti cógium vnú demittito, ac similiter elutriato. Prodest vulsis, ruptis, contusis & F orthopnœæ: lienis crassitiem extenuat: est & efficax contra tormina, coxédicum dolores & tardas concoctiones: menses & partus extrahit: hydropi & venenatorú morsibus auxiliatur.

De vino Acorite. *Cap.* LXXIII.

G Vina ex acoro & è dulci radice cósimili modo fiunt. Oportet enim singulorum vncias octonas in senis vini congijs tribus mensibus macerare, móxq; vinú in vasa transferre.

Faciunt ad lateris pectorísq; vitia, & vrinas mouent.

De vino Selinite. Cap. LXXIIII.

Seminis apij maturi, recentis & cribrati vncias nouem linteolo colligatas in musti amphoram similiter demittito. Cibi appetẽtiam facit, atque stomachicis & vrinæ difficultate laborãtibus auxiliatur: halitum quoque commendat.

De vinis Marathrite & Anethino. Cap. LXXV.

Ex Fœniculo, Anetho & Petroselino vina eodẽ modo concinnantur, ad eadem efficacia.

De vino è Salis flore. C. LXXVI.

Paratur & è Salis flore vinum ad purgandum efficacius, quàm quod aqua marina tẽperatur. Verùm fauces, renes, vesicam & stomachũ infestat. Quare neq; in secũda, neq; in aduersa valetudine vtile censetur.

De vino Phthorio, seu Abortiuo. Cap. LXXVII.

Fit & vinum quod partus enecat, abortúmve facit. Scilicet dum serũtur vites, veratrum aut cucumis syluester, aut scammonium earũ radicibus adiungitur circumponitúrve. Ita siquidem vuę illorum vires sibi asciscũt ac in sese trahũt, proindéq; vinũ ex ijs depromptũ abortiuum euadit. Datur verò ieiunis mulieribus quæ antè vomuerint, aqua mistum cyathorum octo mensura.

De vino Thymelaite. C. LXXVIII.

Ramorum Thymelææ cum suis folijs & fructu drachmas triginta in tres musti congios mittito, & leui igne coquito, donec congij duo supersint: deindéq; excolatum vinum recondito. Aquosa purgat excrementa, & lienem absumit.

De vino Chamælaite. C. LXXIX.

Chamelææ fruticem dum floret cum folijs tusum cribratúmq; duodecim drachmarum põdere in musti congium addito, ac post duos menses vinum trãsfundito. Hydropicis, hepaticis atque delassatis auxiliatur, itémque fœminis quæ à partu ægrè purgantur.

De vino Chamæpityino. C. LXXX.

Chamæpityinum simili modo concinnatur, & ad eadem cõuenit, vrinæ ciendæ vi præditum.

A ῥίζει. Ποιοῦσι δὲ πρὸς πλευρὰν καὶ θώρακα, κινοῦντες καὶ οὔρησιν.

Περὶ Σελινίτου οἴνου. Κεφ. οδ'.

Σελίνου σπέρματος ὡρίμου, νέου, σεσησμένου οὐγγίας θ. ἐνδήσας εἰς ὀθόνιον, βάλε εἰς κεράμιον γλεύκους ὁμοίως. Ποιεῖ δὲ ὄρεξιν καὶ στομαχικοῖς ἁρμόζει, καὶ δυσουροῦσιν. ἔστι δὲ καὶ εὔπνοος. V. cum. Ald. σ.

B Περὶ Μαραθρίτου καὶ Ἀνηθίνου οἴνου. Κεφ. οε'.

Καὶ Μαραθρίτης καὶ Ἀνήθινος, καὶ Πετροσελινίτης ὁμοίως σκευάζονται, πρὸς τὰ αὐτὰ ποιοῦντες.

Περὶ Ἁλοσανθίνου οἴνου. Κεφ. ος'.

C Σκευάζεται καὶ δι' ἁλὸς ἄνθους, καθαρτικώτερος τοῦ διὰ θαλάττης. κακοῖ δὲ φάρυγγα καὶ νεφρούς, κύστιν, στόμαχον· ὅθεν οὔτε πρὸς ὑγείαν, οὔτε πρὸς πάθη χρήσιμος ὁ τοιοῦτος.

Περὶ Φθορίου ἐμβρύων οἴνου. Κεφ. οζ'.

ΣΤΙΜΜΙ δὲ κράτιστόν ἐστι τὸ στιλπνότατον καὶ λαμπυρίζον, ἐν τῇ θραύσει πλακῶδες, μηδὲν ἔχον γεῶδες ἢ ῥυπαρόν, εὔθρυπτόν τε ὑπάρχον. τοῦτο οἱ μὲν στίβι, οἱ δὲ, πλατυόφθαλμον, οἱ δὲ, λάρβασον ἐκάλεσαν. Δύναμιν δὲ ἔχει ἐμπλαστικήν, στυπτικήν, ψυκτικήν, σταλτικὴν τῶν ὑπερσαρκούντων, ἀπουλωτικὴν ἑλκῶν, καὶ καθαρτικὴν ῥυπαρῶν καὶ τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. ἐπέχει δὲ καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας· καὶ καθόλου δὲ ἐμφερής ἐστιν ἡ δύναμις αὐτοῦ τῷ κεκαυμένῳ μολίβδῳ. ἰδίως δὲ τὰ καύματα οὐκ ἐᾷ ἐσχαροῦσθαι, σὺν στέατι καταχρισθὲν νεαρῷ· καὶ ἀπουλοῖ τὰ ἐσχαρωθέντα, κηροῦ καὶ ὀλίγου ψιμμυθίου μιχθέντων. ὀπτᾶται δὲ σταιτὶ περιπλασθὲν καὶ ἐγκρυβὲν εἰς ἄνθρακας, ἄχρις ἂν ἀνθρακωθῇ τὸ σταῖς. ἐξαιρεθὲν δὲ σβέννυται γάλακτι ἀρρενοτόκου γυναικὸς, ἢ οἴνῳ παλαιῷ. καίεται δὲ ἐπ' ἀνθράκων ἐπιτεθὲν καὶ ἐμφυσηθὲν ἄχρι πυρώσεως· ἐὰν γὰρ ἐπιπλέον καῇ, μολιβδοῦται. πλύνεται δὲ ὡς ἡ καδμεία καὶ ὁ χαλκός. ἔνιοι δὲ ὁμοίως τῇ τοῦ μολίβδου πλύνουσι σκωρίᾳ.

Περὶ Μολιβδαίνης. Κεφ. ρ'.

ΜΟΛΙΒΔΑΙΝΑ δὲ ἀρίστη ἐστὶν ἡ λιθαργυροφανής, ξανθή, ὑποστίλβουσα, καὶ κιρρὰ ἐν τῷ λειοτριβεῖσθαι, ἑψηθεῖσα τε ἐλαίῳ, ἡπατοειδὴς τῷ χρώματι γίνεται. ἡ δὲ ἀερίζουσα ἢ μολιβδόχροος, φαύλη. γεννᾶται δὲ ἐξ ἀργύρου καὶ χρυσοῦ. ἔστι δέ τις καὶ ὀρυκτὴ κατὰ Σεβάστειαν καὶ Κώρυκον εὑρισκομένη. καὶ ταύτης ἐστὶ βελτίων ἡ μὴ σκωριώδης, μηδὲ λιθώδης, ξανθὴ δὲ καὶ στίλβουσα. Δύναμιν δὲ ἔχει ὁμοίαν λιθαργύρῳ καὶ σκωρίᾳ μολίβδου· πλύνουσι δὲ καὶ καίουσιν τὴν αὐτήν. μίγνυται δὲ ἐπιτηδειότερον αὕτη, καὶ ταῖς λιπαραῖς καὶ ἀνεπιδέτοις* ἐμπλάστροις χρησίμως.

οὖσα σαρκωτικὴ καὶ ἀπουλωτική· ταῖς μέντοι A
κολλητικαῖς καὶ σμηκτικαῖς οὐχ ἁρμόζει δυνάμεσιν.

Περὶ Σκωρίας ἀργύρου. Κεφ. ρα΄.

Ald. ἔγκλυσμα perperam. ἕλκυσμα enim dicitur, quoniam cũ vncino è catinis eximitur, longissimè trahitur.

Η ΔΕ τοῦ ἀργύρου Σκωρία καλεῖται, ἕλκυσμα, ἢ ἔγκαυμα· τὴν αὐτὴν δὲ ἔχει δύναμιν τῇ μολυβδαίνῃ. ὅθεν ἐμπλάστροις φαιαῖς μίγνυται καὶ ἀπου- B
λωτικαῖς, στυπτικὴ οὖσα καὶ ἐπιπαστική.

Περὶ Λιθαργύρου. Κεφ. ρβ΄.

ΛΙΘΑΡΓΥΡΟΣ, ἡ μέν τις ἐκ τῆς μολυβδίτιδος καλουμένης ἄμμου γίνεται, χωνευομένης ἄχρι τελείας ἐκπυρώσεως. ἡ δ᾽ ἐξ ἀργύρου· ἡ δ᾽ ἐκ μολίβδου. διαφέρει δὲ ἡ Ἀττική· δευτερεύει δὲ C
ἡ Σπανή· μεθ᾽ ἃς ἡ ἐν Δικαιαρχίᾳ,* καὶ ἐν Καμπανίᾳ, καὶ Σικελίᾳ· πλείστη γὰρ ἐν τοῖσδε τοῖς τόποις γίνεται, μολιβδίνων ἐλασμάτων ἐκφλογουμένων. καλεῖται δὲ ἡ μὲν ξανθὴ καὶ στίλβουσα, χρυσῖτις, ἥτις ἐστὶ κρείττων. ἡ δ᾽ ἐν Σικελίᾳ, ἀργυ-
ρῖτις· ἡ δ᾽ ἐκ τοῦ ἀργύρου, Καλαυρῖτις· D
Δύναμιν δὲ ἔχει στυπτικήν, μαλακτικήν, κοιλωμάτων πληρωτικήν, σταλτικὴν τῶν ἐκ σαρκουμένων, καὶ ἀπουλωτικήν, ψυκτικήν, περιεμπλαστικήν. καύσεις δὲ αὐτὴν οὕτω· κατακόψας εἰς καρύων μεγέθη, καὶ ἐπιθεὶς ἐπ᾽ ἄνθρακας, ἐκριπί-
σας τε ἄχρι πυρώσεως, καὶ περιμάξας E
τὴν προσκειμένην ἀκαθαρσίαν, ἀπότιθεσο. ἔνιοι δὲ ὄξει ἢ οἴνῳ σβέσαντες αὐτὴν ἐπὶ τρίς, πάλιν καίουσι, καὶ ταῦτα ποιήσαντες ἀποτίθενται. πλύνεται δὲ ὡς ἡ καδμεία. λευκαίνεται δὲ οὕτω· λαβὼν τῆς ἀργυρίτιδος λεγομένης, εἰ δὲ μή γε, τῆς ἄλλης κατάθραυσον εἰς με-
γέθη κυάμων ὅσον χοίνικα Ἀττικήν, βα- F
λών τε εἰς καινὴν χύτραν, ἐπίχει ὕδωρ, προσεμβαλὼν πυρῶν λευκῶν χοίνικα, καὶ ἰδίᾳ ἐν ὀθονίῳ καθαρῷ ἀραιῷ κριθῶν δράκα δήσας, ἀπὸ τῶν ὤτων τῆς χύτρας κρέμασον, ἕψε δὲ ἕως ἂν ῥαγῶσιν αἱ κριθαί. εἶτα κατεράσας
πάντα εἰς κρατῆρα πλατύστομον καινόν, τοὺς G
μὲν πυροὺς ῥίψον χωρίσας, τὴν δὲ λιθάργυρον πλεῖον ἐπιχέας ὕδωρ, βιαίως ταῖς χερσὶ προστρίβων ἅμα· εἶτα ἀνελόμενός τε αὐτὴν καὶ ξηράνας, τρίβε ἐν θυίᾳ Θηβαϊκῇ,

Sunt qui addant, καὶ Ποτιόλοις καὶ Βαΐαις.

Fallopius Λαυρῖτις legẽdum putat, à Laurio mõte.

quippe quæ carnem recreat & cicatricem obducit. At verò glutinantibus detergentibúsque cõpositionibus haudquaquam conuenit.

De argenti Scoria. Cap. CI.

RECREMENTVM argenti, quod helcysma seu encauma vocatur, eandem quam molybdęna vim habet. Quamobrem emplastris fuscis & cicatricem inducentibus miscetur: vtpote cùm astringat, & spiracula cutis obducat.

De argenti spuma. Cap. CII.

SPVMA argenti quædam fit ex arena, quam molybditin vocant, in fornacibus cõflata, donec perfectè igni incandescat: altera ex argẽto: tertia ex plũbo. Probatissima est Attica: proxima Hispaniensis. Has sequitur quæ fit Puteolis Cãpaniæ, & in Sicilia. Plurima enim hisce locis è flagrantibus laminis plumbeis gignitur. Quæ flauo colore splẽdet, chrysitis appellatur, omniũ optima: quæ in Sicilia, argyritis: quæ ex argento, Calabritis. Vis autem astringere, mollire, explere caua, excrescẽtia in carne reprimere, cicatricẽ inducere, refrigerare, spiracula cutis obducere. Vres porrò argẽti spumam in hunc modum: Ipsam in frusta diuidito, quę iuglãdium magnitudinem æquent: hæc prunis imponito, & ita follibus accendito vt cõflagrent: tùm abstersa quæ insidet spurcitia reponito. Aliqui vbi ter aceto aut vino restinxêre, rursum vrunt, & hoc facto recondunt. Abluitur vt cadmia. Candor verò datur ad hunc modum: Sumito de ea quæ argyritis nominatur, aut, si desideretur, de alia quapiam in partes fabarũ magnitudine confracta, quantum capit Attica chœnix: ac vbi fictili nouo indideris, aquam superfundito, adiectáque candidi tritici pari mensura, priuatimque hordei pugillo intra linteolũ mundũ & rarũ de vasis auricula suspẽso, coquito donec rũpatur hordeũ. Deinde quũ omnia in nouum craterẽ oris ampli trãsfuderis, triticũ quidẽ seorsũ abiicito: spumã verò argẽti infusa aqua lauato, simúlq; manibus vehemẽter cõfricato: demum exemptã assiccatámq; in Thebaico mortario terito,

calidam affundens, donec ea penitus soluta fuerit. Excolata aqua, iterum tota die terito, & vesperi infusa calida finito: postero mane hác vbi eliquaueris, aliam infundito, atque ita ter die excolato. Idem septenis diebus repetito. Post id tempus additis ad singulas spumę argẽti minas quinis salis fossilis vncijs, affusáque aqua calida, ter die terito & ammixta aqua excolato. Cùm inalbuerit, calida infusa idem facito, dum nullam prorsus salsuginem resipiat. Tandem ardentissimo sole siccatam eiecto priùs humore recondito. Sin aliter voles, argyritidis spumæ minam vnam diligenter terito, deindéque addito triplo sale fossili trito in ollam nouam coniicito, infusáque aqua ita vt superemineat, moueto quotidie mane & vesperi, aquam superinfundens, priore nequaquam effusa. Hoc idem facito tricenis diebus: nanque nisi moueatur, in testæ duritiem concrescit. Post hęc effusa leniter muria, argenti spumam in Thebaico mortario terito, coniectámque in fictile infusa aqua manibus diligenter agitato: aquam subinde mutato, donec nullum salsuginis præbeat indicium. Demum quod ex argenti spuma candidum apparet in aliud vas transferto, & redactum in pastillos plumbea pyxide condito. Alij spumam argenti ad fabarum magnitudinem confractam in ventre suillo crudo ex aqua coquunt, dum viscus velut eliquescens dissoluatur, indéque exemptam & cum pari sale tritam abluunt, vti suprà dictum est. Sunt qui salis libram vnam & spumæ argenti tantundem in sole ex aqua terant, hac subinde mutata, dum candor ei concilietur. Alia ratio: Sumito quantam vis argenti spumam, ac vbi lana candida inuolueris, fictili nouo indita aqua cum fabarum recentium repurgatarumq; pugillo decoquito. Cúmque fabæ disruptę dehiscent, lanaq; denigrata fuerit, exemptam argenti spumam & altera lana

A ἐπιχέων θερμὸν ὕδωρ, ἕως ἂν διαλυθῇ, καὶ ἀπηθήσας τὸ ὕδωρ πάλιν τρῖβε δι' ὅλης τῆς ἡμέρας· εἰς ἑσπέραν δὲ ἐπιχέας ὕδωρ θερμὸν, ἔασον· καὶ πρωῒ ἀπηθήσας ἄλλο ἐπίχει, καὶ ἀπήθει τῆς ἡμέρας τρεῖς. τοῦτο ποίει ἐπὶ ἡμέρας ζ'. εἶτα μίξας τῇ μνᾷ τῆς λιθαργύρου ἁλῶν ὀρυκτῶν * <
B ε'. θερμόν τι παραχέων, λέαινε τρὶς τῆς ἡμέρας, ἀπηθῶν καὶ μιγνὺς ὕδωρ. ὅταν δὲ λευκὴ γένηται, θερμὸν ἐπιχέων τὸ αὐτὸ ποίει, ἄχρις ἂν μηδεμιᾶς ἔμφασιν ἁλυκότητος ἔχῃ. καὶ ξηράνας ὀξυτάτῳ ἡλίῳ, προεκβάλλων τὴν ἰκμάδα, ἀποτίθεσο. εἰ δὲ μή, μνᾶν μίαν λαβὼν
C τῆς ἀργυρίτιδος, λέαινον ἐπιμελῶς. καὶ τρίψας μίξον ἁλῶν τριπλάσιον, λείων, ὀρυκτῶν· καὶ βάλλε εἰς καινὴν χύτραν. ἐπιχέας τε ὕδωρ, ὥστε ὑπερέχειν αὐτό, κίνει ἑκάστης ἡμέρας πρωῒ καὶ δείλης προσεπιχέων ὕδωρ, μηδὲν τοῦ προτέρου ἀποχέων. καὶ ποίει τοῦτο ἐπὶ ἡμέρας λ'.
D μὴ κινουμένου γὰρ ἀποστρακοῦται. μετὰ δὲ ταῦτα ἀποχέας πραέως τὴν ἅλμην, ἐν Θηβαϊκῇ θυίᾳ τὴν λιθάργυρον λέαινε, καὶ βαλὼν αὐτὴν εἰς κεραμεοῦν ἀγγεῖον, ἐπιχέας τε ὕδωρ, κίνει ταῖς χερσὶν ἐπιμελῶς, ἀποχέων τὸ πρότερον καὶ ἐπιχέων τὸ ἕτερον, ἄχρις ἂν μηδεμίαν ἔμφασιν
E ἁλυκότητος ἔχῃ. εἶτα ἀποχέας τὸ λευκὸν τῆς λιθαργύρου εἰς ἕτερον ἀγγεῖον, ἀνάπλασσε τροχίσκους, καὶ ἀπόθου εἰς μολιβδίνην πυξίδα. οἱ δέ, καταθραύσαντες εἰς μεγέθη κυάμων τὴν λιθάργυρον, καὶ βαλόντες εἰς χοίρειον κοιλίαν ὠμὴν ἕψουσιν ἐν ὕδατι, ἄχρις ἂν τακερωθῇ τὸ
F σπλάγχνον· εἶτα ἐξελόντες καὶ μετὰ ἴσων ἁλῶν τρίψαντες, πλύνουσιν ὡς προείρηται. ἔνιοι δὲ ἁλῶν λίτραν μίαν καὶ λιθαργύρου τοσοῦτον τρίβουσιν ἐν ἡλίῳ μεθ' ὕδατος, συνεχῶς ἀποχέοντες ἄχρις ἂν λευκὸν γένηται· ἢ καὶ οὕτω· λαβὼν τῆς λιθαργύρου ὅσον θέλεις, καὶ εἰλύσας
G ἐρίοις λευκοῖς, καὶ θεὶς εἰς κεραμέαν χύτραν καινήν, ἐπιδοὺς τε ὕδωρ καὶ κυάμων καθαρῶν καὶ νέων δράκα μίαν, ἕψε. ὅταν δὲ οἱ κύαμοι διαρραγῶσι, τό, τε ἔριον * λεανθῇ, ἐξελὼν τὴν λιθάργυρον, " καὶ ἑτέρῳ

V. subiicit, ὑποδὺς ὕδωρ καὶ ἐπίψ

εἰλήσας ἐρίῳ, ἐκ δευτέρου ἕψε, κύαθον ἐπιδοὺς ὕδατος, κυάμων τε τὸ ἴσον πλῆθος· καὶ τὰ αὐτὰ ποίει τοῖς προειρημένοις ἐκ τρίτου· καὶ καθόλου ἕως τὸ ἔριον μηκέτι βάπτηται. καὶ τὸ λοιπὸν κατεράσας εἰς θυίαν πρὸς < π΄. Ἀττικὰς λιθαργύρου, μίξον ἁλὸς ὀρυκτοῦ λίτραν α΄ καὶ λέαινε. διαλιπὼν τε ἐπίδος νίτρου πάνυ λευκοτάτου διειλημμένου μεθ' ὕδατος ὁλκὰς μζ΄. καὶ πάλιν τρῖβε ἄχρις ἂν ἡ λιθάργυρος ἱκανῶς λευκὴ γένηται. οὕτω δὲ [G. alter κατηγγίσας.] καταπλήσας αὐτὴν εἰς κεραμεοῦν πλατύστομον ἀγγεῖον, καὶ προσεπιχέας δαψιλὲς ὕδωρ, ἐάσας τι καταστῆναι, τὸ μὲν ἀπήθησον· ἕτερον δὲ ἐπιδοὺς ὕδωρ καὶ ταῖς χερσὶν ἀναταράξας, πάλιν ἐάσας καταστῆναι ἀπήθησον. ἐναλλὰξ δὲ τοῖς προειρημένοις ποίει, ἕως ἂν καθαρὸν ἄγαν τὸ ἀπορρέον ὕδωρ, καὶ γλυκὺ καὶ ἁλυκότητος ἀμέτοχον γένηται· ἐπὶ πᾶσι δὲ κατεράσας αὐτὴν εἰς λοπάδα κεραμέαν καινήν, ἀπηθημένου παντὸς πρότερον τοῦ ὑγροῦ, θὲς ἐν ἡλίῳ ἡμέρας μ΄. ὑπὸ κύνα, καὶ ξηράνας χρῶ. δοκεῖ δὲ ἡ πεπλυμένη ἁρμόζειν εἰς τὰ ὀφθαλμικά, καὶ οὐλὰς ἀπρεπεῖς, καὶ ἐρρακωμένα πρόσωπα, καὶ σπίλων ἔμπλεα.

Περὶ Ψιμμυθίου.

Κεφ. ργ΄.

Ψιμμύθιον δὲ γίνεται οὕτως· εἰς πιθάκνην πλατύστομον ἢ εἰς κεραμέαν γάστραν ἐγχέας δριμύτατον ὄξος, ἀπάρτησον μολιβδίνην πλίνθον ἐπὶ τὸ στόμα [G. alter, τοῦ κεραμείου] τῆς κεραμίας, προϋποκειμένου καλαμίνου ψιαθίου· ἄνωθέν τε αὐτῆς ἐπίρριψον σκεπάσματα, πρὸς τὸ μὴ διαπνεῖσθαι τὸ ὄξος, ὡς ἂν διαλυθῇ, καὶ συγκαταρρυεῖσα διαπέσῃ. καὶ τὸ μὲν ἐπαιωρούμενον καὶ καθαρὸν ὑγρὸν ἀπήθει· τὸ δὲ [Al. ὀλώδες] γλοιῶδες εἰς ἀγγεῖον ἐγχυτέον, καὶ ξηραντέον ἐν ἡλίῳ. εἶτα ἀλεστέον ἐν χειρομύλωνι, ἢ λεαντέον ἄλλως καὶ σηστέον, καὶ μετὰ ταῦτα λοιπὸν τὸ στερέμνιον λεπτοποιητέον καὶ σηστέον· ἐναλλάξ τε τὰ αὐτὰ καὶ τρίτον καὶ τέταρτον ποιητέον. ἄμεινον δέ ἐστι τὸ πρῶτον ἀποσηθέν, ὃ καὶ εἰς τὰς ὀφθαλμικὰς παραληπτέον δυνάμεις.

A obuolutam iterum coquito, cyathum aquæ & parem fabarum modum adiiciens: eadem tertio, quæ suprà, facito, & in summa vsquedum lana non amplius inficiatur. Tandem trasferens in mortarium, ad octogenas spumæ argenti drachmas Atticas, singulas salis fossitij libras adiicito, & terito. Ac interie-B cto aliquo temporis spatio nitri quàm albissimi cum aqua diluti drachmas xlvij. indito: atque iterum terito, donec argenti spuma candoris satis contraxisse videatur. Ita autem vbi fuderis eam ex alto, in fictile oris ampli affusa insuper largiore aqua, ac subsidere siueris, hanc quidem colato: nouam autem C superadiiciens aquam, manibus probè versato, ac sinito rursum vt considat: demúmque per colum traiicito. Alternis eadem prosequere, dum quæ effluit aqua valdè pura, dulcis & salsitudinis expers euaserit. Postremò in fictile nouú translatam excolato sensim omni humore Soli quadraginta diebus sub Ca-D niculæ sydus exponito, & siccata vtitor. Cæterùm constat elotam conferre ad oculorum medicamenta, & ad cicatricum fœditates tollendas, itémque ad facies rugosas ac maculosas.

De Cerussa. Cap. CIII.

CERVSSA fit hoc modo: Infuso in vrceum oris lati, aut in fictilem E vrnam aceto quàm acerrimo, massam plumbeam ad fictilis os substrata priùs arundinea tegete firmato: superiicitóque volamina, ne quà interspiret acetum, donec illa resoluta fuerit, destillánsque ceciderit: tunc excolato humore puro qui superstat, crassamentum in vas transfundito. Hoc deinde siccan-F dum in sole, móxque trusatili mola aliáve ratione terendum cribrandúmque. Postea quod superest duri solidíve in tenues partes redigendum, itidémque cribrandum: vicissim eadem tertiò quartóque facienda. Melior quæ prima cribro excreta est, & hæc quoque ad me-G dicamenta oculorum assumenda.

Secundum locum tenet sequens, ac deinceps reliquæ suo ordine. Nec desunt qui firmata circa mediũ vas matta scirpea, ita vt acetum penè contingat, laminá massámve plumbeam superimponunt, ac indito operculo circumlitóque dimittunt. Post dies decem amoto operculo inspiciunt, ac si quidem resoluta materia fuerit, reliqua, vti suprà diximus, exequuntur. Quòd si quis eam velit in pastillos digerere, aceto acri subigenda, móxque diuidenda in pastillos, qui siccentur in sole. Æstate tamen supradictum opus obeundum est: ita enim candida atque efficax redditur. Sed & hyeme paratur, vrceis supra furnos, balnea aut fornaces impositis: qui enim sursum fertur calor, idem quod sol præstat. Porrò laudatissima censenda quæ fit in Rhodo, Corinthi aut Lacedæmone: proxima, quæ Puteolis. Torretur autem hoc modo: Flagrantibus igni carbonibus fictile nouum, maximéque Atticum, imponito, eíque tritam cerussam inspergito, & assiduè versato: cúmque cinereum colorem traxerit, exemptam refrigerato, atque ita vtitor. Vrere verò si libuerit, tritam concauæ patinæ indito, & prunis impositam ferulacea rudicula misceto, donec similis sandarachæ fiat, extractáque vtitor. Quæ verò ita parata est, sandyx à quibusdam appellatur. Lauatur itidem cerussa cadmiæ modo. Vis ei refrigerare, spiracula cutis obducere, mollire, explere & attenuare, insupérque excrescentia leniter reprimere, & cicatricem inducere: in eósque vsus miscetur ceratis & emplastris lenibus quæ lipara vocantur, itémque pastillis. Sed ex eorum est genere, quæ (sumpta) lethalem vim obtinent.

De Chrysocolla. Cap. CIIII.

CHRYSOCOLLA laudatissima Armeniaca, colorem porri lætè virentis quàm simillimè reddens. Secundum locum sibi vendicat Macedonica, & proximum huic Cypria: quo in genere præferenda quę pura est. Damnatur quæ terram & calculos collegerit. Porrò antedictæ lauandæ ratio hæc est: Tusam iniice in mortarium, & affusa aqua ad pilam expassa manu

A δευτερεύει δὲ τὸ ἐχόμενον, καὶ κατὰ τάξιν τὰ λοιπά. "τινὲς δὲ κατὰ μέσον τὸ ἀγγεῖον κατηρείσαντες, τὸν ῥίπον ἐπιτιθέασιν, ὡς μικρὸν ψαύειν τοῦ ὄξους. τὸ δὲ στόμα αὐτοῦ πωμάσαντες καὶ περιχρίσαντες ἐῶσι. καὶ δι' * ἡμερῶν ἀφαιρούμενοι τὸ πῶμα ἐπισκοποῦνται· ὅτι δὲ διαλυθῇ, τὰ ἄλλα ποιοῦσιν ὁμοίως τοῖς προειρημένοις. εἰ δὲ ἀναπλάσαι τις αὐτὸ ἐθέλει, ὄξει δριμεῖ φυρατέον, καὶ οὕτως ἀναπλαστέον, καὶ ξηραντέον ἐν ἡλίῳ. θέρους μέντοι ἐργαστέον τὰ προειρημένα. οὕτω γὰρ λευκὸν καὶ ἐνεργὲς γίνεται. σκευάζεται δὲ καὶ χειμῶνος, τῶν πιθακνῶν ὑπεράνω ἰπνῶν ἢ βαλανείων ἢ καμίνων τιθεμένων· ἡ γὰρ * ἄνωθεν φερομένη θερμασία τὸ αὐτὸ δρᾷ τῷ ἡλίῳ. κάλλιστον δὲ ἡγητέον τὸ ἐν Ῥόδῳ σκευασθὲν, ἢ ἐν Κορίνθῳ, ἢ ἐν Λακεδαίμονι. δευτερεύει δὲ τὸ ἐκ Δικαιαρχίας· ὀπτητέον δὲ αὐτὸ τὸν τρόπον τοῦτον. ἐπ' ἀνθράκων πεπυρωμένων θεὶς ὄστρακον καινὸν [καὶ μάλιστα Ἀττικὸν] * ἔμπλασσον λεῖον τὸ ψιμμίθιον, καὶ κίνει συνεχῶς. ὅταν δὲ τῇ χρόᾳ ἔνσποδον γένηται, ἀνελόμενος ψύχε καὶ χρῶ. καῦσαι δὲ θέλων, εἰς κοίλην λοπάδα λεῖον ἀποθέμενος, ἐπιθεὶς τε ἐπὶ τοὺς ἄνθρακας, νάρθηκι κίνει ἕως ἂν τὴν χρόαν ἐοικὲς σανδαράχῃ γένηται· καὶ ἀνελόμενος χρῶ. τὸ δὲ οὕτω σκευασθὲν, σάνδυξ ὑπό τινων λέγεται. πλύνεται δὲ τὸ ψιμμίθιον ὁμοίως τῇ καδμείᾳ. Δύναμιν δὲ ἔχει ψυκτικὴν, ἐμπλαστικὴν, μαλακτικὴν, πληρωτικὴν, λεπτυντικὴν ἔτι τε πράως καταστaλτικὴν ὑπεροχῶν, καὶ ° κατουλωτικὴν, μιγνυμένον κηρωταῖς καὶ λιπαραῖς ἐμπλάστροις, καὶ τροχίσκοις. ἔστι δὲ καὶ τῶν ἀναιρετικῶν.

B C D E F (margin section letters as printed beside the Greek column)

G. hic locus sic legitur in veter. lib. τινὲς δὲ κατὰ μέσον τοῦ ἀγγείου, κρεμῶντες ξύλον, ἢ ἐπὶ τὸ ... λούμενον ῥίζ... ἐπιτιθέασιν ὡς μὴ ψαύειν τοῦ ὄξους αἱ ... κρεμώμενον ῥίπον ἔστι.

V. caret.

V. ἀπουλωτικὴν

Περὶ Χρυσοκόλλης. Κεφ. ρδ'.

ΧΡΥΣΟΚΟΛΛΑ δὲ διαφέρει ἡ Ἀρμενιακὴ, τῇ χρόᾳ κατακόρως πρασίζουσα· δευτερεύει δὲ ἡ Μακεδονικὴ, εἶτα ἡ Κυπρία, καὶ ταύτης τὴν καθαρὰν προκριτέον. G τὴν δὲ γῆς καὶ λίθων ἐμπλέων ἀποδοκιμαστέον. πλυτέον τε τὴν προειρημένην οὕτω· κόψας αὐτὴν ἔμβαλε εἰς θυίαν, καὶ ἐπιχέας ὕδωρ τρῖβε πλατείᾳ τῇ χειρὶ πρὸς

τὴν ἴγδην ἐκτρίψας. εἶτα ἐάσας ἀποκαταστῆναι, ἀπήθησον. καὶ ἕτερον ἐπιχέας ὕδωρ, πάλιν τρῖβε· ταῦτα δὲ ποίει ἐναλλὰξ, ἕως καθαρὰ καὶ εἰλικρινὴς γένηται. λοιπὸν ξηράνας ἐν ἡλίῳ, ἀπότιθεσο, καὶ χρῶ. ἐὰν δὲ καῦσαι θέλῃς, καῖε τὸν τρόπον τοῦτον. λεάνας αὐτῆς τὸ αὔταρκες, ἐπίθες εἰς τήγανον, καὶ ἀπόθου ἐπ' ἀνθράκων, καὶ τὰ λοιπὰ ποίει ὡς προείρηται ἐπὶ τῶν πρὸ αὐτοῦ. Δύναμιν δὲ ἔχει ἡ χρυσόκολλα σμηκτικὴν οὐλῶν, καταστατικὴν σαρκωμάτων, καὶ ἀνακαθαρτικὴν, συσταλτικήν τε [καὶ θερμαντικὴν, σηπτικὴν] πραέως μετὰ τοῦ ἐπὶ ποσὸν δάκνειν. ἔστι δὲ καὶ τῶν ἔμετον κινούντων, καὶ ἀναιρεῖν δυναμένων.

V. his caret.

Περὶ Ἀρμενίου.* Κεφ. ρε'.

ΑΡΜΕΝΙΟΝ δὲ προκριτέον τὸ λεῖον καὶ τὸ χρῶμα κυάνεον, ὁμαλόν τε ἄγαν καὶ ἄλιθον, εὐθρυβές. Τὰ αὐτὰ ποιεῖ τῇ χρυσοκόλλῃ, παρὰ τὴν εὐτονίαν μόνον λειπόμενον αὐτῆς. ἔστι δὲ καὶ τῶν ἐν βλεφάροις τριχῶν αὐξητικόν.

Περὶ Κυανοῦ. Κεφ. ρϛ'.

ΚΥΑΝΟΣ γεννᾶται μὲν ἐν Κύπρῳ ἐκ τῶν χαλκουργικῶν μετάλλων· ὁ δὲ πλείων ἐκ τῆς αἰγιαλίτιδος ἄμμου,* εὑρισκόμενος κατά τινας σπηλαιώδεις ὑποσκαφὰς τῆς θαλάσσης, ὅστις καὶ διαφέρει. παραληπτέον δὲ τὸν σφόδρα κατακορῆ. καυστέον δὲ ὡς χαλκῖτιν, καὶ πλυτέον ὡς καδμείαν. Δύναμιν δὲ ἔχει καταστατικὴν καὶ μετρίως σηπτικὴν, ἐσχαρωτικήν τε καὶ ἑλκωματικήν.

Περὶ Ἰνδικοῦ.* Κεφ. ρζ'.

ΤΟΥ δὲ λεγομένου Ἰνδικοῦ, τὸ μὲν αὐτομάτως γίνεται, οἱονεὶ ἔκβρασμα ὂν τῶν Ἰνδικῶν καλάμων. τὸ δὲ βαφικόν ἐστιν, ἐπανθισμὸς πορφυροῦς ἐπαιωρούμενος τοῖς χαλκείοις, ὃν ἀποσύραντες ξηραίνουσιν οἱ τεχνῖται. ἄριστον δὲ ἡγητέον εἶναι τὸ κυανοειδές τε καὶ ἔγχυλον, λεῖον. Ἔστι δὲ τῶν στυφόντων ἐλαφρῶς καὶ ῥησσόντων φλεγμονὰς καὶ οἰδήματα· ἀνακαθαίρει δὲ καὶ καταστέλλει ἕλκη.

G. aliter, ἐκζέσμα

A vehementer affricato: mox vbi considere permiseris, excolato. Alteram infundens aquam, rursum terito: atque hæc vicissim repetito, donec pura sinceráq; spectetur. Tandé siccato in sole, & ad vsus recondito. Quod si vrere volueris, vrito in húc modum: Vbi ex ea triueris quantú sat esse videbitur, *patellæ supra car- B bones imponito, & alia facito quæ in vrendis antè memoratis metallicis recensita fuere. Vis chrysocollæ cicatrices exterere, excrescentes carnes coercere, itémque repurgare, astringere, excalfacere, & cum aliquantula mordacitate leniter excedere. Est verò ex eorum genere quæ vomitiones concitant & necé, C inferre possunt.

τηγάν.

De Armenio. Cap. CV.

ARMENIVM præferendum quod est læue, colore cæruleo, perquàm æquabile, calculorum expers atque friabile. Eadem quæ Chrysocolla præstat: distat hoc vno, quòd est inefficacior. Sed & vsum habet D ad pilos in palpebris *augendos.

βλεφάρ.

De Cyano siue cæruleo. Cap. CVI.

CYANVS in Cypro quidem procreatur ex ærariis metallis, at copiosior ex arena littorali temperatur, quæ quidem secundum quasdam speluncarum instar excauatas E maris suffossiones inuenitur: & hic quoque magis probatur. Eligi debet qui valdè saturo est colore. Vritur porrò, vt chalcitis, & lauatur, vti cadmia. Vis reprimere & modicè excedere, crustas gignere & exulcerare.

De Indico. Cap. CVII.

F EX Indici generibus vnum sponte naturæ prouenit, veluti spuma marísve eiectamentum, Indicis arundinibus adhærescens: alterum dant infectorum officinæ, éstque purpureus quasi flos æreis innatans cortinis, quem derasum artifices siccant. Optimum porrò censendum quod cærulei speciem præbet, G atque etiam succosum est ac læue. Inter medicamenta est quæ leuiter astringunt, & inflammationes ac œdemata rumpunt. Vlcera quoque purgat & reprimit.

De Ochra. Cap. CVIII.

OCHRAM eligere oportet leuissimam ac penitus luteam, saturo colore, minimè lapidosam, friabilem & natione Atticam. Vrenda etiam & lauanda hæc est, cadmiæ modo. Vis eius putrefaciendo excedere, inflammationes & tubercula dissipare, excrescentia in carne reprimere, caua cum cerato explere, & callos articulorúmve tophos comminuere.

De Cinnabari. Cap. CIX.

CINNABARIM falsò putant nonnulli cum eo quod minium appellatur vnum & idem esse. Minium enim in Hispania ex lapide quodam argentariæ arenæ permisto temperatur. Lapis is haud alioqui cognoscitur: sed dum in fornace excoquitur, in floridissimum ardentissimúmque colorem transit. Halitum verò in metallis strangulantem expirat: ideóque metallici faciem vesicis obuelant, vt per illas spectent, neque tamen vaporem noxium respirando trahant. Inde parato minio pictores ad sumptuosa parietum ornamenta vtuntur. Cinnabaris autem de qua hic agitur, ex Africa quidem inuehitur, at magno constat, & vsque adeo rara est, vix vt versicoloribus pictorum lineis satisfaciat. Est porro altè & abundè colorata, & eam ob causam quidam sanguinem esse draconis existimauerunt. Vim habet Cinnabaris eandem quam lapis hæmatites, ad oculorum medicamenta vtilem, imò etiam efficaciorem: magis enim astringit & sanguinem cohibet. Igni quoque ambustis & papularum eruptionibus cerato excepta medetur.

De Hydrargyro, seu argento viuo. Cap. CX.

FIT Argentum viuum è minio, quod & ipsum abusiuè Cinnabaris dicitur. Imposita siquidem patinæ fictili concha ferrea Cinnabarim continente, calycem seu operculum adaptant, quod vndique luto superillinunt, deindéque carbonibus succendunt. Tum quæ calyci adhæréscit * fuligo, derasa refrigeratáque in argentum viuum coit. Quinetiam * inuenitur quod, dum

A Περὶ Ὤχρας. Κεφ. ρη'.

ΩΧΡΑΝ δὲ ληπτέον τὴν κουφοτάτην καὶ μηλίνην δι᾽ ὅλου· κατακορῆ δὲ καὶ ἄλιθον καὶ εὐθρυβῆ, Ἀττικὴν δὲ τῷ γένει. καυστέον δὲ καὶ πλυτέον καὶ ταύτην ὡς τὴν καδμείαν. Δύναμιν δὲ ἔχει * σηπτικήν, σκεδαστικὴν φλεγμονῶν καὶ φυμάτων, καταστέλλει τε τὰ ὑπερσαρκοῦντα· καὶ τὰ B κοῖλα πληροῖ * σὺν κηρωτῇ, καὶ πώρους θρύπτει.

Περὶ Κινναβάρεως. Κεφ. ρθ'.

ΚΙΝΝΑΒΑΡΙ οἴονταί τινες ταὐτὸν ὑπάρχειν τῷ καλουμένῳ ἀμμίῳ, πλανώμενοι· τὸ μὲν γὰρ ἄμμιον σκευάζεται ἐν C Ἰσπανίᾳ, ἐκ λίθου τινὸς μεμιγμένου τῇ ἀργυρίτιδι ψάμμῳ, ἄλλως δὲ οὐ γινώσκεται. * ἐν δὲ τῇ χώνῃ μεταβάλλει εἰς ἀνθηρότατον καὶ φλογωδέστατον χρῶμα· ἔχει δὲ τὴν ἀποφορὰν ἐν τοῖς μετάλλοις πνιγώδη. περιτίθενται γοῦν οἱ ἐπιχειροῦντες τοῖς προσώποις φύσας, πρὸς τὸ βλέπειν μέν, μὴ D σπᾶν δὲ τὸν ἀέρα. χρῶνται δὲ αὐτῷ οἱ ζωγράφοι εἰς τὰς πολυτελεῖς τῶν τοίχων * ἐκκοσμήσεις. Τὸ δὲ κιννάβαρι τοῦτο κομίζεται μὲν ἀπὸ Λιβύης, πιπράσκεται δὲ πολλοῦ καὶ τοσοῦτόν ἐστιν, ὡς μόλις ἐξαρκεῖν τοῖς ζωγράφοις εἰς τὴν ἐν ταῖς γραμμαῖς ποικιλίαν. ἔστι δὲ καὶ * βαρύχρουν, ἢ βαθύχρουν· E ὅθεν ἐνόμισάν τινες αὐτὸ εἶναι αἷμα * δράκοντος. Δύναμιν δὲ ἔχει τὸ κιννάβαρι τὴν αὐτὴν τῷ αἱματίτῃ, ἁρμόζον εἰς ὀφθαλμικά, πλὴν ἐπιτεταμένως· μᾶλλον γὰρ στυφόν ἐστι καὶ ἴσχαιμον· καὶ πυρίκαυστα καὶ ἐξανθήματα ἀναληφθὲν κηρωτῇ θεραπεύει.

F Περὶ Ὑδραργύρου. Κεφ. ρι'.

ὙΔΡΑΡΓΥΡΟΣ δὲ σκευάζεται ἀπὸ τοῦ * ἀμμίου λεγομένου, καταχρηστικῶς δὲ καὶ τούτου κινναβάρεως λεγομένου. θέντες γὰρ ἐπὶ λοπάδος κεραμέας κόγχον σιδηροῦν ἔχοντα κιννάβαρι, περικαθάπτουσιν ἄμβικα περιαλείψαντες πηλῷ, G εἶτα ὑποκαίουσιν ἄνθραξιν· ἡ γὰρ προσιζοῦσα τῷ ἄμβικι αἰθάλη * ἀποξεσθεῖσα καὶ ἀποψυχθεῖσα, ὑδράργυρος γίνεται. εὑρίσκεται δὲ καὶ ἐν τοῖς μεταλλεύεσθαι

Add. in quibusdam στυπτικήν. Sunt qui στυπτικήν tantum legant.

G. verba hæc σὺν κηρωτῇ non sunt in altero, quæ etiam Hermolaus non agnoscit.

G. alter πυλίου quam scripsit τῷ, Hermolaus remanet.

Aliquid hoc loco desiderari suspicatur Marcellus.

V. ἐν δὲ καμίνῳ ἵνα ἐν τῇ χώνῃ

V. [illegible]

Al. δρακόντων

Ald. ἀμμίου

al. sudor.

Vel, & in argentum, inuenitur quod in metallis

ἄργυρον ἐν ταῖς στέγαις κατὰ σταλαγμοὺς συνεστῶσα· ἔνιοι δὲ ἱστοροῦσι καὶ καθ' ἑαυτὴν ἐν τοῖς μετάλλοις εὑρίσκεσθαι τὴν ὑδράργυρον. Φυλάττεται δὲ ἐν ὑαλίνοις ἢ μολιβδίνοις ἢ κασσιτερίνοις ἢ ἀργυρέοις ἀγγείοις· τὴν γὰρ ἄλλην ὕλην πᾶσαν διεσθίει, καὶ ποιεῖ ἀπορρεῖν. Δύναμιν δὲ ἔχει φθαρτικὴν ποθεῖσα· τῷ βάρει διαβιβρώσκουσα τὰ ἐντός. Βοηθεῖται δὲ γάλακτι πολλῷ πινομένῳ καὶ ἐξεμουμένῳ, ἢ οἴνῳ σὺν ἀψινθίῳ, ἢ ἀφεψήματι σελίνου, ἢ ὁρμίνου σπέρματι ἢ ὀριγάνῳ, ἢ ὑσσώπῳ σὺν οἴνῳ. [ῥίνημα δὲ χρυσοῦ, τουτέστι ξύσμα λεπτότατον, πινόμενον, ὑδραργύρου ἐστὶ θαυμαστὸν βοήθημα.]

Ista quæ ad capitis calcem conclusa sunt, adduntur ex veteribus libris & interpretibus.

Περὶ Μίλτου Σινωπικῆς. Κεφ. ριά.

ΜΙΛΤΟΣ Σινωπικὴ κρατίστη ἡ πυκνὴ, καὶ βαρεῖα, ἡπατίζουσα, ἄλιθος, ὁμόχροος, πολύχυτος ἐν τῇ αἱρέσει. συλλέγεται δὲ ἐν τῇ Καππαδοκίᾳ ἐν σπηλαίοις τισί. διυλίζεται δὲ καὶ φέρεται εἰς Σινώπην καὶ πιπράσκεται. ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχηκε. Δύναμιν δὲ ἔχει ξηραντικὴν, ἐμπλαστικήν· διὸ καὶ ἐμπλάστροις τραυματικαῖς μίγνυται, καὶ τροχίσκοις ξηραντικοῖς καὶ στυπτικοῖς. ἵστησι δὲ καὶ κοιλίαν ἐν ᾠῷ λαμβανομένη καὶ ἐγκλυζομένη· δίδοται καὶ ἡπατικοῖς.

Al. στυπτικὴν

Περὶ Τεκτονικῆς. Κεφ. ριβ'.

ΗΔΕ τεκτονικὴ ἥττων ἐστὶ κατὰ πάντα τῆς Σινωπικῆς· ἀρίστη δὲ ἡ Αἰγυπτιακὴ καὶ ἡ Καρχηδονικὴ, *ἄλιθος, εὔθρυπτος. γίνεται καὶ ἐν τῇ πρὸς ἑσπέραν Ἰβηρίᾳ, τῆς *ὤχρας καιομένης [καὶ μεταβαλλούσης] εἰς μίλτον.

V. inserit, μίλτος

V. caret.

Περὶ Λημνίας γῆς. Κεφ. ριγ'.

ΗΔΕ Λημνία λεγομένη γῆ, ἐστὶν ἐκ τινος ὑπονόμου ἀντρώδους, ἀναφερομένη ἀπὸ Λήμνου τῆς νήσου, ἐχούσης ἑλώδη τόπον, κἀκεῖθεν ἐκλέγεται καὶ μίγνυται αἵματι αἰγείῳ· ἣν οἱ ἐκεῖ ἄνθρωποι ἀναπλάσσοντες καὶ σφραγίζοντες εἰκόνι αἰγὸς, σφραγίδα καλοῦσιν αἰγός. Δύναμιν δὲ ἔχει ἀντιδότου θανασίμων φαρμάκων ἔξοχον, πινομένη σὺν οἴνῳ, καὶ προληφθεῖσα ἐξεμεῖσθαι ἀναγκάζει τὰ δηλητήρια.

conflatur argentum, in tectis guttatim concreuit. Sunt & qui argentum viuum per ſeſe in metallis inueniri tradant. Aſſeruatur porrò in vitreis, plumbeis, ſtanneiſve aut argenteis vaſis: quandoquidem aliá omnem materiam ita exeſt, vt permanet atque præterfluat. Cæterúm potum vim pernicialem habet: ſuo enim pődere interna perrodit. Remedio eſt lac copioſű ſubinde potum & vomitionibus reiectum, aut vinum cum abſinthio, aut apij decoctum: aut ſemen hormini, aut origanum vel hyſſopum cum vino. [Auri limata ſcobs, id eſt, ramentum quam tenuiſſimum, epota mirabili eſt contra hydrargyrum auxilio.]

De rubrica Sinopica. Cap. CXI.

RVBRICA Sinopis maximè probatur denſa, grauis, iocineris colorem referens, calculorum expers, concolor, quæque dum diluitur longè latéque diffundi ſolet. Effoditur in Cappadocia ſpelűcis quibuſdam, expurgatáque defertur in Sinopem vrbem, in qua vænundatur: atque inde etiam cognomentum accepit. Vim habet exiccatoriam & emplaſticam: quaproptet vulnerarijs emplaſtris cõmiſcetur, vti etiam paſtillis exiccantibus & adſtrictorijs. Aluum quoque ſiſtit tum ex ouo ſumpta, tű etiam clyſtere infuſa. Datur & eadẽ hepaticis.

De Rubrica fabrili. Cap. CXII.

RVBRICA fabrilis ad omnia Sinopide inferior eſt. Optima Ægyptia & Carthaginenſis, calculorum expers atque friabilis. Naſcitur & in Iberia quæ ad occidentem ſpectat. Fit quoque, exuſta ochra & degenerante in rubricam.

De Lemnia terra. Cap. CXIII.

LEMNIA terra defertur è cuniculoſo quodam ſpecu Lemni inſulæ, in quo naſcitur. Scilicet paluſtris inibi locus eſt, è quo eruitur & hircino ſanguini permiſcetur. Hanc dein incolæ coactam in paſtillos capræ imagine ſignant: vnde & ſphragida ægos, hoc eſt, capræ ſigillum appellauêre. Vim antidoti habet cõtra pernicioſa venena ſingularẽ. Siquidẽ pota cum vino & præſumpta, foras venena vomitione pellit.

Prodest & contra ictus morsúsque animalium, quæ exitiale virus eiaculantur. Antidotis quoque immiscetur. Sunt qui hac etiam ad expiationes vtantur. Est & eadem dysenteriæ vtilis.

A ἁρμόζει δὲ καὶ πρὸς τὰς τῶν θανασίμων ἰοβόλων πληγὰς καὶ δήξεις. μίγνυται δὲ καὶ ἀντιδότοις. χρῶνται δέ τινες καὶ εἰς τελετὰς αὐτῇ. ἔστι δὲ καὶ δυσεντερίαις χρήσιμος.

De Atramento sutorio. Cap. CXIIII.

ATRAMENTVM sutorium genere quidem vnum & idem est, siquidem liquor est concretus: at speciales differentias tres habet. Enimuerò vnum liquoribus stillatim in cuniculos quosdam percolatis concrescit: quamobrem ab ijs qui Cypria metalla tractant, stillatitium appellatur. Peteesius hoc ipsum pinarium vocat: alij stalacticon, id est, stillatitium. Alterum latenter stagnat in speluncis, posteáque trásfusum in excauatas scrobes, concrementum capessit: hoc iccirco pecton, id est, concretitium propriè nominatur. Tertium coctile dicitur, & in Hispania confici solet, sed maximè decolor & bonitate deterrimum esse constat. Ratiò parandi hæc est: Dilutum aqua decoquunt, mox in [*] conceptacula transfusum residere patiuntur. Hoc statis diebus cogitur, & in complures diuiditur tessellatas formulas, quæ quidem racematim inter se cohærescunt. Optimum censetur, quod cæruleum est ac ponderosum, densum & [*] translucens: cuiusmodi stillatitium est, quod ab aliis lonchoton, quasi lanceatum, appellatur. Proximum, concretitium. Coctile verò inficiendis denigrandísque pannis aptius cæteris esse compertum est: sed ad medicinæ vsum inualidius esse experimenta docent. Valet adstringere, calfacere & crustas inducere. Lata ventris animalia necat drachmæ pondere deuoratum, aut cum melle delinctũ: vomitus ciet: & aduersus hausta fungorum venena ex aqua potum auxiliatur. Purgat & caput aqua dilutum, & in vellere naribus instillatum. Cæterùm vritur, vti mox in chalcitidis mentione ostendemus.

[*] Vl. piscinas ligneas.

[*] Vl. perquam perspicabile uisu.

Περὶ Χαλκάνθου. Κεφ. ριδʹ.

ΧΑΛΚΑΝΘΟΝ τῷ μὲν γένει ἓν καὶ ταυτόν ἐστιν· ὑγρὸν γάρ ἐστι B πεπηγός· εἰδικὰς δὲ ἔχει διαφορὰς τρεῖς. τὸ μὲν γὰρ κατὰ σταλαγμὸν διηθουμένων ὑγρῶν εἴς τινας ὑπονόμους συνίσταται· ὅθεν καὶ σταλακτὶς καλεῖται ὑπὸ τῶν τὰ Κυπριακὰ μέταλλα ἐργαζομένων. Πετεήσιος δὲ αὐτὸ καλεῖ πινάριον· ἄλλοι δὲ, σταλακτικόν, C [πηκτὸν, ἑφθὸν, ἀρεκτὸν, λογχωτόν.] τὸ δὲ, ἀφανῶς λιμναζόμενον ἐν σπηλαίοις, ἔπειτα μεταχεόμενον εἰς βόθρους, τὴν πῆξιν λαμβάνει. ὃ δὴ καὶ πηκτὸν ἰδίως ὀνομάζεται. τὸ δὲ τρίτον, καλεῖται μὲν ἑφθόν. σκευάζεται δὲ ἐν Ἱσπανίᾳ. σκευὴν δὲ ἔχει τοιαύτην, ἄχρηστόν τι καὶ ἀσθενέστατον ὑπάρχον. D ὕδατι διέντες αὐτὸ ἕψουσιν, εἶτα εἰς τὰς δεξαμενὰς κατεράσαντες, ἐῶσι. τοῦτο δὲ πήγνυται τεταγμέναις ἡμέραις, εἰς πολλὰ διαιρούμενον κυβοειδῆ σχήματα, βοτρυδὸν ἀλλήλοις [*] προσεχόμενα. ἄριστον δὲ αὐτῶν ἡγητέον τὸ κυάνεον καὶ βαρὺ, [*] πηκτόν τε καὶ διαυγές· οἷόν ἐστι τὸ σταλακτὸν, E ὑπ' ἐνίων δὲ λογχωτὸν καλούμενον· ἐχόμενον δὲ, τὸ [*] πηκτόν. τὸ δὲ ἑφθὸν, πρὸς μὲν βαφὰς καὶ μελάσματα [*] ἐπιτηδειότερον τῶν ἄλλων δοκεῖ εἶναι· πρὸς δὲ ἰατρικὴν, ἀσθενέστερον ἡ πεῖρα δείκνυσι. Δύναται δὲ στύφειν, θερμαίνειν, ἐσχαροῦν· ἕλμινθας πλατείας αἴρει < α. βάρος F καταπινόμενον, ἢ μετὰ μέλιτος ἐκλειχόμενον· ἐμέτους τε κινεῖ· καὶ μύκητας λαβοῦσι βοηθεῖ σὺν ὕδατι ποθέν· κεφαλήν τε καθαίρει ἐνεθὲν ὕδατι, καὶ δι' ἐρίου ῥινεγχυτούμενον. καίεται δὲ, ὡς ὑποδείξομεν αὐτίκα ἐπὶ τῆς χαλκίτεως.

Sic Lacuna legit invet. cod. Vulg. ex. ἁπλῶς ἐργαζόμενον. V. quidam ἀφανῶς λιμναζόμενον.

G. alter ἀχρηστότατον. quam scripturam Hermolaus non sine iudicio retinuit, itémque Lacuna.

G. alter, συνεχόμενα, quod verbum huic accommodatius est. Orib. πυκνόν τε καὶ καθαρόν.

Ald. πυκνόν.

V. διάδηλον.

De Chalciti. Cap. CXV.

PRÆFERENDA Chalcitis æris speciem referés, friabilis, nec lapidosa, nec inueterata, intercutsan-

Περὶ Χαλκίτεως. G Κεφ. ριεʹ.

ΧΑΛΚΙΤΙΝ προκριτέον τὴν χαλκοειδῆ καὶ εὔθρυπτον, ἄλιθόν τε καὶ οὐ παλαιὰν, ἔτι δὲ τὰς ἶνας ἐπιμήκεις καὶ

ἀποστίλβουσας ἔχουσαι. Δύναμιν δὲ ἔχει A στυπτικήν τε καὶ θερμαντικὴν, καὶ ἐσχαρωτικήν· ἀποκαθαρτικὴ τῶν περὶ κανθοὺς καὶ ὄμματα. ἔστι δ' καὶ τῶν μετρίως *συμφόρων. ποιεῖ δὲ καὶ πρὸς ἐρυσιπέλατα, ἕρπητας· αἱμοῤῥαγίας τὰς ἐξ ὑστέρας καὶ μυκτήρων σὺν πρασίου χυλῷ. ξηρὰ δὲ πρός τε ἐπουλίδας καὶ νομὰς καὶ πα- B ρίσθμια. κεκαυμένη δὲ, πρὸς τὰ ὀφθαλμικὰ μᾶλλον χρησιμεύει λεία σὺν μέλιτι. τετυλωμένα μὲν βλέφαρα καὶ τραχέα ἀποτήκει καὶ σμήχει. σύριγγας δὲ ἀγεῖ ἐν κολλυρίου σχήματι ἐντιθεμένη.

G. V. [illegible], ut Ruellius expressit. Sed vulgatam scripturã rectam esse, ex Galeno intelligitur.

De Psorico. Cap. CXVI.

Περὶ Ψωρικοῦ. Κεφ. ρις'.

Σκευάζεται δὲ ἐξ αὐτῆς τὸ καλού- C μενον ψωρικὸν, διπλασίονος χαλκίτεως πρὸς ἁπλῆν καδμείαν μιγνυμένου, καὶ σὺν ὄξει λεαινομένου· δεῖ δὲ ἐν κεραμέῳ ἀγγείῳ κατορύσσειν ἐν κοπρίᾳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἡμέρας μ'. γίνεται δὲ δριμύτερον, δυνάμενον ὅσα καὶ ἡ χαλκῖτις. ἔνιοι δὲ ἴσα μίξαντες οἴνῳ λεαίνουσι, καὶ τὰ D αὐτὰ ποιοῦσι. καυστέον δὲ αὐτὴν ἐν ὀστράκῳ καινῷ ἐντιθέντας, καὶ διαπύροις ἄνθραξιν ἀναφράσσοντας. μέτρον δὲ ἔστω τῆς καύσεως, ἐπὶ μὲν τῶν πολύγρων, τὸ ἀπομφολύγωτον καλῶς ξηρὸν γενέσθαι· ἐπὶ δὲ τῶν λοιπῶν, ἡ ἐπὶ τὸ εὐανθέστερον μεταβολή. ὅταν γὰρ *αἱματώδης καὶ μιλτώ- E δης γένηται τὴν χρόαν κατὰ βάθος, αἰρετέον αὐτήν. τήν τε προσκαθημένην ἀκαθαρσίαν ἀποφυσητέον καὶ ἀποθετέον. ὀπτᾶται δὲ ἐπ' ἀνθράκων ἐμφυσωμένων, μέχρι τοῦ ὕπωχρον αὐτὴν γενέσθαι· ἢ ἐπ' ὀστράκου καὶ διαπύρων ἀνθράκων στρεφομένη πυκνῶς, ἕως ἂν πυρωθῇ καὶ F μεταβάλλῃ τὴν χρόαν.

Sic vetus cod. at vulg. ex. simpliciter habent μα τώδης

Περὶ Μίσυος. Κεφ. ριζ'.

Μίσυ δὲ παραληπτέον τὸ Κύπριον, χρυσοφανὲς, σκληρὸν, καὶ ἐν τῷ θραύεσθαι χρυσίζον, καὶ ἀποστίλβον ἀστεροειδῶς. Δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τῇ χαλκίτιδι, δίχα τῆς τοῦ ψωρικοῦ G κατασκευῆς, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρει. τὸ δὲ Αἰγύπτιον, πρὸς μὲν τ'

tibus venis oblongis splẽdentibúsque. Huic adstrictoria vis est, excalfaciens & crustas vlceribus obducens: repurgat quæ oculis & corundem angulis hærent. Est & in genere leuiter excedentium. Quin etiam efficax est ad erysipelata & herpetas, itémque sanguinis è vulua & naribus eruptiones cum porri succo. Eius farina gingiuas excrescentes, nomas, tonsillásque compescit: vsta eadem & cum melle trita, oculorum medicamentis longè vtilior redditur. Callum quidem scabritiémque palpebrarum absumit abstergitque: fistulas verò collyrij modo indita sanat.

De Psorico. Cap. CXVI.

Efficitur porrò ex ipsa medicamentum, psoricum dictum, duabus eius partibus * vni cadmiæ additis, & ex aceto tritis. Oportet autem in fictile coniici, quod fimo obruatur diebus quadraginta per Caniculæ ardores. Sic enim medicamentum acrius euadit, atque idẽ quod chalcitis potest. Sunt qui mixtas pares vtriusque portiones in vino terunt, & eadem illa prosequuntur. Vritur Chalcitis fictili nouo indita, & ignitis carbonibus imposita. Sit verò modus vstionis, metallicorum quæ quidem humore multo abundauerint, dum bullulas edere desierint, ac perfectè inaruerint: reliquorum verò, dum in floridiorem colorem mutata fuerint. Cùm ergo chalcitis sanguineum ac miniatum colorem interiùs altiúsve contraxerit, tùm demum igni eximenda est: mox insidente spurcitia flatu depulsa reponenda est. Torretur etiamnum perflatis carbonibus, vsquedum subluteo colore pallescat, aut fictili subditis candentibus prunis subinde versata, donec ignescat colorémque mutet.

* Vel [illegible]

De Misy. Cap. CXVII.

Misy assumendum natione Cyprium, auri speciem præ se ferens ac durum, quódque dum friatur aureis micet scintillis, ac stellæ modo radiet splendescátve. Vstionem autem ac vim etiam habet cum Chalcitide eandẽ, preterquàm quod psoricum ex eo non conficitur, intensioríisque ac remissioris facultatis ratione hoc ab illa differt. Ægyptium porrò ad cætera quidem præ-

fertur, tanquam efficacius: sed ad oculariamedicamenta, supradicto longè inferius est.

A δῆλα διαφέρει ἐμπρακτικώτερον ὄν. πρὸς δὲ τὰς ὀφθαλμικὰς δυνάμεις, πολλῷ λείπεται τοῦ προειρημένου.

De Melanteria seu atramento metallico. Cap. CXVIII.

Περὶ Μελαντηρίας. Κεφ. ριη'.

MELANTERIA quædam in faucibus fodinarũ, quibus æs erutũ fuerit, salsuginis modo cõcrescit: altera verò in summa facie supradictorum locorum coit, quæ quidem etiam terrena est. Sed & inuenitur in Cilicia, & aliis quibusdam regionibus, fossilis quædã. Præstat in Melanteriæ genere, quæ sulphurei est coloris, læuis, æquabilis, pura, & quę contactu aquæ confestim nigrescit. Cæterùm vim causticam eandem obtinet, quam & misy.

ΤΗΣ δὲ Μελαντηρίας, ἡ μέν τις τοῖς τῶν ὀρυγμάτων στομίοις, ἀφ' ὧν αἱ μεταλλεύθη ὁ χαλκὸς, ἐπιπήσσεται ἁλμυρώδης B τρόπον. ἡ δὲ, ἐκ τῆς ἄνωθεν ἐπιφανείας τῶν προειρημένων τόπων, ἥ τις καὶ γεώδης ἐστίν. εὑρίσκεται δέ τις καὶ ὀρυκτὴ ἐν Κιλικίᾳ καὶ ἐν ἄλλοις τισὶ τόποις. διαφέρει δ' αὐτῆς ἡ θειώδης, λεία, ὁμαλὴ, καθαρὰ, καὶ ἐν τῷ ἅψασθαι ὕδατος μελαινομένη ταχέως. Δύναμιν δὲ ἔχει καυστικὴν, C τὴν αὐτὴν τῷ μίσυϊ.

De Sory. Cap. CXIX.

Περὶ Σώρεως. Κεφ. ριθ'.

SORY existimauere nonnulli esse melanteriam, sed falsò: siquidem peculiare genus est, illi tamen haud ita dissimile. Verùm Sory virosum magis est, ac nauseam mouet. Inuenitur in Ægypto & aliis quibusdam regionibus, vt & in Africa, Hispania & Cypro. Maximè verò laudatur Ægyptium, quódque friati nigrius apparet, *crebris foraminibus peruium & subpingue, insupérque astringens & haustu olfactúque virosum, atque adeo subuertendi stomachi vim habẽs. Quod autem inter friandum misyos modo nõ scintillat, & alterius generis esse, & inualidum censendum est. Vim & vstionem supradictis similem habet: dolori dentium cauernis inditum medetur: eosdem labantes firmat: ischiadicis ex vino infusum auxiliatur: illitum cum aqua varos extinguit. Miscetur & medicamẽtis quæ pilos denigrant. Hæc verò in communi & alia ferè omnia quæ vstionem experta non sunt, vstis potentiora censeri debẽt: salem excipio, vini fæcem, nitrum, calcem & consimilia, quæ quidẽ cruda, remissiora sunt. Cremata siquidem, viribus efficaciora redduntur.

τι ψήγμα.

ΤΟ δὲ Σῶρυ ἔνιοι ὑπέλαβον Μελαντηρίαν πλανώμενοι· ἴδιον γάρ ἐστι γένος, οὐκ ἀφόμοιον· βρωμωδέστερον δὲ τὸ Σῶρυ καὶ ναυτίας ποιητικόν. εὑρίσκεται δὲ D ἐν Αἰγύπτῳ, καὶ ἐν ἄλλοις δὲ τόποις, ὡς ἐν Λιβύῃ καὶ Ἰσπανίᾳ καὶ Κύπρῳ. προκριτέον δὲ τὸ Αἰγύπτιον, καὶ ἐν τῷ θραυσθῆναι μελάντερον φαινόμενον· καὶ κατατρήσεις τε πολλὰς ἔχον, καὶ ὑπολίπαρον ἔτι δὲ στῦφον, καὶ πρὸς τὴν κατάποσιν ἢ ὄσφρησιν βρωμῶδες, καὶ ἀνατρεπτικὸν στο- E μάχου. τὸ δὲ μὴ* λαμπυρίζον ἐν τῷ θραυσθῆναι ἐμφερῶς μίσυϊ, ἑτερογενές τι καὶ ἀσθενὲς οἰητέον εἶναι. Δύναμιν δὲ ἔχει καὶ καῦσιν τὴν αὐτὴν τοῖς προειρημένοις· ἰᾶται δὲ καὶ ὀδονταλγίας ἐντιθέμενον εἰς τὰ βρώματα, καὶ τοὺς ὑποσάλους δὲ ὀδόντας κρατύνει· καὶ ἰσχιαδικοῖς F βοηθεῖ μετ' οἴνου ἐγκλυζόμενον· ἰόνθους τε σβέννυσι, μεθ' ὕδατος καταχρισθέν. μίγνυται καὶ εἰς τριχῶν μελάσματα. κοινῷ δὲ τρόπῳ ἐπὶ τούτων σχεδὸν καὶ τῶν ἄλλων πάντων, δυναμικώτερα τὰ ἄκαυστα τῶν κεκαυμένων ἡγητέον πλὴν ἁλῶν καὶ τρυγὸς, καὶ νίτρου καὶ τιτάνου καὶ τῶν ὁμοίων, ὅσα ὠμὰ ὄντα ἀνίεται. καιόμενα γὰρ, τὴν G δύναμιν ἐμπρακτοτέραν γίνεται.

De Diphryge. Cap. CXX.

Περὶ Διφρυγοῦς. Κεφ. ρκ'.

DIPHRYGIS tria genera esse creduntur: vnum enim metallicum est, quod in Cypro sola

ΤΟΥ δὲ Διφρυγοῦς τρία ἡγητέον εἴδη. τὸ μὲν γὰρ μεταλλικόν ἐστιν, ὃ δὴ ἐν Κύπρῳ

γεύσεως κρίσει μὴ στύφοντα. τῆς δὲ στρογγύλης ἡ χειροποίητος, ἀδόκιμος ὑπάρχει· γνωρίζεται δὲ ἐκ τοῦ σχήματος. παραληπτέα δ' ἂν εἴη ἡ φυσικῶς στρογγύλη καὶ πομφολυγώδης, ὑπόλευκός τε καὶ στύφουσα ἐῤῥωμένως, ἔτι δὲ ποσὸν ὠχρότητος ἅμα καὶ λιπαρείας ἔχουσα· πρὸς δὲ τούτοις ἄλιθός τε καὶ εὔθρυπτος, καὶ φύει Μηλία ἢ Αἰγυπτία. τῆς δ' ὑγρᾶς τὴν μάλιστα διαφανῆ προκριτέον καὶ γαλακτώδη, ὁμαλήν τε καὶ δι' ὅλου χυλώδη, ἔτι δὲ ἄλιθον καὶ πυρῶδες ἀποπνέουσαν. Δύναμιν δὲ ἔχουσι θερμαντικήν, στυπτικήν, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις· τήκουσαν δὲ καὶ τὰς ἐπὶ τῶν βλεφάρων σάρκας, καὶ τὰ ἄλλα ὑπερσαρκώματα. ἐνεργεστέρας δὲ τῆς στρογγύλης τὴν σχιστὴν ἡγητέον. καίονται δὲ καὶ ὀπτῶνται, ὡς χαλκῖτις. ἴσχουσι δὲ καὶ σηπεδόνας, αἱμοῤῥαγίας· οὖλα πλαδῶντα στέλλουσι καὶ ὀδόντας σειομένους κρατύνουσι σὺν ὄξει ἢ μέλιτι. ἄφθας δὲ ὠφελοῦσι σὺν μέλιτι, καὶ ἐξανθήματα καὶ ῥεύματα ἐν ὠσί, σὺν πολυγόνου χυλῷ. λέπραις δὲ ἁρμόζουσι σὺν κράμβης φύλλοις, ἢ σὺν μέλιτι ἑψηθεῖσαι· καὶ κνησμοῖς, ὄνυξί τε λεπρώδεσι καὶ πτερυγίοις καὶ χιμέτλοις, σὺν ὕδατι καταιονούμεναι. σὺν τρυγὶ δὲ ὄξους καταχριόμεναι μετὰ κηκῖδος ἴσης κεκαυμένης, πρὸς φαγεδαινικά· πρὸς δὲ νομάς, σὺν ἁλὶ διπλοῖς. πιτυριάσεις δὲ σὺν ὀρόβῳ καὶ πίσσῃ ὑγρᾷ σμήχουσι καταχριόμεναι· κονίδων τε καὶ φθειρῶν καὶ πυρικαύστων, σὺν ὕδατι καταχριόμεναι, βοήθημα. οἰδήμασί τε καὶ μασχαλῶν καὶ βουβώνων δυσωδίαις καταχρίουσι. ἡ δὲ Μηλία καὶ πρὸς ἀσυλληψίαν συνεργεῖ, πρὸ τῆς συνόδου προστεθεῖσα τῷ στόματι τῆς ὑστέρας· καὶ ἔμβρυα ἐκτινάσσει· ἐπουλίσι τε καὶ σταφυλαῖς καὶ παρισθμίοις ἐπιτήδειοι καὶ στόμασι, καὶ πρὸς ὦτα καὶ αἰδοῖα σὺν μέλιτι ἐπιχρίουσι.

Ald. πυρῶδες

Addit Lac. ex v. cod. ὑγρὰ στυπτηρία ἐστὶν ἡ πλακῖτις, ἡ ἀπὸ Φιλαδελφείας ὀνομαζομένη, ᾗ οἱ βαφεῖς χρῶνται. i. liquidum alumen est, quod Placitis nomine ex Philadelphia adfertur, quóque lanarum infectores vtuntur.

Al. ἀποκαθαρτικήν

Deest ὑγρᾷ in vulg. exempl. sed addit Lac. ex vet. cod.

Lac. sic legit in vet. cod. ἡ δὲ Μηλία πρὸς ἔμμηνα καὶ πρὸς ἀσυλληψίαν σὺν ἐρίῳ πρὸ τῆς συνόδου παρατεθεῖσα. hoc est, Meliũ ad mẽses eliciendos valet, præstátq; mulieribus ne cõcipiant, appositũ ante cõgressum, cum lana.

Goup. vet. libri add. καὶ σμύρνῃ, quod Hermolaus expressit & Myrrha.

Περὶ Θείου. Κεφ. ρκδ'.

Θεῖον δὲ ἄριστον ἡγητέον, τὸ ἄπυρον καὶ λαμπρίζον τῇ χρόᾳ, διαφανές τε καὶ ἄλιθον. τοῦ δὲ πεπυρωμένου, τὸ χλωρὸν

A gustus iudicio internoſcitur, quòd nõ aſtringat. Damnatur in rotundi genere, quod manu artéve tale effectũ eſt: ſed ex figura depreheḋitur. Aſſumẽdum autẽ quod ſponte naturæ rotundum eſt, bullis turgens, candido propius, & valenter aſtringens, prætereáque nonnihil palloris cum quadam pinguitudine præ B ſeferens: ad hæc calculorum expers ac friabile, & natione Melium aut Ægyptium. Liquidum præfertur maximè pellucẽs, lacteum, planum & æquabile, atq; omni ex parte ſuccoſum, inſupérque minimè lapidoſum, & quẽdam caloris igniculum expirans. Vim habẽt excalfaciendi, aſtringẽdi, & expurgãdi quę pupillis C oculorũ caliginẽ offendũt, palpebrarum quoq; carnes aliáſq; excreſcentias abſumendi. Sciſsile porrò efficacius rotundo cenſendũ eſt. Vruntur verò torrentúrq;, chalcitidis modo. Vlcerũ putreſcẽtia compeſcunt, & ſanguinis eruptiones inhibẽt, gingiuas humore nimio flaccidas comprimunt, mobiléſq; den D tes cũ aceto aut melle firmant. Oris vlceribus, quas aphthas vocant, ammixto melle proſunt, itémque papulis & aurium fluxionibus, cũ polygoni ſucco. Lepris conueniunt cũ braſsicæ foliis aut melle cocta: necnon & pruritui, vnguium ſcabritijs, pterygiis & pernionibus, fotu ex aqua. Valent cum aceti fæce & gallæ E crematæ pari pondere ad phagedęnas vlcerum, & ad nomas cum ſalis duplo. Furfures cum eruo & liquida pice illita exterũt. Ad lendes, pediculos & ambuſta cum aqua inuncta auxilio ſunt. Contra œdemata & graue alarum inguinúmq; virus illinuntur. Ex Melo autẽ aduectum, etiam mulieribus præſtat ne conci F piant, ante coitum ori vuluæ inditum: fœtus quoque pellit. Aluminũ deniq; genera gingiuis excreſcentibus, vuæ ac tõſillis accommodantur: itémque ori, auribus ac verendis cum melle illinuntur.

Plin. liquidũ probatur vt ſit lympidum

De Sulphure. Cap. CXXIIII.

SVLPHVR optimũ exiſtimatur, G quod viuũ ignémve minimè expertum eſt, & ſpẽdido colore nitet, tranſlucens & calculorum expers. In genere autem ſulphuris ignem experti probatur, quod viret

ac præpingue spectatur. Plurimum in Melo & Lipara gignitur. Priore loco commemoratum sulphur, calfacit, discutit & maturat celeriter. (Pl. concoquit) Tussientibus, purulenta excreantibus & suspiriosis prodest, tum in ouo sumptum, tum etiam suffitum: prætereà partus vsti nidore extrahit. Lepras itémque lichenas & scabros vngues aufert, cum terebinthi resina. Ex aceto autem illitum, est quidem ad lepras efficax; sed & vitiligines tollit. Scorpionum etiam ictibus addita resina medetur. Cum aceto verò, draconis marini & scorpionum ictus sanat. Pruritus totius corporis sedat, nitro mistum & affrictum. Regium quoque morbum emendat, inspersum fronti cochlearis mensura, aut in sorbili ouo sumptum. Facit & ad grauedinem ac destillationes: sudores quoque conspersum inhibet: podagricis cum aqua & nitro illitum conducit: grauitaté auditus, suffiti nidore raptim per fistulam hausto, sanat. Lethargicos suffitu excitat. Sanguinis eruptionem sistit: ac deniq; contusis auribus cum vino & melle illitum medetur.

A τε καὶ ἐλλιπές. γεννᾶται δὲ πλεῖστον ἐν Μήλῳ καὶ Λιπάρᾳ. θερμαίνει δὲ τὸ προειρημένον καὶ διαφορεῖ καὶ πεπαίνει ταχέως. βῆχας τε καὶ ἐμπύους καὶ ἀσθματικοὺς ὠφελεῖ ἐν ᾠῷ λαμβανόμενον καὶ ὑποθυμιώμενον· πρὸς δὲ τούτοις ἔμβρυα καταφέρει ὑποθυμιαθέν· καὶ λέπρας, B ἔτι δὲ λειχῆνας καὶ ὄνυχας λεπρώδεις αἴρει, τερεβινθίνῃ μιχθὲν ῥητίνῃ· σὺν ὄξει δὲ καταχριόμενον, ποιεῖ μὲν καὶ πρὸς λέπρας· αἴρει δὲ καὶ ἀλφούς. ἰᾶται καὶ σκορπίων πληγάς, μιχθὲν ῥητίνῃ· σὺν ὄξει δέ, καὶ δρακοντίου θαλασσίου καὶ σκορπίων πληγὴν ἰᾶται. παύει καὶ τοὺς C καθ' ὅλον τὸ σῶμα κνησμούς, σὺν νίτρῳ συμμισγόμενον· ἀποκαθαίρει δὲ καὶ ἰκτέρους, κοχλιαρίου πλῆθος ἐπιπασσόμενον τῷ μετώπῳ, ἢ μετὰ ᾠοῦ ῥοφητοῦ λαμβανόμενον. καὶ πρὸς κόρυζαν δὲ καὶ κατάῤῥουν ποιεῖ· καὶ ἱδρῶτας στέλλει καταπασσόμενον· καὶ ποδαγρικοῖς σὺν νί- D τρῳ καὶ ὕδατι καταχρισθὲν συμβάλλεται· καὶ δυσηκοΐας ὑποθυμιώμενον διὰ σίφωνος θεραπεύει· καὶ ληθαργικούς, ὑποθυμιώμενον· αἱμορραγίαν τε ἴσχει. θλάσεις τε ὤτων σὺν οἴνῳ καὶ μέλιτι καταχριόμενον ἰᾶται.

(V. addit. συμμισγόμενον καὶ) (Cat. add. καὶ φλέγμ. quod expressit Marcellus.)

De Pumice. Cap. CXXV.

PVMICIS probatio, vt sit quàm maximè leuis, multicauus seu spongiosus, scissilis ac minimè lapidosus, insupérque teri facilis atque candidus. (Pl. arenosus infricando) Cremari autem oportet in húc modum: Sumito eius quantum libuerit, & prunis candentibus obruito: ac vbi igne flagrauerit, extractum vino odorato restinguito: iterúmque incensum pariter extinguito. Tertia vstione exemptum finito per se refrigerari, tandémq; ad vsus condito. Vis eius astringere & gingiuas abstergere: purgat cum calfactione quæ pupillis caliginem offundunt: explet vlcera & ad cicatricem perducit, insupérque excrescentia cohibet. Fit & è farina eius dentifricium. Corpori denique crustam obducit, éstque pilis abolendis aptus. Theophrastus autor est, si quis in feruentis musti cadum pumicẽ immiserit, vini feruorem confestim desinere.

Περὶ Κισσήρεως. Κεφ. ρκέ.

E ΚΙΣΣΗΡΙΝ δὲ προκριτέον τὴν ἄγαν κούφην καὶ πολύκενον, σχιστήν τε καὶ ἄλιθον, ἔτι δὲ ψαθυράν τι καὶ λευκήν. καυστέον δὲ οὕτω· λαβὼν αὐτῆς ὁπόσον ἂν θέλῃς, διαπύροις ἔγκρυψον ἄνθραξιν· ὅταν δὲ ἐκπυρωθῇ, ἀνελόμενος σβέσον οἴνῳ εὐώδει· καὶ πάλιν πυρώσας σβέσον· τὸ δὲ F τρίτον ἀνελόμενος αὐτήν, καθ' ἑαυτὴν ἔα ψυχθῆναι, καὶ ἀποθέμενος χρῶ. Δύναμιν δὲ ἔχει στυπτικήν τε καὶ σμηκτικὴν οὔλων, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις μετὰ τοῦ θερμαίνειν· ἑλκῶν τε πληρωτικὴν καὶ κατουλωτικήν· ἔτι δὲ καὶ καταστολικὴν ὑπεροχῶν, καὶ σμηκτικὴν ὀ- G δόντων λεία· καὶ ἐσχαρωτικὴν σώματος καὶ εἰς ψίλωσιν τριχῶν ἐπιτήδειον. Θεόφραστος δὲ ἱστορεῖ, ἐάν εἰς ζέοντά τις οἴνου πίθον καθῇ κίσσηριν, παύεσθαι παραχρῆμα τὴν ζέσιν τοῦ οἴνου.

(V. λεπτομερεστέραν. al. λευκήν.) (V. τὸ δὲ τούτου δὲ ἑαυτῆς ἔα ψυχθῆναι.) (Lacuna addit ex vet. cod. καὶ ὀδόντων.) (In quibusdã codicib. teste Marcello, ista desunt ad capitis vsque calcem.)

Περὶ Ἁλῶν. Κεφ. ρκϛʹ. A

ΤΩΝ δὲ ἁλῶν ἐνεργέστερον μέν ἐστι τὸ ὀρυκτόν. τούτου δὲ κοινῶς μὲν τὸ ἄλιθον καὶ λευκὸν καὶ διαφανές, πυκνόν τε καὶ ὁμαλὸν τῇ συγκρίσει· ἰδίως δὲ τὸ Ἀμμωνιακὸν τὸ γένος, εὔσχιστόν τε καὶ εὐθείας τὰς διαφύσεις ἔχον. τοῦ δὲ θαλασσίου τὸ πυκνὸν προσληπτέον καὶ λευκὸν καὶ ὁμαλόν. B κάλλιστον δὲ ἐν Κύπρῳ καὶ Κύπρου τῇ Σαλαμῖνι γίνεται καὶ Μεγάροις, καὶ ἐν Σικελίᾳ καὶ Λιβύῃ. ἐν τοῖς λεγομένοις δὲ, καὶ τὰ λιμναῖα προκριτέον. εὐτονώτατον δὲ αὐτῶν ἐστι τὸ Φρύγιον, καλούμενον δὲ Ταττᾶιον. Δύναμιν δὲ ἔχουσιν οἱ προειρημένοι ἅλες κοινῶς πολύχρηστον, στυπτικήν C τε καὶ σμηκτικὴν, καὶ ῥυπτικὴν, θρυπτικὴν καὶ διαχυτικὴν (V. caret.), ἔτι δὲ καταστaλτικὴν καὶ ἰσχναντικὴν, καὶ ἐσχαρωτικήν, τῷ μᾶλλον καὶ ἧττον διαφέροντες. εἰσὶ δὲ καὶ σηπεδόνων ἐφεκτικοί. καὶ σμήγμασι ψωρικοῖς μίγνυνται. στέλλουσι καὶ τὰς ἐν ὀφθαλμοῖς ὑπεροχάς, καὶ πτερύγια τήκουσι, καὶ τὰς ἄλλας D δὲ ὑπερσαρκώσεις αἴρουσι· καὶ κλυσμοῖς εὔθετοι· καὶ κόπου λυτήριοι, σὺν ἐλαίῳ χριόμενοι· καὶ πρὸς τὰ οἰδήματα τῶν ὑδρωπικῶν. πυρία τε ἡ δι' αὐτῶν ἐν σακκίοις, παρηγορικὴ ἀλγημάτων. καὶ κνησμοὺς δὲ παύουσι μετ' ἐλαίου καὶ ὄξους συγχριόμενοι παρὰ πυρί, ἄχρις ἂν ἱδρώσωσιν. E ὁμοίως καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας. συνάγχας τε κουφίζουσι, σὺν μέλιτι καὶ ὄξει καὶ ἐλαίῳ διαχριόμενοι. πρὸς δὲ παρίσθμια καὶ κιονίδας, σὺν μέλιτι ὀπτοί. καὶ ἄφθας καὶ οὔλων πλαδὸν, καὶ πρὸς φαγεδαίνας σὺν ἀλφίτῳ κεκαυμένοι *καταπλάσσονται (Corr. καταπάσσονται). πρὸς δὲ σκορπίων πληγάς, F σὺν λινοσπέρμῳ· πρὸς δὲ ἐχέων δήγματα, σὺν ὀριγάνῳ καὶ μέλιτι καὶ ὑσσώπῳ· πρὸς δὲ κεράστου, μετὰ πίσσης ἢ κεδρίας ἢ μέλιτος· πρὸς δὲ σκολοπένδρας δῆγμα, σὺν μέλιτι καὶ ὄξει· πρὸς δὲ σφηκῶν πληγὰς καὶ *τενθρηδόνας, καὶ πρὸς ψυδράκια τὰ ἐν κεφαλῇ, θύμους τε καὶ φύματα, σὺν στέατι μοσχείῳ ἀνα- G ληφθέντες σὺν σταφίδι δὲ ἢ στέατι ὑείῳ ἢ μέλιτι, δοθιῆνας διαφοροῦσι. καὶ ὄρχεων οἰδήματα σὺν ὀριγάνῳ καὶ ζύμῃ θᾶττον πεπαίνουσι. (V. add. δοθιῆνας.)

De Sale. Cap. CXXVI.

INTER Salis genera efficacissimum fossile. Et in hoc ipso genere cōmuniter quidē laudatur calculis vacās, candidum & pellucidum, dēsum & æquabili compage: peculiariter verò natione Ammoniacū, quod quidē & findi facilè potest, & rectis est scissuris. In marino sale eligendus est densus, candidus & æquabilis. Probatissimus in Cypro fit & Salaminē Cypri & Megaris, itémq; in Sicilia & Africa. Sed inter hæc ipsa salis genera lacustris præfertur: cēsetúrq; validissimus Phrygius, qui Tattæus vocatur. Antedictorum salis generū natura in communi est ad multa per quá vtilis, astringens, abstergēs, repurgans, dissoluēs dissipánsve, ac insuper reprimens, extenuás & crustas inducēs: sed intensioris remissiorisque facultatis ratione inter se differūt. Quin & *vlcera putrescentia cohibent, & (vel à putredine vindicat) smegmatis seu medicamentis psoras abstergentibus ammiscētur. Excrescentia in oculis reprimunt, pterygia cōsumunt, cæteràsque carnis extuberationes tollunt: clysteribus vtiliter infundūtur: lassitudines etiá discutiunt, ex oleo illita. Contra hydropicorum œdemata auxiliantur, doloré sq; sacculis indita fotu mitigant, & pruritus sedát ex oleo & aceto infricata ad ignem, dum sudor prouocetur. Similiter & lichenas, psoras ac lepras. Anginas ex melle, aceto & oleo inunctione leuát. Tosta tonsillis vuæq; cum melle adhibentur. Cremata verò, vlceribus oris quas aphthas vocant, humidis gingiuarū vitiis & phagedænis vlcerum cum polenta insperguntur. Aduersus scorpionum ictus, cum lini semine: cōtra viperarum morsus, cum origano, melle & hyssopo: aduersus cerasten, cum pice, aut cedria, aut melle auxiliantur. Contra scolopendræ verò morsus, ex melle & aceto: aduersus vesparum ictus & tenthredinum, itémque ad capitis psydracia, thymos atque tubercula, seuo excepta vitulino. Furunculos cum vua passa aut suillo adipe aut melle discutiunt. Testium tumores cum origano & fermento citius maturant.

Crocodilorum morsibus auxiliantur trita, in linteolo inuoluta & in acetū intincta, fasciis insuper additis quibus partes affectæ constringantur. Prosunt & ad virulentarum bestiarū morsus & sugillata faciei, cum melle. Contra haustum opium & fungos cum aceto mulso bibuntur. Luxatis cum farina & melle imponuntur. Ambustis igni cum oleo imposita, pustulas *erumpere nō patiuntur. Podagricis itidem adhibentur, & aurium doloribus cum aceto. Erysipelata & vlcera quæ serpunt cum aceto illita, aut cum *hyssopo imposita cohibent. Vri porrò salem oportet fictili diligenter operculato ne dissiliat, conditóque prunis, vsquedum igni candefiat. Aliqui fossilem subacta farina oblitum carbonibus subijciunt, ibique tandiu sinunt, dum illa exusta fuerit. Sed & sal communis vri hoc modo potest: aqua semel ablutum ac deinde siccatum in ollam mittito, obditóque operculo ignem succendito, tandémque salem moueto, donec haud ampliùs exiliat.

Pl. exprimunt

forte ὑσσώπῳ

De Spuma salis, seu spuma maris arida. Cap. CXXVII.

Spuma maris arida, ramentum purgamentúmve maris spumosum est, quod in exilibus petris reperitur. Ei vis eadem quæ sali.

De Muria, seu Salsugine. Cap. CXXVIII.

Muria salis effectus præbet, abstergítque: dysentericis vtiliter infunditur, quorum intestina nome corripuit: itémque ischiadicis iam *diuturno dolore vexatis. Fotu verò aquæ marinæ vicem pensat.

Pl. veteribus

De flore Salis. Cap. CXXIX.

Flos Salis è Nilo quidē flumine defluit, sed & stagnis quibusdā innatat. Assumendus qui croci colorē imitatur, & odore quodámodo est ingratiore, veluti garū: interdū etiā magis graueolēs, gustu mordaciore ac subpinguis. Fucatus autē rubrica aut grumosus, improbatur. Prætereà verus ac sincerus nō nisi oleo resoluitur: adulteratus, nōnulla ex parte etiam aqua diluitur. Ad vlcera quæ cacoëthe, quasi maligna, vocāt, phagedænas, genitaliū nomas & purulētas aures efficax est. Oculorū hebetudi-

A καὶ κροκοδειλοδήκτοις βοηθοῦσιν, ἐνδεθέντες εἰς ὀθόνιον λεῖοι, καὶ βαπτόμενοι εἰς ὄξος, *ἐπιφορουμένων τῶν μερῶν τοῖς ἐνδέσμοις. θηριοδήκτοις τε βοηθοῦσι, καὶ πρὸς ὑπώπια προσώπου σὺν μέλιτι· καὶ πρὸς ὀπίου μήκωνος πόσιν, καὶ πρὸς μύκητας σὺν ὀξυμέλιτι πινόμενοι· πρὸς δὲ στρέμματα, σὺν ἀλεύρῳ καὶ B μέλιτι· πρὸς πυρίκαυστα δὲ σὺν ἐλαίῳ ἐπιτεθέντες, οὐκ ἐῶσι φλυκταινοῦσθαι· ποδαγρικοῖς τε ὁμοίως ἐπιτήδειοι· πρὸς ὠταλγίαν τε σὺν ὄξει· ἐρυσιπέλατά τε καὶ ἕρπητας ἵστησι μετ' ὄξους καταχρισθέντες, ἢ καταπλασθέντες σὺν *ὑσσώπῳ. καυστέον δὲ αὐτοὺς εἰς ὀστράκινον ἀγγεῖον ἐμβαλόντα καὶ ἐπιμελῶς πω- C μάσαντας, ἵνα μὴ ἐξάλλωνται, ἀνθρακιᾷ τε ἐγκρύψαντας ἄχρις ἐκπυρώσεως. τινὲς δὲ τοὺς ὀρυκτοὺς σταιτὶ περιπλάσαντες, εἰς ἄνθρακας ὑποτεθέντες ἐῶσιν, ἄχρις ἂν τὸ σταῖς κατακαῇ. ἔνεστι δὲ καὶ τοὺς κοινοὺς ἅλας τὸν αὐτὸν τρόπον καίειν. ἀποκλύσας αὐτοὺς ἅπαξ ὕδατι, καὶ ἐάσας ξηρανθῆναι, ἔμβαλε εἰς χύ- D τραν, καὶ πωμάσας ὑπόκαιε, κινῶν ἕως ἂν μηκέτι ἐξάλλωνται.

Marcellus πυρουμένων ex Plinio legendum suspicatur.

Malim, οἰσύπῳ

Περὶ Ἄχνης ἁλός. Κεφ. ρκζ'.

Ἁλὸς ἄχνη ἐπίψηγμά ἐστιν ἁλὸς *ἀφρῶδες, εὑρισκόμενον ἐπὶ τῶν πετριδίων. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τοῖς ἁλσίν.

Περὶ Ἅλμης. Κεφ. ρκη'.

E Ἅλμη τὴν αὐτὴν τοῖς ἁλσὶν ἔχει ἐνέργειαν, σμηκτικήν· δυσεντερικοῖς τε ἐστι τοῖς κατὰ νομὴν ἔγκλυσμα, καὶ ἰσχιαδικοῖς χρονίοις. πρός τε καταντλήσεις ἁρμόζει ἐφ' ὧν θάλαττα ἐστὶ χρησίμη.

Περὶ Ἄνθους ἁλός. Κεφ. ρκθ'.

Ἁλὸς δὲ ἄνθος καταρρεῖ μὲν διὰ Νείλου F ποταμοῦ· ἐφίσταται δὲ λίμναις τισί. παραληπτέον δὲ τὸ κροκίζον τῇ χρόᾳ, ὑποδυσωδέστερον ὥσπερ γάρος. ἐνίοτε δὲ καὶ *δυσωδέστερον μᾶλλον καὶ τῇ γεύσει δηκτικώτερον καὶ ὑπολίπαρον. τὸ δὲ *ἔμμιλτον ἢ θρόμβους ἔχον, φαῦλον ἡγητέον. ἔτι τὸ ἀκέραιον ἐλαίῳ συνανίεται μόνον· τὸ δεδολωμένον δέ, ἐκ μέρους G καὶ ὕδατος. Ποιεῖ δὲ πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη, καὶ νομὰς τὰς ἐν αἰδοίοις, καὶ ὦτα πυορροοῦντα· καὶ ἀμβλυωπίας

G. aliter, ἀηδέστερον, vt legit Hermolaus.

Ald. ἔμμαλτον

καὶ τὰς οὐλὰς αἴρει καὶ λευκώματα. μίγνυται καὶ ἐμπλάστροις καὶ μύροις εἰς χρῶσιν, ὡς καὶ τῷ ῥοδίνῳ· ἔστι δὲ καὶ ἱδρώτων κινητικόν· κοιλίας ταρακτικὸν, σὺν οἴνῳ καὶ ὕδατι ληφθέν· κακοστόμαχον. μίγνυται καὶ ἀκόποις, καὶ σμήγμασι πρὸς τριχῶν *λεπτυσμόν· καὶ καθόλου ἐστὶ δριμὺ, πυρωτικὸν, ὥσπερ οἱ ἅλες.

Vulg. exempl. λευκασμόν.

A nes, cicatrices albugineſque tollit. Emplaſtris vnguentiſq; coloris gratia miſcetur, vti & roſaceo. Sudorē quoque ciet: aluum *turbat in vino & aqua ſumptus, ſtomachóque eſt inutilis. Additur & acopis, & ſmegmatis quæ extenuandorū pilorum gratia componuntur: ac in vniuerſum acris eſt atque igneę feruentiſſ- B que naturæ, vti ſal.

[illegible]

Περὶ Νίτρου. Κεφ. ρλ'.

Νίτρον προκριτέον δὲ κοῦφον καὶ ῥοδωπὸν ἢ λευκὸν τὴν χρόαν, κατατετρημένον, οἱονεὶ σπογγῶδές τι. τοιοῦτον δὲ ἐστὶ τὸ ἐκ τῶν *βουνῶν. Δύναμιν δὲ ἔχει μετασυγκριτικήν.

Oribasius.

De Nitro. Cap. CXXX.

Nitrum præfertur leue & roſeo colore aut candido, perforatum, perinde quaſi ſpongioſum fiſtuloſúmve quiddam. Tale verò eſt, quod è *collibus tumuliſve aſfertur. Vim habet humores ex alto euocandi. C

vel, ex Bunis.

Περὶ Ἀφροῦ νίτρου. Κεφ. ρλα'.

Ἀφρὸς δὲ νίτρου, ἄριστος μὲν εἶναι δοκεῖ ὁ κουφότατος καὶ πλακώδης, εὔθρυπτός τε καὶ ἐμπόρφυρος, *ἢ ἀφρώδης, ἔτι δὲ δηκτικός· οἷος ἐστὶν ὁ ἐκ Φιλαδελφίας κομιζόμενος τῆς ἐν Λυδίᾳ. δευτερεύει δὲ ὁ Αἰγύπτιος. γίνεται δὲ καὶ ἐν Μαγνησίᾳ τῆς Καρίας. Δύναμιν δὲ ἔχει καὶ καῦσιν ὁμοίως τε καὶ ὁ νίτρον ἁλσὶν ἐμφερῆ. ἐκ περισσοῦ δὲ τὸ νίτρον καὶ στρόφους παύει λεανθὲν μετὰ κυμίνου καὶ *ποθὲν μεθ' ὑδρομέλιτος, ἢ μετὰ ἑψήματος, ἢ τινὸς τῶν διαφορεῖν δυναμένων πνεύματα, οἷον πηγάνου ἢ ἀνήθου. ἔστι δὲ καὶ περιοδικῶν σύγχρισμα πρὸ τῆς ὑπόπτου προσβολῆς. μίγνυται καὶ διαφορητικαῖς καὶ ἐπισπαστικαῖς καὶ λεπρικαῖς ἐμπλάστροις, καὶ λεπτυντικαῖς. σὺν ὕδατι δὲ θερμῷ ἢ οἴνῳ ἐγχεόμενον, ἐμπνευματώσεις τε καὶ ἤχους ὤτων ἰᾶται, καὶ πυορροίας. καθαίρει δὲ καὶ ῥύπον, σὺν ὄξει ἐγχεόμενον. κυνοδήκτους τε ἰᾶται σὺν στέατι *ὀνείῳ ἢ ὑείῳ. ἀνασπομοῖ δὲ καὶ δοθιῆνας, ἀναληφθὲν τερμινθίνῃ ῥητίνῃ· μετὰ σύκων δὲ, ὑδρωπικῶν ἐστι κατάπλασμα· σὺν μέλιτι δὲ ἐγχριόμενον, ὀξυδερκὲς· καὶ πρὸς μύκητας σὺν ὀξυκράτῳ ποθὲν ἁρμόζει· πρὸς δὲ βουπρήστεις, σὺν ὕδατι· πρὸς ταύρειον δὲ αἷμα, σὺν σιλφίῳ· *ἀτροφοῦσι τε χρήσιμον κατάπλασμα· παρακμάζουσί τε ὀπισθοτονικοῖς πάθεσι σὺν κηρωτῇ, καὶ στρέμμασι· μίγνυται καὶ ἄρτῳ ὠφελίμως ἐπὶ τῶν τὴν γλῶτταν παραλελυμένων.

Matthioli codex, αἰγείῳ, caprino.

Lac. legit in vet. cod. τρέμουσί τε καὶ στροφουμένοις χρόνιμον &c. iis quos tremor aut torminoſus dolor infeſtant.

De Spuma nitri. Cap. CXXXI.

Spuma nitri, optima cenſetur leuiſſima, cruſtoſa, friabilis, colore penè purpureo & ſpumoſa, inſuperq; mordens, qualis ex Philadelphia Lydiæ defertur. Secundas tenet Æ- D gyptia. Quin & in Magneſia Cariæ gignitur. Sali parem vim & vſtionē hæc habet, æquè ac nitrum ipſum. Sed hoc ampliùs etiam tormina ſedat, ſi eum cumino tritum bibatur in hydromelite, aut decocto aliquo eorum quæ flatus diſcutiendi vi prædita ſunt, vti rutæ vel anethi. In febribus circuitu redeuntibus illi- E nitur ante ſuſpectam acceſſionem. Miſcetur & emplaſtris diſcutientibus, extrahétibus, extenuantibus & lepras exterentibus. Cum aqua autem calida aut vino infuſum, auriū inflationes ac ſonitus, eaſdémque purulētas ſanat. Sordes etiam eiuſdem partis expurgat, cum aceto inſtillatum. Canum morſibus ex aſi- F nino adipe aut ſuillo medetur. Reſina exceptum terebinthina furunculos *aperit. Tuſum cum ficubus, hydropicis illinitur: & cum melle inunctum, claritatem viſus adiuuat. Succurrit venenis fungorū, ex poſca potum: bupreſtiū verò, ex aqua: iis qui ſanguinem tauri biberint ex *ſilphio datur: atrophis, hoc eſt, cibū G non ſentiétibus, adhibitū prodeſt, & opiſthotonis iam remiſſioribus cū cerato, itémq; luxatis: in paralyſi linguæ pani vtiliter permiſcetur.

[illegible]

Vl. laser. [illegible]

Aliqui supradicta ignitis indita carbonibus vrunt, subiecta prius testa noua, donec incanduerint.

De Fæce. Cap. CXXXII.

ELIGENDA Fæx maximè à vino vetere Italico: sin minùs, ab alio consimili. Nam aceti fex intensioribus est prædita viribus. Crematur vt alcyonium, antè diligenter exiccata. Sunt qui testæ nouæ inditam igni largo vrant, vsquedum altiùs tota incanduerit. Alij ignitis carbonibus fæcis glebam obruunt, & similiter faciunt. Experimentum est legitimè *vstæ, vt candido aut aërio colore cōspiciatur, & linguam tactu vrere videatur. Eadem vrendæ fæcis aceti ratio. Vim porrò fæx habet supramodum vrendi, detergendi, cicatricem inducendi, astringendi, & vehementer exedendi siccandíque. Sed recenti vtendum est, quoniam celeriter expirat & exanimatur: proinde non nisi tecta & vase aliquo condita inclusáve reponi debet. Lauatur eadem, vti pompholyx. Quæ vstionem experta non est, œdemata per se & cum myrto cohibet: ventris stomachíque rheumatismos adhibita sistit: muliebre profluuiū abdomini & verendis imposita mitigat: panos nondum exulceratos, itémque tubercula discutit. Turgētes mammas suíque lactis impatientes cum aceto peruncta extinguit. Cremata verò, scabros vngues cum resina aufert: addito lentiscino oleo illita nocte *tota, flauum reddit capillū. Lota oculorum medicamentis, vti spodium, miscetur: & talis etiā eorundem cicatrices atque caligines abstergit.

* vel, coctæ

* vel, nocte vna rufos capillos

De Calce viua. Cap. CXXXIII.

CALX viua hoc modo fit: Marinorum buccinorum testas igni condito, aut ardēti clibano per noctem immittito. Postera die si candidissimæ fuerint, eximito. Sin minùs, iterum vrito, vsquedum vehemēter inalbuerint. Dein vbi in frigidā leuiter eas immerseris, ollę nouę indito, & exactè pannis operiés, noctem vnam conquiescere finito.

A ἔνιοι δὲ καίουσι τὰ προειρημένα, ἐπ' ἄνθρακας πεπυρωμένους ἀποθέμενοι, περιϋποκειμένου καινοῦ ὀστράκου, ἕως ἂν ἐκπυρωθῇ.

Περὶ Τρυγός. Κεφ. ρλβ'.

ΤΡΥΓΑ δὲ παραληπτέον μάλιστα μὲν τὴν ἀπὸ οἴνου παλαιοῦ Ἰταλικοῦ· εἰ B δὲ μή, ἀπὸ ἄλλου ὁμοίου. ἡ γὰρ ἀπὸ ὄξους, ἐπιτέταται τῇ δυνάμει. καυστέον δὲ ὡς ἀλκυόνιον προεξηραμμένην ἐπιμελῶς. τινὲς δὲ ἐπ' ὀστράκων καινῶν θέντες καίουσι πυρὶ δαψιλεῖ, ἕως ἂν ἐμπυρωθῇ κατὰ βάθος. ἄλλοι δὲ εἰς ἄνθρακας πεπυρωμένους ἐγκρύψαντες βῶλον, τὸ ὅμοιον ποιοῦσι. σημεῖον C δὲ τῆς δεούσης καύσεως ἡγητέον, τὸ λευκὴν ἢ ἀεροειδοῦς τοῦ χρώματος. καὶ τὸ προσενεχθεῖσαν τῇ γλώσσῃ οἱονεὶ φλέγειν αὐτήν. ὡσαύτως δὲ καὶ ἡ ἀπὸ ὄξους καίεται. Δύναμιν δὲ ἔχει καυστικὴν σφόδρα, καὶ σμηκτικήν, καταπυλωτικήν, στυπτικήν, καὶ σηπτικὴν ἄγαν καὶ ξηραντικήν. χρηστέον δὲ D τῇ τρυγὶ προσφάτῳ οὔσῃ· ταχὺ γὰρ διαπνεῖται· ὅθεν οὐδὲ ἀσκέπαστον, οὐδὲ χωρὶς ἀγγείου αὐτὴν ἀποθετέον. πλύνεται δὲ αὕτη, ὡς πομφόλυξ. ἡ δὲ ἄκαυστος, στέλλει οἰδήματα καὶ καθ' ἑαυτὴν καὶ μετὰ μυρσίνης· κοιλίαν τε καὶ στόμαχον ῥευματιζόμενον καταπλασθεῖσα στέλλει· καὶ ῥοῦν γυναι- E κεῖον κατὰ ἤτρου καὶ αἰδοίου καταπλασσομένη, στέλλει· καὶ φύγεθλα ἀνεξέλκωτα διαφορεῖ καὶ φύματα· μαστούς τε σπαργῶντας, ῥέοντας γάλα σβέννυσι, σὺν ὄξει καταχρισθεῖσα. ἡ δὲ κεκαυμένη, λεπροὺς ἀφίστησιν ὄνυχας σὺν ῥητίνῃ· καὶ μετὰ σχινίνου ἐλαίου συγχρισθεῖσα νύκτα ὅλην, ξανθὰς ποιεῖ F τὰς τρίχας. πλυθεῖσα δὲ μίγνυται εἰς τὰ ὀφθαλμικά, ὡς σποδός· σμήχει τε οὐλὰς καὶ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς ἡ τοιαύτη.

Περὶ Ἀσβέστου. Κεφ. ρλγ'.

ΑΣΒΕΣΤΟΣ γίνεται οὕτω· τὰ θαλαττίων κηρύκων τὰ ὄστρακα λαβών, πυρὶ ἔγκρυψον, ἢ εἰς κλίβανον διάπυρον καθεὶς ἄφες συνυκτερεῦσαι· τῇ δὲ ἐχομένῃ, ἐὰν μὲν G *λευκότατα ᾖ, ἔπαιρε· εἰ δὲ μή, πάλιν καῖε ἄχρις ἂν ἱκανῶς λευκανθῇ. εἶτα ἀποβάψας αὐτὰ εἰς ψυχρὸν ὕδωρ, ἔμβαλε εἰς χύτραν καινήν, καὶ σκεπάσας αὐτὰ ῥάκεσιν ἐπιμελῶς, ἔασον ἐνταῦθα νύκτα μίαν·

περὶ δὲ αἰρόμενος ἀπειληφυῖαν τὸ A παντελὲς τῆς κατεργασίας, ἀποτίθεσο. σκευάζεται δὲ καὶ ἐκ λίθων κοχλάκων καιομένων, καὶ ἐκ τῆς χυδαίας μαρμάρου, ἥτις καὶ προκρίνεται τῶν ἄλλων. Δύναμιν δὲ ἔχει πᾶσα κοινῶς ἄσβεστος πυρωτικὴν, δηκτικὴν, καυστικὴν, ἐσχαρωτικήν. μιγνυμένη δὲ τισὶν ἑτέροις, ὡς στέατι [V. add. ὕδατι] B ἢ ἐλαίῳ, γίνεται πεπτικὴ, μαλακτικὴ, διαφορητικὴ, διασκεδαστικὴ, καὶ ἐπουλωτική. ἐνεργεστέρας δὲ αὐτῆς ἡγητέον τὴν πρόσφατον καὶ ἄβροχον.

Περὶ Γύψου. Κεφ. ρλδ'.

ΓΥΨΟΣ δύναμιν ἔχει στυπτικὴν, ἐμπλαστικὴν αἱμοῤῥαγίας τε καὶ ἱδρώτων C ἐφεκτικήν. ποθεῖσα δὲ πνίγει τὸν κατὰ πνιγμὸν τρόπον.

Περὶ Τέφρας κληματίνης. Κεφ. ρλε'.

ΤΕΦΡΑ κληματίνη δύναμιν ἔχει καυστικήν· σὺν ὀξυγγίῳ δὲ ἢ ἐλαίῳ καταπλασθεῖσα, θλάσματα νεύρων καὶ ἄρθρων D λυγίσματα καὶ συστροφὰς νεύρων ὠφελεῖ· σὺν νίτρῳ δὲ καὶ ὄξει, σαρκώσεις ὀσχέου στέλλει· καταπλασθεῖσα δὲ σὺν ὄξει, ἑρπετόδηκτα καὶ κυνόδηκτα ἰᾶται· ἐσχαρωτικαῖς τε μίγνυται. [V. πήγνυται] καὶ γίνεται ἡ ἐξ αὐτῆς κονία πρὸς πτώματα, καὶ μύκητας σὺν ὄξει καὶ ἁλσὶ καὶ μέλιτι. [V. caret.]

E

Περὶ Ἀλκυονίου. Κεφ. ρλϛ'.

ΤΟΥ δὲ Ἀλκυονίου πέντε γνωστέον εἴδη ὑπάρχειν. τὸ μὲν γὰρ πυκνόν ἐστι καὶ στρυφνὸν, καὶ τὴν ἰδεῖν σπογγῶδες, ἔτι δὲ βρωμῶδες καὶ βαρὺ, καὶ ἰχθύος ὄζον, ὃ δὴ πλεῖστον ἐπὶ τῶν ἠϊόνων εὑρίσκεται. τὸ δὲ ἑξῆς κατὰ μὲν τὸ σχῆμα πτερυγίῳ ὀφθαλμικῷ ἢ F σπόγγῳ ἔοικε, κοῦφόν τέ ἐστι καὶ πολύκενον, καὶ φυκώδη ἀποφορὰν ἔχον. [V. εἰσφοραί] τὸ δὲ τρίτον σκωληκοειδὲς ὑπάρχει τῷ τύπῳ, καὶ τὴν χρόαν πορφυρώτερον, [V. ἐμπύρουσι] [Orib. addit σκωληκοειδὲς] ὅ τινες Μιλήσιον καλοῦσι. τὸ τέταρτον δὲ ἐρίοις ῥυπαροῖς ὅμοιον, πολύκενον, κοῦφον. τὸ δὲ πέμπτον ἔοικε μὲν κατὰ σχῆμα μύκητι, ἄοσμόν τέ ἐστι καὶ G τραχὺ, ἔνδοθεν μὲν κισσήρει κατά τι ἐοικὸς, ἔξωθεν δὲ λεῖον, δριμὺ, ὃ πλεῖστον ἐν τῇ Προποντίδι κατὰ τὴν καλουμένην Βεσβι- [Al. Βιμβίκην]

A Mane calcem perfecto omni opere elaboratam extrahito; atq; recondito. Conficitur & è silicibus calculísve littoreis igne crematis, nec non & è vulgari marmore: & hæc quidem cæteris antefertur. Vis omni calci in commune ignea, mordens, adurens & crustas inducens. Mista tamen alijs quibusdam, vt adipi B oleóve, concoquendi, molliendi, dissipandi, discutiendíve & vlcera ad cicatricem perducendi vim ascíscit. Efficacior porrò existimatur quæ recens est, nec aquis aspersa.

De Gypso. Cap. CXXXIIII.

GYPSVM vim habet astrictoriá C & emplasticam. Sanguinis eruptiones sudorésq; cohibet, sed potum strangulando iugulat.

De Sarmentitio cinere. Cap. CXXXV.

SARMENTORVM cinis vrendi vim habet. Cum axungia autem oleóve illitus, neruorum contusioD nibus, articulorum contorsionibus ac neruorum collectionibus nodísve prodest. Cum nitro & aceto, carnis excrescétias in scroto reprimit. Idem serpentium canúmque morsibus illitus ex aceto medetur, atq; etiam crustas obducentibus medicamentis admiscetur. Fit & ex eo lixiuium contra præcipitationes & E fungorum venena, cum aceto, sale & melle.

De Alcyonio. Cap. CXXXVI.

ALCYONII quinque esse genera compertú est. Vnum enim spissum est, acerbi saporis, spongiosa facie, insupérque virosum, graue [Pl. addit ac ferè] ac piscem olens: quod quidem pluF rimùm in littoribus inuenitur. Alterum oculorum pterygio aut spongiæ simile, leue & multicauum, odore ferè algæ. Tertium vermiculi forma & colore penè purpureú est: quod Milesium quidam vocant. Quartum succidis velleribus non dissimile, multis inanitatibus hians G ac leue. Quintum figura fungi, inodorum, & intus quidem asperum, quodammodo pumicosum, foris verò læue, acre: quod plurimum in Propontide circa insulam Besby-

cum appellatã gignitur, patrio nomine halos achnen, quasi maris spumam aut lanuginem, vocant. Duo quidem priora in smegmata fœminarum assumuntur, contra lentigines, lichenas, lepras, vitiligines, nigritias & maculas in facie reliquóque corpore. Tertium verò, iis qui difficili vrina vexantur, aut arenulas in vesica colligunt idoneum est: itémque nephriticis, & ad hydropem lienísque vitia. Vstum autem & ex vino illitum, alopecias replet. Postremum dealbandis dentibus aptum est: assumitur & in alia smegmata psilothráq;, cum sale mistũ. Quòd si quis aliquod ex hisce alcyonij generibus cremare voluerit, addito sale in crudam ollam mittat, lutóque oblito eius spiraculo fornaci mandet: & cùm figlinum percoctum assatúmve fuerit, extrahat & ad vsus recondat. Cæterùm lauatur vti cadmia.

De Adarce. Cap. CXXXVII.

GIGNITVR in Galatia quod Adarces appellatur. Est autem tanquam concreta salsilago, quę humidis & palustribus locis siccitate emergit, & circa arundines graminave concrescit, colore flori lapidis Asij similis, tota verò forma molli, & multiforo alcyonio proxima, vt videri possit alcyonium palustre. Ad exterendas lepras, maculas à solis ardore contractas, lichenas, lentigines, similiáque vitia, accommodatur: & in summa vis ei acris. Sed & humores ex alto euocat: quamobrem & ischiadicis opitulatur.

De Spongijs. Cap. CXXXVIII.

ESPONGIIS alias nonnulli mares appellauêre, quæ tenuibus sunt fistulis ac spissæ densæve, è quibus rursum duriores tragos nominauerunt: alias verò fœminas, quæ contrario ac antedictæ modo se habẽt. Vruntur autem similiter atque alcyonium. Nouæ recentésve ac minimè pingues, vulnerariæ sunt & tumores reprimunt: recentia vulnera ex aqua poscáve conglutinãt: at ex melle cocto, veteres sinus iungunt. Vetustæ autem, inutiles. Sed & ipsæ coëuntia præclusáve vlcera callósque diducunt atq; dirimunt,

A κὸν νῆσον γίνεται, ὃ ἐπιχωρίως ἁλὸς ἄχνην καλοῦσι. τούτων δὲ μὲν πρῶτον καὶ τὸ δεύτερον, εἰς σμήγματα παραλαμβάνεται γυναικῶν, καὶ πρὸς φακοὺς, λειχῆνάς τε καὶ λέπρας, ἀλφούς τε καὶ μελανίας καὶ σπίλους τοὺς ἐπὶ προσώπου καὶ τοῦ λοιποῦ σώματος. τὸ δὲ τρίτον εὔθετον πρὸς B δυσουροῦντας καὶ ἀμμώδη συλλέγοντας ἐν τῇ κύστει· καὶ πρὸς νεφριτικοὺς, πρὸς ὕδρωπα, σπλῆνα. καὲν δὲ καὶ καταπλασθὲν σὺν οἴνῳ, ἀλωπεκίας δασύνει. τὸ δὲ ὕστατον, ὀδόντας λευκαίνειν δύναται. παραλαμβάνεται δὲ καὶ πρὸς ἄλλα σμήγματα καὶ ψίλωθρα, μιγνύμενον σὺν ἁλσί. C καῦσαι δέ τι τούτων βουλόμενος, μεθ' ἁλῶν εἰς ὠμὴν χύτραν ἔμβαλε, καὶ περιαλείψας τὸ στόμα αὐτῆς πηλῷ, δὸς εἰς κάμινον· ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος αὐτῆς, ἀνελόμενος ἀπόθου καὶ χρῶ. πλύνεται δὲ ὡς ἡ καδμεία.

Al. καταχρισθὲν

V. [illegible]

Περὶ Ἀδάρκου. Κεφ. ρλζ'.

D Ὁ ΔΕ προσαγορευόμενος Ἀδάρκης, γίνεται μὲν ἐν Γαλατίᾳ· ἔστι δὲ ὥσπερ ἐπίπαγος ὑφαλμυρίζων, καθ' ὑγρῶν καὶ τελματωδῶν τόπων ἐν ξηρασίᾳ ἐπιγινόμενος, καὶ περιπηγνύμενος καλάμοις καὶ χορταρίοις. ἔοικε δὲ τὴν χρόαν ἄνθει Ἀσίας λίθου, τῷ δὲ ὅλῳ τύπῳ, ἀλκυονίῳ E τῷ μαλακῷ καὶ πολυκένῳ· καὶ ἔστιν οἱονεὶ λιμναῖον ἀλκυόνιον. εὔθετον δὲ πρὸς ἐκδορὰς λεπρῶν καὶ ἐφηλίδων καὶ λειχήνων, καὶ φακῶν, καὶ τῶν ὁμοίων. καθόλου δέ ἐστι δριμὺ, καὶ μάλα συγκριτικὸν, ὠφελεῖ καὶ ἰσχιαδικούς.

V. [illegible]

V. ὑπομ[illegible]

Περὶ Σπόγγων. Κεφ. ρλη'.

ΤΩΝ δὲ Σπόγγων τοὺς μὲν ἄρρενας ἐκάλεσαν τινὲς F λεπτοτρήτους καὶ πυκνοὺς ὄντας· ὧν τοὺς σκληροτέρους τράγους ὠνόμασαν· τοὺς δὲ, θηλεῖς, οἳ ἐναντίως τοῖς προειρημένοις διάκεινται. καῦσιν δ' ἔχουσι τὴν αὐτὴν ἀλκυονίῳ. ὁ *καινὸς δὲ καὶ ἀλιπὴς, τραυματικός τε ἐστὶ καὶ οἰδήματα στέλλει· καὶ τὰ νεότρωτα κολλᾷ σὺν ὕδατι ἢ G ὀξυκράτῳ· σὺν μέλιτι δὲ ἑφθῷ, παλαιοὺς κόλπους προσκολλᾷ. ὁ δὲ παλαιὸς, ἄχρηστος. διαστέλλουσι δὲ καὶ μεμυκότα ἕλκη, καὶ τύλους ἀποδιασμυρόμενοι λίνῳ καὶ αὐτοὶ

κατασκευάζονται δὲ καὶ πύελοι ἐκ τοῦ λίθου, εἰς ἃς οἱ ποδαγρικοὶ τοὺς πόδας ἐντιθέντες ὠφελοῦνται. καὶ σοροὶ σαρκοφάγοι γίνονται. *ἰσχναίνουσι τὰ πολύσαρκα καὶ παχέα σώματα, *καταπλασσόμεναι ἀντὶ νίτρου ἐν βαλανείῳ. ἐὰν δέ τις πλῦναι θέλῃ τὰ προγεγραμμένα, πλυνέτω ὡς τὴν καδμείαν.

Περὶ Πυρίτου λίθου. Κεφ. ρμγ΄.

ΠΥΡΙΤΗΣ εἶδός ἐστι λίθου, ἀφ' οὗ χαλκὸς μεταλλεύεται. ληπτέον μέντοι τὸν χαλκοειδῆ, εὐχερῶς δὲ σπινθῆρας ἀφιέντα. καυστέον δὲ τρόπῳ τοιούτῳ. μέλιτι δεύσας αὐτὸν, ἔνθες εἰς ἄνθρακας μαλακούς, καὶ ῥίπιζε συνεχῶς, ἕως ἂν τὴν χροιὰν κιρρὸς γένηται. ἔνιοι δὲ εἰς πολλοὺς καὶ πεπυρωμένους ἄνθρακας ἀποτίθενται ἱκανῶς βεβρεγμένον τῷ μέλιτι τὸν λίθον. ὅταν δὲ μεταληπρέπηται ἐπὶ τὸ κιρρὸν, ἀναιροῦνται. καὶ ἀποφυσήσαντες τὴν σποδὸν, πάλιν καίουσι διάβροχον, ἕως ἂν ψαθυρώτερος γένηται ὁμαλῶς· πολλάκις γὰρ μόνον ἐπικαίεται τὴν ἐπιφάνειαν. οὕτω δὲ ἀποκαύσαντες καὶ ξηράναντες, ἀποτίθενται. ἐὰν δὲ πεπλυμένου χρεία ὑπάρχῃ, πλυτέον ὡς καδμείαν.

Δύναμιν δὲ ἔχει κεκαυμένος τε καὶ ὠμὸς θερμαντικὴν, σμηκτικὴν, ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς ὄψεσι, διαφορητικήν τε καὶ πεπτικὴν σκληρωμάτων. ἀναληφθεὶς δὲ ῥητίνῃ καταστέλλει τὰ ὑπερσαρκοῦντα μετά τινος θερμασίας καὶ στύψεως. καλοῦσι δέ ἔνιοι τὸν οὕτω καέντα, διφρυγές.

Forte, ἕως ἂν

V. cæret.

V. κάρφος, significantius.

Περὶ Αἱματίτου λίθου. Κεφ. ρμδ΄.

ΑΙΜΑΤΙΤΗΣ δὲ λίθος ἄριστός ἐστιν ὁ εὔθρυπτος μὲν καὶ κατακορὴς, ἤτοι μέλας, ἐν ἑαυτῷ δὲ σκληρὸς καὶ ὁμαλὸς, ἀνεπίμικτος ῥυπαρίας τινὸς ἢ διαζωμάτων. Δύναμιν δὲ ἔχει στυπτικὴν, θερμαντικὴν ποσῶς, καὶ λεπτυντικὴν καὶ σμηκτικὴν οὐλῶν τῶν ἐν ὀφθαλμοῖς καὶ τραχωμάτων, σὺν μέλιτι· σὺν δὲ γάλακτι γυναικείῳ, πρὸς ὀφθαλμίας καὶ ῥήξεις, καὶ ὑφαίμους ὀφθαλμούς. πίνεται δὲ σὺν οἴνῳ πρὸς δυσουρίαν καὶ ῥοικάς, καὶ πρὸς αἵματος πτύσεις σὺν χυλῷ ῥοιᾶς. γίνεται δὲ καὶ κολλύρια ἐξ αὐτοῦ καὶ ἀκόνια, πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθη ἐπιτήδεια.

A Iuuantur etiam podagrici, pedibus in solio ex eo lapide cauato inditis. Fiunt & loculi, qui defunctorũ carnes exedunt. Extenuantur quoque valdè carnosa & obesa corpora, si eiusmodi flore in balneo nitri vice inspergantur. Quod si seu lapidem, seu florẽ ipsum lauare libet, cadmię modo lauato.

B *De Pyrite lapide. Cap. CXLIII.*

PYRITES lapidis genus est, ex quo æs conflatur. Eligi debet æris similitudine, quique facilè scintillas edat. Vritur autẽ in hunc modum: Irrigatus melle, carbonibus lẽtis inditur, & assiduè sufflatur follibus, donec rufescat. Alij lapidem C copioso melle perfusum in multos carbones igni candentes demittũt: ac vbi ad fuluum colorem vergere cœperit, ab igne amouent, difflatóque cinere denuò perfusum cremãt, donec æqualiter afficcat' friabilior reddatur: siquidem sæpenumerò facies summa solùm amburitur. Ita porrò crematum siccatúmD que recondunt. Sin eloto opus sit, lauari debet vti cadmia. Tam vsti quàm crudi vis est excalfacere, abstergere, offusam oculis caliginem expurgare, duritias & discutere & maturare. Idem resina exceptus, excrescentia in carne cohibet cum aliquantula caliditate & astrictione. Neque verò desunt, qui ita vE stum diphryges appellent.

De Hæmatite lapide.. Cap. CXLIIII.

HÆMATITES optimus habetur friabilis & saturato sanguinis colore, seu niger, suapte natura durus & æquabilis, nulla sorde admista, nullóque zonarum discursu. F Vim habet astrictoriam, aliquãtum excalfacientẽ & extenuantẽ. Oculorum cicatrices & scabritias cum melle exterit. Cũ lacte verò muliebri, lippitudini & diruptis atque cruore suffusis oculis cõuenit. Bibitur autẽ cõtra difficultatẽ vrinæ & 'fluores muliebres in vino: & cõtra sanguinis excreationes, cum Punici G mali succo. Fiunt & ex eo collyria itémque coticulæ, quæ aduersus oculorum affectus accommodantur.

Pl. profluuia

Vritur

Vritur vt Phrygius lapis, dempto saltem vino. Modus vstionis est, vt modicè leuis fiat, & bullis quibusdam intumescat. Sunt porrò qui hæmatiten ita adulterant. Glebam schisti lapidis densam rotundámque, cuiusmodi sunt quæ eius radices vocantur, in vrceum figlini operis, qui feruentem cinerem contineat, condunt: deindéque breui interposita mora eximunt, atque explorant num ad cotem trita hæmatitæ colorem reddat. Quòd si ita res habet, reponunt: sin minùs, iterum nouo cinere obruunt, & subinde conspicientes periculum faciunt: quoniam diutiùs in cinere dimissa colorem mutat, móxque diffunditur. Discernitur autem adulteratus, primùm scissilibus venis: quippe per venarum ductus in rectum diffringitur, at hæmatites non item. Deinde etiam colore: nanque hic floridum reddit, hæmatites verò saturatiorem atque cinnabarin imitantem. Inuenitur & hæmatites in rubrica Sinopica, & è magnete lapide vehementer vsto paratur: ac natiuus quidem in Ægypto effoditur.

De Schisto, seu Scißili lapide. Cap. CXLV.

SCISSILIS lapis in Occidentali Iberia nascitur. Probatur maximè qui croci colorem æmulatur, friabilis ac suapte natura fissilis, tú concremento, tum etiam mutua venarum cohærentia sali Ammoniaco similis. Vim exhibet hæmatitæ, sed ad omnia infirmiorem. Quin & caua oculorum vlcera explet muliebri lacte dilutus, itémque ad diruptos & procidentes oculos, insupérque crassitiem genarum & staphylomata, magnoperè efficax est.

De Gagate lapide. Cap. CXLVI.

PRÆFERENDVS Gagates q. celeriter accéditur, & odoré bituminis reddit. Est auté niger plerunque & squallidus, prætereáq; crustosus & perquàm leuis. Vis ei molliédi &

A Καίεται δὲ ἐμφερῶς τῷ Φρυγίῳ λίθῳ τοῦ οἴνου παρῃρημένου. μέτρον δὲ ἔστω τῆς καύσεως, τὸ γίνεσθαι αὐτὸν μέσως κοῦφον καὶ πεπομφολυγωμένον. δολοῦσι δέ τινες ἐστι παρεσκευασμένον οὕτω· λαβόντες βῶλον σχιστοῦ λίθου πυκνόν τε καὶ στρογγύλον (τοιαῦται δέ εἰσιν αἱ λεγόμεναι ῥίζαι
B αὐτοῦ) εἰς κεραμίαν γάστραν ἔχουσαν θερμοσποδιὰν θερμὴν ἐγκρύπτουσιν. εἶτα διαλιπόντες μικρὸν, ἀναιροῦνται, καὶ ἐπ' ἀκόνης τρίβουσι, δοκιμάζοντες εἰ τὴν τοῦ αἱματίτου χρόαν ἀπείληφε· κἂν μὲν οὕτως ἔχῃ, ἀποτίθενται· εἰ δὲ μὴ, πάλιν ἐγκρύπτουσι, συνεχῶς ἐφορῶντες καὶ δο-
C κιμάζοντες· ἀφεθεὶς γὰρ ἐπιπολὺ ἐν τῇ σποδιᾷ μεταβάλλει τὸ χρῶμα, ἔπειτα διαχεῖται. ἀπελέγχεται δὲ ὁ κεκακοτεχνημένος, πρῶτον μὲν ταῖς διαφύσεσι. ὁ μὲν γὰρ εἰς κτηδόνας ἐπ' εὐθείας ἀποκλᾶται. ὁ δὲ αἱματίτης, οὐχ οὕτως ἔχει ἐν τῇ χρόᾳ· ὁ μὲν γὰρ ἀνθη-
D ρὸν ἀνίησιν ὁ δὲ αἱματίτης, βαθυτέραν καὶ τῷ κινναβάρει ἐοικυῖαν. εὑρίσκεται δὲ καὶ ἐν τῇ Σινωπικῇ μίλτῳ, καὶ ἐκ τῆς μαγνήτιδος πέτρας καιομένης ἐφ' ἱκανὸν κατασκευάζεται αἱματίτης. ὁ δὲ αὐτοφυὴς ἐν Αἰγύπτῳ μεταλλεύεται.

Περὶ Σχιστοῦ λίθου. Κεφ. ρμε´.

E ΣΧΙΣΤΟΣ δὲ λίθος, γίνεται μὲν ἐν τῇ κατὰ ἑσπέραν Ἰβηρίᾳ. ἄριστος δὲ εἶναι δοκεῖ ὁ παρακροκίζων τῇ χρόᾳ, εὔθρυπτός τε καὶ εὔσχιστος ὡς ἐν ἑαυτῷ. ἔοικε δὲ τῆς συστάσεως ἕνεκεν καὶ τῆς ἀλληλουχίας τῶν κτηδόνων αὐτοῦ Ἀμμωνιακῷ ἁλί. Δύναμιν δὲ τὴν αὐτὴν
F τῷ αἱματίτῃ εἰσφέρεται, τῇ εὐτονίᾳ μόνον λειπόμενος αὐτοῦ. πληροῖ δὲ καὶ κοιλώματα γυναικείῳ διεθεὶς γάλακτι, καὶ πρὸς ῥήξεις καὶ προπτώσεις, ἔτι δὲ παχύτητας βλεφάρων καὶ σταφυλώματα λίαν ἐνεργεῖ.

Περὶ Γαγάτου λίθου. Κεφ. ρμς´.

G ΤΟΥ δὲ Γαγάτου προκριτέον ἐστὶ ταχέως ἐξαπτόμενον, καὶ ἀσφαλτίζοντα τῇ ὀσμῇ· μέλας δὲ κοινῶς ὑπάρχει καὶ αὐχμηρὸς, ἔτι δὲ πλακώδης καὶ κοῦφος ἄγαν. Δύναμιν δὲ ἔχει μαλακτικὴν

καὶ διαφορητικήν. ἔστι δὲ καὶ ἐπιληπτικῶν A ἔλεγχος ὑποθυμιαθεὶς, καὶ ὑστερικὰς ἀνακαλεῖται· διώκει δὲ καὶ ἑρπετὰ θυμιαθεὶς, καὶ ποδαγρικαῖς καὶ ἀκόποις μίγνυται δυνάμεσι. γίνεται δ' ἐν *Κιλικίᾳ κατά τινα ποταμὸν εἰσρέοντ' εἰς θάλασσαν ἐκχεομένου· ἔστι δὲ πλησίον τῆς λεγομένης Πλαγιουπόλεως. καλεῖται δὲ ὁ τόπος ἢ *ὁ B ποταμὸς Γάγας, παρ' οὗ τοῖς στόμασι εὑρίσκονται οὗτοι οἱ λίθοι.

Περὶ Θρᾳκίου λίθου. Κεφ. ρμζ'.

Ὁ δὲ λεγόμενος Θρᾳκίας, γίνεται μὲν ἐν Σκυθίᾳ, ἐν ποταμῷ τῷ λεγομένῳ Πόντῳ. Δύναται δὲ τὰ αὐτὰ τῷ Γαγάτῃ. ἱστορεῖται δὲ ἐκκαίεσθαι μὲν αὐτὸν ὕδατι, C σβέννυσθαι δὲ ὑπὸ ἐλαίου· ὅπερ καὶ ἐπὶ τῆς ἀσφάλτου γίνεται.

Περὶ Μαγνήτου. Κεφ. ρμη'.

Τοῦ δὲ Μαγνήτου λίθου ἄριστός ἐστιν ὁ τὸν σίδηρον εὐχερῶς ἕλκων, καὶ τὴν χρόαν κυανίζων, πυκνός τε καὶ οὐκ ἄγαν βαρύς. Δύναμιν δὲ ἔχει πάχους ἀγωγὸν, D διδόμενος μετὰ μελικράτου τριώβολον βάρος. ἔνιοι δὲ τοῦτον καίοντες, ἀντὶ αἱματίτου πιπράσκουσιν.

Περὶ Ἀραβικοῦ λίθου. Κεφ. ρμθ'.

Ὁ δὲ Ἀραβικὸς λεγόμενος λίθος ἔοικεν *ἐλέφαντι ἀσπίλῳ. τοῦτο λεῖος καταπλασθεὶς, αἱμορροΐδας ἀποξηραίνει· ὀδόντων δὲ σμῆγμα γίνεται, καυθείς. E

Al. additur, κάλλιστα

Περὶ Γαλακτίτου λίθου. Κεφ. ρν'.

Ὁ δὲ Γαλακτίτης ὠνόμασται, ἀπὸ τοῦ γαλακτῶδες ἀνιέναι. ἔστι μέν τοι ὅμως ἐντέφρος τὴν χρόαν, γλυκὺς πρὸς τὴν γεῦσιν· ἁρμόζει δὲ πρὸς ὀφθαλμῶν ῥεύματα καὶ ἕλκη, ἐγχριόμενος· δεῖ δὲ τρίψαντας αὐτὸν ὕδατι, ἀποτίθεσθαι ἐν πυξίδι μολιβδίνῃ, διὰ τὸ περὶ αὐτὸν κολλῶδες. F

Περὶ Μελιτίτου λίθου. Κεφ. ρνα'.

Ὁ δὲ Μελιτίτης κατὰ πάντα ἔοικε τῷ γαλακτίτῃ· διαφέρων ἐν τῷ γλυκύτερον ἀνιέναι τὸν χυλόν. ποιεῖ δὲ πρὸς ἃ καὶ ὁ γαλακτίτης. G

Περὶ Μορόχθου λίθου. Κεφ. ρνβ'.

Λίθος Μόροχθος, ὃν ἔνιοι γαλαξίαν ἢ λευκογραφίδα ἐκάλεσαν, ἐν Αἰγύπτῳ γίνεται· ᾧ καὶ οἱ ὀθονοποιοὶ πρὸς

Lec. in vet. cod. μόροξος
V. ὀθονοπῶλαι

discutiendi. Suffitus morbum sonticum deprehẽdit, recreátque vuluæ strangulationes: fugat & serpentes nidore. Podagricis medicaminibus & acopis additur. In Lycia porrò nascitur, quà influens amnis in mare effunditur, proximè oppidum quod Plagiopolis dicitur. Vocatur autẽ Gagas & locus, & amnis ad cuius ostium id genus lapidum inuenitur.

De lapide Thracio. Cap. CXLVII.

Lapis Thracius dictus, gignitur in flumine quodam Scythiæ, cui Ponto nomen est. Vis eadem quæ Gagatæ. Traditur autem accendi aqua, oleo verò restingui: id quod etiam bitumini accidit.

De Magnete. Cap. CXLVIII.

Lapis Magnes optimus est, qui ferrum facilè attrahit, & colore vergit ad cæruleum, densus, nec admodum grauis. Vim habet crassos humores educendi, si ex aqua mulsa detur trium obolorum pondere. Sunt verò qui crematum hunc pro hæmatite vendant.

De Arabico lapide. Cap. CXLIX.

Arabus lapis ebori minimè maculoso similis est. Is tritus illitu hęmorrhoidas exiccat. Crematus autem, dentifricijs accommodatur.

De Galactite lapide. Cap. CL.

Galactites nomẽ inde traxit, quòd lacteum succũ remittat: alioqui tamen cinerei est coloris, & gustu dulcis. Ad oculorũ fluxiones & vlcera cõuenienter inungitur. Oportet autẽ in aqua tritum pyxide plumbea recõdere, propter lentorem qui illi obhæret.

De Melitite lapide. Cap. CLI.

Melitites omnino Galactitæ similis: hoc tantùm interest, quòd dulciorem succum resudat. Eiusdem vt galactites effectus.

De Morochtho lapide. Cap. CLII.

Morochthus lapis, quem aliqui galaxiã aut leucographida vocauerunt, in Ægypto nascitur: ac eo quidẽ, quippe cũ mollis sit, fa-

cileq; diluatur, linteones dealbãdis linteis vtuntur. Creditur ſpiracula corporis obducere, conuenitq; ſanguinem excreantibus, cœliacis & veſicę dolore vexatis, cum aqua potus: itémque fœminis fluxione vuluæ laborãtibus, & ſimiliter potus & in peſſo appoſitus. Mollibus etiam oculorum medicamentis miſcetur: caua enim eorum vlcera explet, fluxionéſque ſiſtit. Idem cerato exceptus, quæ fiunt in teneris corporis partibus vlcera ad cicatricem perducit.

De Alabaſtrite lapide. Cap. CLIII.

ALABASTRITES, vocatus onyx, exuſtus & reſina aut pice exceptus, duritias diſcutit: ſtomachi dolores cum cerato leuat, & gingiuas reprimit.

De Thyite lapide. Cap. CLIIII.

LAPIS nomine Thyites in Æthiopia gignitur, ſubuiridis quidem & iaſpidem referens: attamen cùm diluitur, lacteum reddens ſuccum. Vehementer mordet, valétque ad expurgãda quæ pupillis tenebras offundunt.

De lapide Iudaico. Cap. CLV.

IVDAICVS lapis in Iudæa naſcitur, glandis effigie, candidus, perquàm eleganti forma, diſcurrẽtibus lineis æquali ſpatio inter ſe diſtantibus, & quaſi induſtria detornatis. Dilutus nullam qualitatem manifeſtam guſtui repræſentat: attamen ciceris magnitudine ſolutus ad cotem collyrij inſtar cum aquæ calidę cyathis tribus, potu vrinæ difficultati auxiliatur, & veſicæ calculos frangit.

De lapide Amianto. Cap. CLVI.

AMIANTVS lapis in Cypro naſcitur, ſciſſili alumini ſimilis, è quo elaborato, vtpote flexili, telas ſpectaculi gratia texunt: quæ ignibus iniectæ ardent quidẽ, ſed flammis inuictæ ſplendidiores exeunt.

De Sapphiro lapide. Cap. CLVII.

SAPPHIRVS lapis ictis à ſcorpione potu prodeſſe exiſtimatur. Bibitur & cõtra inteſtinas exulcerationes. Extuberãtia in oculis, eorũq; vuas & puſtulas reprimit: ſed & ruptas eorundẽ membranas cogit atque glutinat.

A λευκῶσαι τῶν *ἱματίων χρῶνται, μαλακῷ καὶ εὐαφεῖ ὄντι. Δοκεῖ δὲ περιεμπλάσσειν, ἁρμόζων ἐπὶ αἱμοπτοϊκῶν καὶ κοιλιακῶν, καὶ *κύστεων ἀλγήματα, σὺν ὕδατι πινόμενος· καὶ ῥοϊκαῖς ὁμοίως, καὶ ἐν προσθέματι. εἴς τε τὰ μαλακὰ ὀφθαλμικὰ μίγνυται· πληροῖ γὰρ κοιλώματα, καὶ ῥεύματα B ἵστησι. σὺν δὲ κηρωτῇ ἀναληφθεὶς, τὰ τρυφερὰ τῶν ἑλκῶν ἀπουλοῖ. V. ἀστείων.

Περὶ Ἀλαβαστρίτου λίθου. Κεφ. ρνγ΄.

ΛΙΘΟΣ Ἀλαβαστρίτης ὁ καλούμενος ὄνυξ, ἀναληφθεὶς κεκαυμένος ῥητίνῃ ἢ πίσσῃ, διαφορεῖ σκληρείας· στομάχου δὲ ἀλγήματα μετὰ κηρωτῆς παρηγορεῖ· στέλ- C λει δὲ καὶ οὖλα.

Περὶ Θυΐτου λίθου. Κεφ. ρνδ΄.

ΛΙΘΟΣ ὁ καλούμενος Θυΐτης, γεννᾶται μὲν ἐν τῇ Αἰθιοπίᾳ, ἔστι δὲ ὑπόχλωρος, ἰασπίζων· ἐν δὲ τῷ λύεσθαι γαλακτώδης φαινόμενος, ἀναδάκνων σφοδρῶς. Δύναμιν δὲ ἔχει ἀποκαθαρτικὴν τῶν ταῖς D κόραις ἐπισκοτούντων.

Περὶ Ἰουδαϊκοῦ λίθου. Κεφ. ρνε΄.

Ο ΔΕ Ἰουδαϊκὸς λίθος γεννᾶται μὲν ἐν τῇ Ἰουδαίᾳ, τῷ σχήματι βαλανοειδὴς, λευκὸς, εὔρυθμος ἱκανῶς, ἔχων καὶ γραμμὰς παραλλήλους, ὡς ἀπὸ τόρνου· ἀνιέμενος δ᾽ ἐστὶν ἄποιος ἐν τῇ γεύσει. δύ- E ναται δὲ ἐρεβινθιαῖον μέγεθος, διεθὲν ὡς κολλύριον ἐπ᾽ ἀκόνης σὺν ὕδατος θερμοῦ κυάθοις τρισὶ καὶ ποθὲν, δυσουρίαις βοηθεῖν, καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν.

Περὶ Ἀμιάντου λίθου. Κεφ. ρνϛ΄.

ΛΙΘΟΣ Ἀμίαντος γεννᾶται μὲν ἐν Κύπρῳ, σχιστῇ στυπτηρίᾳ ἐοικώς. ὃν *ἐργα- F ζόμενοι ὑφάσματα ποιοῦσιν ἐξ αὐτοῦ ὄντος ἱμαντώδους πρὸς θέαν· ἃ βληθέντα εἰς πῦρ, φλογοῦνται μὲν, λαμπρότερα δὲ ἐξέρχονται, μὴ κατακαιόμενα. Lacuna legit ex vet. cod. ἐργαζόμεναι αἱ [illegible]

Περὶ Σαπφείρου λίθου. Κεφ. ρνζ΄.

ΛΙΘΟΣ Σάπφειρος δοκεῖ ὠφελεῖν σκορπιοπλήκτους πινόμενος· πίνεται δὲ G καὶ πρὸς τὰς ἐντὸς ἑλκώσεις· καὶ *πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς δὲ ὑπεροχὰς, καὶ σταφυλώματα, καὶ φλυκταίνας στέλλει, καὶ τὰς ῥήξεις τῶν ὑμένων συνάγει. Iſtud πρὸς redũdare videtur.

Περὶ Μεμφίτου λίθου. Κεφ. ρνη'.

Λίθος Μεμφίτης εὑρίσκεται ἐν Αἰγύπτῳ κατὰ Μέμφιν, ἔχων ψηφίδων μέγεθος, λιπαρὸς καὶ ποικίλος. τοῦτον ἱστοροῦσι καταχρισθεὶς λεῖος ἐπὶ τῶν μελλόντων τέμνεσθαι ἢ καίεσθαι τόπων, ἀναισθησίαν ἀκίνδυνον ἐπιφέρειν.

Περὶ Σεληνίτου λίθου. Κεφ. ρνθ'.

Λίθος Σεληνίτης, ὅν τινες ἀφροσέληνον ἐκάλεσαν, διὰ τὸ εὑρίσκεσθαι αὐτὸν νυκτὸς μεστὸν ἐν τῇ τῆς σελήνης παραυξήσει. γίνεται δὲ ἐν Ἀραβίᾳ, λευκὸς, διαυγὴς, κοῦφος. τοῦτον ὑποξύσαντες, διδόασι πόμα ἐπιληπτικοῖς. καὶ αὐτῇ φυλακτηρίου δὲ περιάμματι αὐτῷ αἱ γυναῖκες χρῶνται. δοκεῖ δὲ καὶ δένδρεσι περιδεθεὶς, καρπογόνος εἶναι.

Περὶ Ἰάσπιδος λίθου. Κεφ. ρξ'.

Λίθος Ἴασπις, ὁ μέν τις ἐστὶ σμαραγδίζων· ὁ δὲ, κρυσταλλώδης, ἐοικὼς φλέγματι· ὁ δὲ, ἀερίζων· ὁ δὲ, καπνίας, ὡσπερεὶ κεκαπνισμένος· ὁ δέ τις καὶ διαφύσεις ἔχων διαλεύκους καὶ ἀποστιλβούσας, Ἀσσύριος καλούμενος· ὁ δέ τις τερεβινθίζων λέγεται, καλαΐνῳ χρώματι παρόμοιος. λέγονται δὲ πάντες εἶναι φυλακτήρια περίαπτα καὶ ὠκυτόκια, μηρῷ περιαπτόμενα.

Lacuna legit in vet. cod. ἀσπισε.

Περὶ Ἀετίτου λίθου. Κεφ. ρξα'.

Ἀετίτης λίθος, ὁ ἐν ἑαυτῷ κινούμενος ἦχον ἀποτελῶν, ὡς ἑτέρου ἐγκύμων λίθου ὑπάρχων, κατόχιον ἐμβρύων ἐστὶν, ὅταν ὀλισθηραὶ ὦσιν αἱ μῆτραι, περιαπτόμενος ἀριστερῷ βραχίονι· ἐν δὲ τῷ καιρῷ τῆς ἀποτέξεως, ἄρας ἐκ τοῦ βραχίονος, περίαπτε τῷ μηρῷ, καὶ ἐκτὸς ὠδίνων τέξεται. ἔστι δὲ καὶ κλεπτέλεγχος, εἰ ἐπιθείη τις εἰς τὸν προσφερόμενον ἄρτον· ὁ γὰρ κλέψας οὐκ ἂν δυνηθείη καταπιεῖν τὰ μασηθέντα. φασὶ δὲ ὅτι καὶ συνεψόμενος ὁ ἀετίτης τοῖς ἐδέσμασι, κλεπτέλεγχος γίνεται· οὐ γὰρ δυνήσεται ὁ κλέψας καταπιεῖν τὰ συνεψόμενα αὐτῷ. λειωθεὶς δὲ καὶ ἀναλαμβανόμενος κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου ἢ γλευκίνου ἢ τινὸς ἑτέρου τῶν θερμαινόντων, ὀνίνησι μεγάλως ἐπιληπτικούς.

Hoc caput de Aetite in codicibus quibusdam desideratur.

A *De lapide Memphite. Cap. CLVIII.*

LAPIS Memphites in Ægypto iuxta Memphin inuenitur, calculorum magnitudine, pinguis & versicolor. Hoc tradunt trito & illito partes quæ vrendæ secandæve sunt citra periculũ, ita obstupescere
B vt non sentiant cruciatum.

De lapide Selenite. Cap. CLIX.

LAPIS Selenites, quem aliqui Aphroselenon appellarũt, quod noctu plenus luna crescente reperiatur: nascitur in Arabia, cádidus, translucens & leuis. Huius ramenta comitialibus in potu exhibentur.
C Eum etiam mulieres sibi pro amuleto alligant. Sed & eodem adalligato, arbores frugiferæ reddi creduntur.

De Iaspide. Cap. CLX.

EX Iaspidum generibus quædam smaragdum imitatur, alia crystallum, pituitæ similis: alia non dis-
D similis aëri, ob id aërizusa vocatur: alia veluti fumo infecta, quæ capnias ex argumẽto appellatur: quędam lineis albis & resplendentibus præcingitur, Assyrios nuncupata: alia denique terebinthizusa dicitur, colore callaida gemmam imitata. Omnes pro amuletis gestari, ac fe-
E moribus adalligatæ partum accelerare traduntur.

De Aëtite lapide. Cap. CLXI.

AETITES lapis, alio dum quatitur intra se ac velut in vtero sonante prægnans, grauidis, quibus lubricæ & parũ tenaces sunt vuluæ, partus continet, sinistro earum brachio adalligat⁹: sed cùm parturiũt, è
F brachio remoueatur, ac femori alligetur, vt citra dolores pariant. Furem quoque deprehendit, si quis in pane conditum offerat: fur enim commanducata deuorare minimè poterit. Quin & si cum eduliis coquatur, furem prodere & coarguere dicitur: quippe fur quæ cum eo decocta fuerint haudquaquam glu-
G tire poterit. Porrò tritus & cerato exceptus cyprino, gleucinóve aut alio quopiam excalfaciente, comitiales magnificè iuuat.

De lapide Ophite. Cap. CLXII.

IN hoc lapidum genere quidam est ponderosus ac niger: alter cinereo colore spectatur, punctis distinctus: tertius lineis quibusdá candidis intercinctus est. Omnes alligati, morsis à serpente & caput dolentibus opitulantur. Priuatim verò qui lineas habet, lethargo & capitis dolorib' auxiliari perhibetur.

De Spongiarum lapidibus. Cap. CLXIII.

LAPIDES qui in Spongiis inueniuntur, in vino poti, calculos vesicæ rumpunt.

De Lithocolla. Cap. CLXIIII.

LITHOCOLLA, seu glutinum quo lapides ferruminantur, mistura est marmoris aut lapidis Parij & taurini glutinis. Potest candente specillo admota incommodos oculis pilos replicare.

De Ostracite lapide. Cap. CLXV.

OSTRACITES testæ similitudinem habet, crustosus & in laminas fissilis, quo mulieres *ad pilos amouẽdos pro pumice vtuntur. Menses drachmæ põdere potus ex vino sistit: quòd si ad dies quatuor à menstrua purgatione drachmarum duarum pondere bibatur, fœminis præstat ne concipiant. Cum melle autem impositus, mammarũ inflammationes lenit, & nomas cohibet.

*Vel leuigandæ causa

De Smyride. Cap. CLXVI.

SMYRIS lapis est, quo annularij sculptores gemmas expurgãt, ad septica & caustica medicamenta vtilis. Prodest & humore nimio flaccescentibus gingiuis, dentifriciisque commendatur.

De Arena. Cap. CLXVII.

ARENA litoralis sole feruefacta, hydropicorũ corpora resiccat, si capite tenus ea vndiq; obruátur. Torretur & ad aridos fotus, pro milio aut sale.

De Cote. Cap. CLXVIII.

E COTE Naxia quod exacuendo ferro deteritur, illitum alopecias ad pilũ reducit: virginúmq; mammas cohibet, nec increscere patitur: potũ verò ex aceto, lienem absumit, & comitialibus prodest.

A Περὶ Ὀφίτου λίθου. Κεφ. ρξβʹ.

ΛΙΘΟΣ ὀφίτης· ὁ μέν τίς ἐστι βαρὺς καὶ μέλας· ὁ δὲ, σποδοειδὴς τὴν χρόαν καὶ κατεστιγμένος· ὁ δὲ, τὰς γραμμὰς ἔχων λευκάς. Πάντες δὲ εὐχρηστοῦσι περιαπτόμενοι ἐπὶ ὀφιοδήκτων καὶ κεφαλαλγούντων. ὁ δὲ τὰς γραμμὰς ἔχων, ἰδίως ἱστορεῖται B ληθάργῳ καὶ κεφαλαλγίαις βοηθεῖν.

Val. Cordus hæc gr. vsitatum non ad pondus, sed ad odorẽ refert.

Περὶ τῶν ἐν τοῖς Σπόγγοις λίθων. Κεφ. ργʹ.

ΛΙΘΟΙ οἱ ἐν τοῖς Σπόγγοις εὑρισκόμενοι, σὺν οἴνῳ ποθέντες, τοὺς ἐν κύστει λίθους θρύπτουσιν.

Περὶ Λιθοκόλλης. Κεφ. ρξδʹ.

C ΗΔΕ Λιθοκόλλα, μίγμα οὖσα μαρμάρου ἢ λίθου Παρίου καὶ ταυροκόλλης, δύναται διὰ μηλωτίδος πεπυρωμένης τρίχας ἀνακολλᾶν τὰς ἐν ὀφθαλμοῖς.

Περὶ Ὀστρακίτου λίθου. Κεφ. ρξεʹ.

ΛΙΘΟΣ Ὀστρακίτης ὅμοιός ἐστιν ὀστράκῳ D πλακώδης καὶ εὔσχιστος, ᾧ χρῶνται ἀντὶ κισσήρεως πρὸς τριχῶν ἄρσιν αἱ γυναῖκες. ἵστησι δὲ καὶ καταμήνια, πινόμενος σὺν οἴνῳ < αʹ. πλῆθος. δυοῖν δὲ < βάρος ἐὰν πίνῃ τις ἐφ' ἡμέρας δʹ. μετὰ τὴν ἄφεδρον, ἀσυλληψίαν ποιεῖ. σὺν μέλιτι δὲ ἐπιτιθέμενος, φλεγμαίνοντας μαστοὺς πραΰνει, E καὶ νομὰς ἵστησι.

Περὶ Σμύριδος. Κεφ. ρξϛʹ.

ΣΜΥΡΙΣ λίθος ἐστὶν ᾗ τὰς ψήφους οἱ δακτυλογλύφοι σμήχουσι, χρησίμη εἰς *σηπτὰς καὶ καυστικά· καὶ πρὸς οὔλων πλαδῶν καὶ ὀδόντων σμῆξιν.

Περὶ Ἄμμου. Κεφ. ρξζʹ.

F ΑΜΜΟΣ ἡ παρὰ τοῖς αἰγιαλοῖς πυρωθεῖσα ὑπὸ τοῦ ἡλίου, ἐξικμάζει τὰ ὑδρωπικὰ σώματα περιχωννύμενα δίχα κεφαλῆς. Φώγνυται δὲ καὶ εἰς τὰς ξηρὰς πυρίας ἀντὶ κέγχρου ἢ ἁλῶν.

Περὶ Ἀκόνης. Κεφ. ρξηʹ.

G ΑΚΟΝΗΣ Ναξίας τὸ ἀπότριμμα τοῦ πρὸς αὐτὴν ἀκονηθέντος σιδήρου ἐγχρισθὲν, ἀλωπεκίας τριχοῖ· καὶ μαστοὺς παρθένων κωλύει *αὔξασθαι· ποθὲν δὲ μετ' ὄξους, σπλῆνα τήκει, καὶ ἐπιληπτικοὺς ὠφελεῖ.

Lego αὐξάνεσθαι, aut αὐξαίνεσθαι

[illegible] Κεφ. ρξθ'.

[illegible] ἀποκα- [illegible] τοῖς ὀφθαλ- [illegible] μετ' ὕδατος, μα- [illegible] φλεγμονάς.

Περὶ Γῆς. Κεφ. ρό.

ΓΗ [illegible] ἡ πίπτουσα εἰς ἰατρικὴν [illegible], τὴν μὲν αἰωτάτω δύναμιν ἔχει B [illegible] καὶ περιεμπλάσσουσαν· κατ' [illegible] δὲ διαφέρει, ἄλλης εἰς ἄλλα μετὰ τινος σκευασίας χρησιμευούσης.

Περὶ Ερετριάδος γῆς. Κεφ. ροα'.

ΤΗΣ Ερετριάδος γῆς, ἡ μέν ἐστι λευκὴ ἐπιτεταμένως, ἡ δὲ, σποδοειδής. ἀρίστη δὲ ὑπάρχει ἡ τῇ χρόᾳ σποδίζουσα καὶ μαλα- C κὴ ἄγαν, πρός τε χαλκώματα ἡ κνωθεῖσα γραμμὴν ἰώδη ἀποφερομένη. πλύνεται δὲ ὡς ψιμμίθιον, ἢ οὕτω· λεάνας αὐτῆς ὅσον ἂν θέλῃς, κατ' ἰδίαν τε καὶ σὺν ὕδατι ἔασον καταστῆναι· εἶτα τὸ μὲν ὑγρὸν ἐλαφρῶς ἀπήθησον· τὴν δὲ γῆν ἐν ἡλίῳ ξηράνας, πάλιν τρίβε ἐπὶ ἡμέρας ἐπιδοὺς D ὕδωρ, ἑσπέρας δὲ ἐάσας ὑποστῆναι, περὶ δὲ ὄρθρον ἀπήθησον, καὶ λεάνας ἐν ἡλίῳ διαχέας ἀνάπλασσε ὡς δυνατόν. ἐὰν δὲ καὶ ὠπτημένης χρεία ὑπάρχῃ, λαβὼν ἐρεβινθιαῖα μεγέθη τῆς γῆς, δὸς εἰς ἀγγεῖον κεραμεοῦν κατατετρημένον· πωμάσας τε τὸ στόμα ἐπιμελῶς, ἔνθες εἰς διαπύρους ἄνθρακας, E καὶ ῥίπιζε συνεχῶς. ὅτε δὲ ἡ σποδὸς αἰθαλωθῇ, ἤτοι ἀερώδης μᾶλλον γίνηται τὴν χρόαν, ἀνελόμενος ἀπόθου. Δύναμιν δὲ ἔχει στυπτικὴν καὶ ψυκτικὴν, κούφως μαλακτικὴν καὶ κοιλωμάτων πληρωτικὴν, καὶ ἐναίμων κολλητικήν.

Marc. καθ' ἡμέρας legendum suspicatur.

Περὶ Σαμίας γῆς. Κεφ. ροβ'. F

ΤΗΣ δὲ Σαμίας γῆς τὴν ἄγαν λευκὴν προκριτέον, καὶ ἐλαφράν. καὶ ἐν τῷ θίγειν τῆς γλώσσης, κρατουμένην ἐχεκόλλως, ἔτι τε εὔχυλον καὶ μαλακὴν καὶ εὔθρυπτον, οἵα ἐστὶν ἣν τινες κολλύριον καλοῦσιν. ἔστι γὰρ αὐτῆς δύο εἴδη· τό, τε προειρημένον καὶ ὁ καλούμενος ἀστήρ, πλακώδης ὢν καὶ πυκνός, ὡς G ἀκόνη. Δύναμιν δὲ ἔχει καὶ καῦσιν καὶ πλύσιν ἐμφερῆ Ερετριάδι. ἵστησι δὲ αἵματος ἀναγωγὴν, καὶ ῥοικαῖς δίδοται γυναιξὶ

[illegible] &c.

A *De Geode lapide. Cap. CLXIX.*

GEODES lapis astringit, siccat, caligines oculorum discutit. Illitus autem ex aqua, mammarum testiúmque inflammationes sedat.

De Terra. Cap. CLXX.

TERRA omnis quæ quidem in medicum vsum venit, primam ac summam vim habet refrigerádi, meatúsque obducẽdi: sed specie distat, quum alia hoc vel illo modo præparata ad alia sit vtilis.

De Terra Eretria. Cap. CLXXI.

IN genere terræ Eretriadis quædam vehementer alba est, altera cinerea. Optima verò habetur ad cinereũ colorẽ vergẽs & per quàm mollis, quæq; si per æramenta tractim ducatur, violacei coloris lineamenta reddit. Lauatur vt cerussa, aut hunc in modum: Ex ea quantum libuerit terito seorsum & aqua perfusa: ac vbi pessum ierit, humorem leuiter excolato: terram verò siccatam solibus iterum terito per diem, adiecta aqua, vt vespere considat. Matutinò deinde colo excernito, demúmque ad solem tritam digerito in pastillos, quatenus fieri poterit. Quòd si assata tostáve desideretur, terræ frusta ciceris magnitudine in fictile perforatum cõiicito, oréque vasis diligenter obturato candentibus indito carbonibus, ac follibus continenter perflato. Vbi verò cinis in fauillas sese cõuerterit, aut aëreum potiùs colorẽ contraxerit, exemptum reponito. Vim habet astringentem & refrigeratoriam, ac leuiter emolliẽtem: caua itidem explet, vulneráque cruenta glutinat.

[illegible]

De Terra Samia. Cap. CLXXII.

SAMIÆ præfertur perquàm candida, leuis & tangenti linguę glutinis modo adhærescens, insupérque succosa, mollis & friabilis: cuiusmodi est quam aliqui collyrium vocànt. Duo enim sunt eius genera, nempe quod modò dictum est, & quod Aster appellatur, glebosum ac densũ cotis in modũ. Vritur ac lauatur vt Eretria, vimq; cõsimilẽ habet: sanguinis excreationes sistit: & fœminis fluxione vuluæ laborantibus

cum flore syluestris Punicæ datur. Testium quoq; & mammarum inflammationes illita ex rosaceo & aqua sedat: compescit & sudores: denique contra venenatorum morsus & exitialia medicamenta pota è vino auxiliatur.

De lapide Samio. Cap. CLXXIII.

SAMIVS lapis in Samia terra inuenitur, quo aurifices ad poliendum illustrandúmque aurum vtuntur. Præstat in eo genere candidus & grauis. Vis ei astrictoria & refrigerans: quapropter prodest stomachicis potus: est & vis instrumenta sensuũ adiuuandi & ab iniuria vindicandi: ad oculorum fluxiones & vlcera cũ lacte efficax est. Creditur & adalligatus accelerare partus & conceptus fœminarum custodire.

De terra Chia. Cap. CLXXIIII.

CHIA eligi debet candicans, ad cinereum vergẽs colorem & Samiæ similis. Est autem glebosa ac tenuis, sed fictitiis formis differens. Effectus eius qui Samię: faciei ac totius corporis cutem erugat, illustrat & amabili coloris bonitate cõmendat: ac in balneis ꝓ nitro deterget.

De terra Selinusia. Cap. CLXXV.

IDEM effectus & Selinusiæ: maximè verò laudatur quę vehemẽter resplẽdet, candidáq; est ac friabilis, quæq; facillimè in succum resoluitur, cùm primùm humore diluitur.

De Cimolia terra. Cap. CLXXVI.

CIMOLIA quædam est candida, altera ad purpureũ inclinans, quæ natiuam quandam habet pinguitudinẽ & tactu frigida sentitur: & hęc quidem optima existimatur. Vtraque aceto diluta, parotidas & alia tubercula discutit: ambustis igni confestim inuncta, partes affectas à pustularum eruptione vindicat: testium duritias ac totius corporis inflammationes cohibet, insupérque aduersatur erysipelatis. In summa multiplici sunt in vsu, dummodò genuinæ ac minimè spuriæ assumantur.

De terra Pnigitide. C. CLXXVII.

QVÆ Pnigitis dicitur, colore quodãmodo Eretrię similis est.

A σὺν βαλαυστίῳ. καὶ ὄρχεων καὶ μαστῶν φλεγμονὰς καταχριομένη σὺν ὕδατι καὶ ῥοδίνῳ παύει· στέλλει καὶ ἱδρῶτας καὶ θηριοδήκτοις καὶ θανασίμοις ἀρήγει, σὺν ὕδατι πινομένη.

Marc. ἱδρῶτι legendum suspicatur.

Lacuna ex vet. cod. legit, σὺν ἐλ.

Περὶ τοῦ ἐν Σάμῳ λίθου. Κεφ. ρογ'.

ΕΥΡΙΣΚΕΤΑΙ δέ τις ἐν τῇ Σαμίᾳ γῇ λίθος, ᾧ οἱ χρυσοχόοι χρῶνται πρὸς
B τὸ λεαίνειν καὶ στιλβοῦν. διαφέρει δὲ ὁ λευκὸς καὶ στιβαρός. Δύναμιν δὲ ἔχει στυπτικήν, ψυκτικήν· ὠφελεῖ στομαχικοὺς ἐν ποτῷ· *ἀμβλυωτικὴν τοῖς αἰσθητηρίοις ποιεῖ· πρὸς τὰ ἐν ὀφθαλμοῖς ῥεύματα καὶ ἕλκη, σὺν γάλακτι· δοκεῖ δὲ καὶ ὠκυτόκιος εἶναι καὶ φυλακτήριος τῶν συνειληφυιῶν, περι-
C απτόμενος.

V. cod. addit, καὶ αἱμοστατικὴν καλοῦσι, χρήσιμος ... αἱμοῤῥαγίαις, ταινίαις.

Περὶ Χίας γῆς. Κεφ. ροδ'.

ΚΑΙ τῆς Χίας δὲ τὴν λευκὴν καὶ ὑπότεφρον προαιρετέον, καὶ τῇ Σαμίᾳ ἐμφερῆ· πλακώδης δέ ἐστι καὶ λευκή, τοῖς δὲ σχήμασι τῆς ἀναπλάσεως διαφέρουσα. Δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῇ Σαμίᾳ·
D ῥυτιδοῖ δὲ καὶ στίλβον, ἔτι δὲ εὔχρουν τὸ πρόσωπον καὶ ὅλον τὸ σῶμα ἀποτελεῖ· σμήχει δὲ αὐτὴ ἀντὶ νίτρου ἐν βαλανείῳ.

Orib. καὶ λεπτή

Περὶ Σελινουσίας. Κεφ. ροε'.

ΤΑ αὐτὰ δὲ ποιεῖ καὶ ἡ Σελινουσία γῆ· ἀρίστη δέ ἐστιν ἡ ἄγαν στιλβοῦσα καὶ λευκή, εὔθρυπτος δὲ καὶ ταχέως ἄγαν χυλου-
E μένη, ἐπειδὰν ὑγρὸν λάβῃ.

Περὶ Κιμωλίας γῆς. Κεφ. ρος'.

ΤΗΣ δὲ Κιμωλίας ἡ μέν ἐστι λευκή, ἡ δὲ ἐμπόρφυρος, καὶ λιπαρίαν τινὰ ἔμφυτον κεκτημένη, πρός τε τὴν ἀφὴν κατάψυχρος, ἣν ἀρίστην ἡγητέον. ἑκάτεραι δὲ διαφοροῦσιν ὄξει διειμέναι, παρωτίδας καὶ
F τὰ ἄλλα φύματα· πρός τε τὰ πυρίκαυστα ποιοῦσιν ἐπιχριόμεναι παραχρῆμα, ὥστε ἀφλυκταίνωτα διατηρεῖν τὰ πεπονθότα μέρη· καταστέλλουσι δὲ καὶ διδύμων σκληρίας καὶ φλεγμονὰς τὰς περὶ ὅλον τὸ σῶμα· ἔτι δὲ ἐρυσιπέλασιν ἐνίστανται. καθόλου δὲ πολύχρηστοι εἰσὶν αἱ γνήσιοι, ἐὰν μὴ
G νόθοι παραλαμβάνωνται.

Περὶ Πνιγίτιδος γῆς. Κεφ. ροζ'.

ΗΔΕ λεγομένη Πνιγῖτις γῆ, τῇ χρόᾳ ἔοικέ πως τῇ Ἐρετριάδι. ἔστι δὲ ἁδρο-

Orib. ἀδροσίας, aut quid simile.

βῶλος, ψυκτικὴ πρὸς τὰς τῶν χειρῶν ἐπιβολάς· τῇ τε γλώσσῃ μάλιστα κολλᾶται ὡς ἐκκρεμᾶσθαι. Δύναμιν δὲ τὴν αὐτὴν ἔχει τῇ Κιμωλίᾳ, βραχὺ τῆς εὐτονίας ὑστεροῦσα. Ταύτην ἀντὶ Ἐρετριάδος τινὲς πιπράσκουσι.

Περὶ Ὀστράκων. Κεφ. ροη΄.

Ὄστρακα δὲ τὰ ἐξ ἰπνῶν, τὰ λίαν κατοπτα, ἐσχαρωτικά· ὅθεν ἐπιχριόμενα σὺν ὄξει, κνησμοὺς καὶ ἐξανθήματα ἰᾶται, καὶ ποδαγρικοὺς ὠφελεῖ· ἀναληφθέντα τε κηρωτῇ, χοιράδας διαφορεῖ.

Περὶ τῆς ἐκ τῶν Καμίνων γῆς. Κεφ. ροθ΄.

Καὶ ἡ ἐκ τῶν Καμίνων δὲ κατοπτος γῆ πυῤῥά, τὴν αὐτὴν ἔχει δύναμιν τοῖς ὀστράκοις.

Περὶ Μηλίας γῆς. Κεφ. ρπ΄.

Ἡ δὲ Μηλία τὴν μὲν χρόαν καὶ αὐτὴ ἐστὶν ἐμφερὴς Ἐρετριάδι τῇ σποδοειδεῖ· τραχεῖα δὲ καὶ περιτριβομένη τοῖς δακτύλοις, ὡς ψοφυρισμόν τινα ἀποτελεῖν ὅμοιον ψωχομένῃ κισσήρει. τῇ δὲ δυνάμει στυπτηριώδης ἐστίν, λελυμένως δὲ μᾶλλον· ὃ δὴ καὶ διὰ τῆς γεύσεως ἐμφαίνει. ἀναξηραίνει δὲ καὶ τὴν γλῶτταν πραέως. δύναται δὲ καθαρὸν καὶ εὔχρουν ἀποτελεῖν τὸ σῶμα· λεπτύνει δὲ καὶ τὰς τρίχας, καὶ ἀλφοὺς καὶ λέπρας σμήχει. χρησιμεύει δὲ καὶ ζωγράφοις πρὸς πλείονα παραμονὴν χρωμάτων, καὶ χλωραῖς δυνάμεσι συνεργεῖ.* καὶ ταύτης δὲ καὶ κοινῶς ἁπάσης γῆς τὴν ἄλιθον ἐκλεκτέον καὶ πρόσφατον, μαλακήν τε καὶ εὔθρυπτον, καὶ εὔλυτον ὅταν ὑγροῦ θίγῃ.

Περὶ Ἀμπελίτιδος γῆς. Κεφ. ρπα΄.

A θεὶς ἀντὶ ῥόος λεῖος ἐπιπάσσεται τοῖς προσοψήμασι. κηκὶς ὀμφακίτις μετὰ πόλτου ἑψηθεῖσα ἐν τῷ ὕδατι, ἢ γίγαρτα ὁμοίως, ἢ σταφίδες, εἶτ' * ἐξαιρεθέντες ἐκ τοῦ πόλτου ἐσθιομένου. ἑλένιον ἑφθὸν ἐσθιόμενον. *πόλτος ἐξ ἐλύμου, ἢ κέγχρου, ἢ ζειᾶς, ἢ χόνδρου πεφρυγμένου, ἢ ὀρύζης. ἢ σμύρνιον ἑφθόν. κάρυα

B βασιλικά. κεράτια ξηρὰ καὶ τὰ ἀπὸ στεμφύλων. κηκὶς λεία μετ' ᾠοῦ ῥοφηθεῖσα, καὶ οἴνῳ δὲ * ἐπιπλασθεῖσα· κορωνόποδος ῥίζα ἐσθιομένη, κύαμος Ἑλληνικὸς καθεψηθεὶς ἐν ὀξυκράτῳ σὺν τῷ λέπει ἐσθιόμενος, λινόσπερμον φρυγὲν καὶ μετὰ μέλιτος ἑφθοῦ ἐσθιόμενον. λωτοῦ καρπὸς ἐσθιόμενος. μέλι

C ἑφθὸν καταπινόμενον καθ' ἑαυτό, καὶ σὺν σιδίοις κεκομμένοις καὶ σεσησμένοις. μέσπιλα, μῆλα κυδώνια πέπειρα ἑφθὰ μετὰ μέλιτος· ἢ διατεμὼν τὰ κυδώνια κατὰ λάρου, καὶ ἐναποβρέξας ὕδατι, δίδου πίνειν τὸ ἀπόβρεγμα. μυρτίτης οἶνος πινόμενος, καὶ μύρτα ξηρὰ χυλιζόμενα. οὖα ξηρὰ ἀπεζεσμένα,

D καὶ πινόμενα τὸ ἐξ αὐτῶν ἀλφίτων, ἢ ἀχράδων ὁμοίως. σέρεις ἑφθαὶ μετ' ὄξους, ἀρνόγλωσσον ὁμοίως· σελίνου καυλοὶ ὁμοίως. φακὴ μετὰ ἀρνογλώσσου, ἢ ἀνδράχνης, ἢ σέριδος, ἢ κιχωρίου, ἢ ῥοιᾶς λεπυχάνων, ἢ * φοίνικες Θηβαϊκοὶ ἑψημένοι. στέαρ ἐλάφειον νεαρὸν σὺν τυρῷ ἢ ἀλφίτῳ ἑψη-

E μένον. ἧπαρ ὀπτὸν αἰγός, ἢ τράγου, ἐν μέλιτι ἐπιτηγανισθέν. ἐγκέφαλος ὁμοίως. τυρὸς ἁπαλὸς ἀποξυσθεὶς καὶ ἀποζεσθείς, ἔπειτα ἐν μέλιτι τηγανισθείς. χελιδόνων νεοσσοὶ ὀπτοὶ ἐσθιόμενοι ἀντὶ συκαλίδων. καὶ λύγου ῥίζα ἑψηθεῖσα σὺν φακῇ. κηρὸς ἢ μελίκηρον ἐγκαθεψόμενον τοῖς ῥοφήμασι.

F κράμβη δὶς ἑφθὴ ἐσθιομένη. θρίδακες ἄπλυτοι ἐσθιόμενοι, μάλιστα ἐπὶ τῶν ἀνορέκτων. πυτία νεβροῦ, ἢ λαγωοῦ, ἢ ἐρίφου διεθεῖσα ὕδατι καὶ ποθεῖσα.

1. Καταπλάσσεται δὲ τοὺς κοιλιακοὺς καὶ δυσεντερικοὺς ὠφελίμως, ἀγριελαίας ἄνθος σὺν ὠμῇ λύσει χλιαρᾷ. βά-

G του φύλλα σὺν μήλῳ κυδωνίῳ καὶ κηρωτῇ. μυρσίνης φύλλα λεῖα σὺν οἴνῳ καὶ ὀμφακίνῳ ἐλαίῳ γλοιώδη γινόμενα, καὶ ἐν ἐρίῳ ἐπιτιθέμενα. κρίθινον ἄλευρον σὺν οἴνῳ καὶ

ἐξαιρεθέντα forte, vt referatur ad γίγαρτα. Πολτός

πινόμενον τὸ ἐξ αὐτῶν ἄλευρον ἀντὶ ἀλφίτων. ex 1. de mat.

ἑφθαὶ μετ' ὄξους λαμβανόμεναι, lib. 2. de mat.

Legerim ἢ φοινίκων Θηβαϊκῶν ἑψομένων ex lib. 2. de mat. med. cap. de lente. Iohanneus.

βάτῳ, ἢ ἀχράσιν, ἢ σιδίοις, ἢ κυδωνίων ἄνθεσι· καὶ σὺν κηρωτῇ δὲ τὰ τῶν κυδωνίων ἄνθη. ῥόας λέπη ἑψημένα ἐν οἴνῳ λεῖα σὺν κηρωτῇ. ῥοῦς βυρσοδεψικὴ σὺν κηρωτῇ. φοινικοβάλανοι, ἢ [illegible] καρυωτοὶ σὺν μήλῳ κυδωνίῳ καὶ κηρωτῇ. οἰνάνθη, ἢ στυπτηρία σὺν ἀλόῃ καὶ ἀκακίᾳ, καὶ φοίνιξι σὺν ἀειζώου σπέρματι. περιστερᾶς κόπρος ξηρὸς σὺν *συκοῖς ἑψημένοις ἐν οἴνῳ· ἢ μελάνθιον σὺν κυμίνῳ καὶ θέρμοις πικροῖς καὶ νίτρῳ καὶ μέλιτι. ἢ κάρδαμον σὺν σιδίοις *ἑφθοῖς καὶ κηρῷ καὶ ἀμόργῃ.

σύκοις forte, vel σιδίοις. Gesn.

ἑφθοῖς forte, Ges.

LI. Ενίεται δὲ ἐπὶ κοιλιακῶν συμφερόντως καὶ δίδοται δὲ *ἀμπέλου φύλλοις καὶ χυλὸς, ἀνδράχνης, ἀκακίας, ὑποκιστίδος, ἀρνογλώσσου χυλὸς, βαλαύστιον, μίλτος Σινωπικὴ μετά τινος τῶν στυφόντων ἀφεψήματος. λωτοῦ ἢ φηγοῦ πρισμάτων ἀφέψημα. ῥόος βυρσοδεψικῆς χύλισμα, καὶ τὸ ἀφέψημα τῶν φύλλων. φακὴ μετὰ ῥόδων ἀφεψηθεῖσα. πτισάνη σὺν βάτου ἀφεψήματι, ἢ μυρσίνης, ἢ σφαιρίων κυπαρίσσου. καὶ καθ᾽ ἑαυτὰ δὲ τὰ ἀφεψήματα χωρὶς πτισάνης ἐνίεται ὠφελίμως.

Gesn. legit ἀμπέλου φύλλων χυλὸς, ἢ ἀκακίας, ἢ ὑποκιστίδος.

LII. Επὶ δὲ δυσεντερικῶν ἁρμόζει μὲν καὶ τὰ πρὸς κοιλιακοὺς ἐνέματα, ἰδίως δὲ ἐπὶ τῶν περιωδυνούντων· βούτυρον καθ᾽ ἑαυτὸ πρόσφατον. ἢ μολόχης, ἢ τήλεως, ἢ λινοσπέρμου, ἢ χόνδρου, ἢ πτισάνης, ἢ ὀρύζης, ἢ τράγου ἑψηθέντων καὶ τορυνηθέντων ὁ χυλός. ἐπὶ δὲ τῶν δίχα ἀλγηδόνος ῥεύματι ζομένων ἁρμόζει ἅλμη μετὰ οἴνου, κέρας ἐλάφειον κεκαυμένον σὺν οἴνῳ καὶ ῥοδίνῳ. ἀρρενικὸν σὺν χάρτῃ κεκαυμένον διπλάσιον, καὶ οἴνῳ. μολύβδου σκωρία, ἢ μολύβδαινα μετὰ μυρσινίνου. ἄσφαλτος σὺν πτισάνῃ τακεῖσα, στοίβης ἀπόζεμα σὺν οἴνῳ. γάρος ὁ ἀπὸ τῶν ἰχθύων ἐνιέμενος ἐπὶ τῶν μετὰ *νομῶν, καὶ ὁ ἀπὸ τῶν σιλούρων. κονία συκίνη σταλτή. οὖρον παλαιόν. κυάμου Ἑλληνικοῦ * τοῦ λεπτοῦ τὸ ἀφέψημα σὺν αἰγείῳ στέατι. λυσιμαχίου χυλὸς, λωτοῦ ἢ φηγοῦ πρισμάτων ἀφέψημα σὺν αἰγείῳ στέατι. μελισσοφύλλου χυλὸς, μίλτος Σινωπικὴ σὺν ἀποζέματι στύφοντι ἢ ὀξάλμῃ.

al. νομᾶς.

aut pyris syluestribus, aut malicorio aut cotoneorum floribus: itémque cotoneorum flores cum cerato: Punici mali cortices in vino cocti, tritique cum cerato: rhus coriariorum cum cerato, phœnicobalani, aut caryotides cũ malo cotoneo & cerato: œnanthe, aut alumen cum aloë & acacia, palmulis & semperuiui semine: stercus columbinum aridum cum ficubus coctis in vino: nigella cum cumino, lupinis amaris, nitro ac melle: nasturtium denique cum malicorio cocto, cera & amurca.

Cœliacis per sedem vtiliter infunduntur, vitis foliorum succus, aut portulacæ, aut acaciæ, aut hypocisthidis, aut plantaginis: balaustium, rubrica Sinopica cum aliquo astringente decocto, loti aut fagi ramentorum decoctum, expressus rhoë coriaria succus, ac eiusdem foliorum decoctum, lens cum rosis decocta: ptissana cum decocto rubi aut myrti vel pilularum cupressi. Ipsa etiam horum decocta per se citra ptissanam commodè infunduntur.

Cœliacis accommodata enemata.

Dysentericis eadem conueniunt enemata, quæ cœliacis: priuatim verò iis qui vehementiore dolore conflictantur, ista: butyrum recens per se: maluæ aut fœnigræci, chondri, ptissanæ, oryzæ vel tragi decoctorum tudiculáque agitatorum cremor. Iis verò qui citra dolorem fluxione infestantur, hæc infusa conueniunt: muria cum vino, cornu ceruinum vstum cum vino & rosaceo, arsenicum duplum crematum cum charta & vino, plumbi scoria aut plumbago cum myrtino oleo, bitumen cum ptissana liquatum, stœbes decoctum in vino: garum tum aliorum piscium, tum etiam silurorum iis infusum, quibus sunt depascentia vlcera: lixiuium è ficu stillatitium, vrina antiqua, fabæ Græcæ * minoris decoctum cum seuo caprino, lysimachiæ succus, loti aut fagi ramentorum decoctum cum adipe caprino, apiastri succus, rubrica Sinopica cũ decocto astringente aut acida muria.

Ad dysentericos enemata.

[illegible]

Morsus intestinorum ab enematis acrioribus relictos lenientia.

Morsus intestinorum à vehementioribus acrioribúsve infusis excitatos leniunt ac mitigant, lac infusum, aut butyrum, aut chondri decoctum, aut seuum taurinum cum ptissanæ cremore curatum. Similiter & curatus gallinaceus adeps anserinus aut ceruinus: medulla itidem ceruina aut vitulina seu per se tepida infusa, seu etiam cum cremore ptissanę.

Cœliacis ac dysentericis conuenientes insessus.

Tum cœliacis tum etiam dysentericis insessus parantur huiusmodi: è siluris aliisve piscibus garum aceto temperatum, rhois coriariæ decoctū, malicorij decoctū, itémq; vinaceorū & quorumuis astringentium. His porrò decoctis insidendum relaxato ano diductisque natibus, ac diutiùs immorandum.

Ad tenesmum.

Porrò vt ne frequentes egerendi conatus solicitent, nodulus aliquis feruenti oleo, aquæ aut aceto immersus sedi adhibendus.

Vesicæ felleæ, hepatis ac splenis affectuum remedia.

Ad ictericū seu morbum regium.

Ictericis potui dáda quæ sequuntur: adianti decoctum in vino, anchusæ radicis drach. j. cum vino, atriplex, hyperici coma cum melle & vino, marrubium cum vino, peplium, spondylij radix & semen cum vino, rubiæ radicis drach. j. cum vino, aloës drach. j. ex aqua, anthemidis radix & flores cum vino, fimus caprarum, maximéque syluestrium cum vino, per se vel cum aromatibus: verbenacæ supinæ, quam sacram herbam nominant, foliorum drach. j. cum thuris obolis tribus ex vini veteris conchis duabus ieiuno ventriculo bibita quaternis senisve diebus: fœniculum cum vino: asparagi radicis decoctum, ac ipsum quoque semen similiter potum: absinthij succus expressus cum Indica aut Celtica nardo, aut cum apio vel adianto: buphtalmi folia in vino à balneo pota coloris bonitatem aliquantisper conciliát: seminis napi drach. iiij. cum vino, pæoniæ radicis drach. j. cum vino, cornu ceruini vsti drach. j. cum melle: cicer nigrum aut etiam album esitatum,

A LIII. Ἀποθεραπεύει δὲ τὰς ἐκ τῶν ἀποτεταμένων κλυσμάτων δήξεις, γάλα ἐγχυματιζόμενον, ἢ βούτυρον, ἢ χόνδρου ἀφέψημα. ἢ ταύρειον στέαρ τεθεραπευμένον σὺν πτισάνης χυλῷ. ἢ ὀρνίθειον ὁμοίως, ἢ χήνειον, ἢ ἐλάφειον. ἢ μυελὸς ἐλάφειος, ἢ μόσχειος καθ' ἑαυτὸν χλιαρὸς, ἢ σὺν χυλῷ πτισάνης.

Gesn. legit ἀποτεταμένων ἐνεμάτων δήξεις, vel τὰς τῶν ἐγκειμένων ἐνεμάτων δήξεις.

B LIIII. Ἐγκαθίσματα δὲ ἐπὶ τῶν κοιλιακῶν καὶ δυσεντερικῶν ἐστι ταῦτα· σιλούρων ἢ ἰχθύων μετ' ὄξους κραθεὶς, ῥοὸς βυρσοδεψικῆς ἀφέψημα, ῥοιᾶς λεπῶν ἀφέψημα· στεμφύλων ὁμοίως, καὶ πάντα τὰ τῶν στυφόντων ἀφεψήματα. ἁρμόζει δὲ θερμοῦ ἐγκαθίζειν ἐπιλυομένους τὸν δακτύλιον, καὶ ἐγχρονίζοντας, καὶ διαστέλλοντας τὴν

Γάρος addendum videtur Gesn.

θερμῷ.

C πυγήν.

LV. Πρὸς δὲ τὸ μὴ συνεχῶς ἐρεθίζεσθαι, δεῖ πως κατὰ ὀλυνήματος, βάλλοντας εἰς ἔλαιον ζέον, ἢ ὕδωρ, ἢ ὄξος παρατιθέναι.

κατὰ δακτύλιον πόλημα τι legēdum censet Moib. hoc est, ano lanæ lapsum, &c. sed legi potest, δέον κατάδημα τι, id est, superaddi ligamentum aliquod, annotat Gesnerus.

Τῶν περὶ τὴν κύστιν χοληδόχον, D ἧπάρ τε καὶ τὸν σπλῆνα παθῶν βοηθήματα.

LVI. Ἰκτεριῶντας δὲ ποτίζειν, ἀδιάντου ἀποζέματι ἐν οἴνῳ, ἀγχούσης ῥίζης < α'. μετ' οἴνου, ἀνδραφάξης, ὑπερικοῦ κόμη σὺν μέλιτι καὶ οἴνῳ, πράσιον μετ' οἴνου, πέ-

Ἀδίαντον repetendū ex proximè præcedente capite, aut legendum, ποτίζειν.

ἀτράφαξις.

Gesnerus κόμη legendum suspicatur.

E πλιον, σπονδυλίου ῥίζα καὶ τὸ σπέρμα μετ' οἴνου, ἐρυθροδάνου ῥίζης < α'. μετ' οἴνου, ἀλόης < α'. σὺν ὕδατι, ἀνθεμίδος ῥίζα καὶ τὰ ἄνθη μετ' οἴνου· σπύραθοι αἰγῶν, καὶ μάλιστα ἀγρίων, μετ' οἴνου, καθ' ἑαυτὰ καὶ σὺν ἀρώμασιν. ἱερᾶς βοτάνης τῶν φύλλων < α'. μετὰ λιβανωτοῦ < ϛ'. σὺν οἴνου

μετὰ λιβανωτοῦ βολῶν γ', id est, drachma semis, lib. 4. de mat. faciunt autem tres oboli drachmam semis: quare pono hic, μετὰ λιβανωτοῦ < ϛ'.

F παλαιοῦ κοτύλαις β'. νήστει ἐπὶ δ'. ἢ ϛ'. ἡμέρας. μάραθρον μετ' οἴνου. ἀσπαράγου ῥίζης ἀφέψημα, καὶ τὸ σπέρμα πινόμενον ὁμοίως. ἀψίνθιον ὠμοτριβὲς σὺν Ἰνδικῇ νάρδῳ ἢ Κελτικῇ, σέλινον, ἢ ἀδιάντου. βουφθάλμου τὰ φύλλα σὺν οἴνῳ μετὰ βαλανεῖον χροιὰν πρὸς καιρὸν

Ἐφ' ἡμέρας μ'.

Legi potest ἢ σέλινον ἢ ἀδίαντον ex Plinio.

Gesn. εὔχροιαν.

G ποιεῖ. βουνιάδος σπέρματος < δ'. σὺν οἴνῳ, γλυκυσίδης < α'. σὺν οἴνῳ, κέρατος ἐλαφείου κεκαυμένου < α'. σὺν μέλιτι. ἐρέβινθοι μέλανες ἐσθιόμενοι, καὶ

λευκοὶ δὲ, καὶ τὸ ἀπόζεμα πινόμενον. ἐρύσιμον σὺν μελικράτῳ. θείου ἀπύρου κοχλιάριον ἐπιπασσόμενον ὕδατι, ἢ ῥοφούμενον. ἱππομαράθρου ῥίζα, ἢ καρπὸς πινόμενος. καλαμίνθης ἀπόζεμα, κέστρου < ά. μετ᾽ οἴνου, κονύζης φύλλων < ά. μετ᾽ οἴνου, κυκλαμίνου < γ΄. μεθ᾽ ὕδατος· κατακλίνειν δὲ ἐν θερμῷ οἴκῳ, καὶ πλείοσιν ἱματίοις σκεπάζειν· χολώδη γὰρ ἱδρῶτα ἐκκρίνει. λιβανωτίδος ἀπόζεμα μετὰ περίπατον σὺν ἐρεβίνθοις· καὶ ἡ ῥίζα σὺν οἴνῳ. λειχὴν ὁ ἐπὶ τῶν πετρῶν, *διαχριόμενος τοῦ στόματος καὶ τῆς γλώττης. ὀξυμυρσίνης ῥίζης ἀπόζεμα σὺν οἴνῳ, μυρίκης ἀπόζεμα σὺν οἴνῳ, ὄνοι οἱ ὑπὸ τῶν ὑδρίαις σὺν οἴνῳ, ὀξαλίδος ῥίζαι ἑψηθεῖσαι σὺν οἴνῳ, ὀπόφυλλον σὺν ταρίχει καὶ οἰνομέλιτι ἐσθιόμενον, σεύτλου ῥίζαι ἑφθαὶ ἢ ὀπταὶ ἐσθιόμεναι. πεντάφυλλου τῶν φύλλων χυλὸς πινόμενος ταχέως ὑγιάζει. πόλιον ἐν οἴνῳ λευκῷ, σκίλλης ἑφθῆς < ά. σὺν ὀξυμέλιτι ἐκλειχομένης, καὶ πινομένης μετὰ μελικράτου. στρουθίου ῥίζα σὺν μέλιτι ἐκλειχομένη, καὶ πινομένη μετὰ μελικράτου. στρύχνου τοῦ χαμαιζήλου, λεγομένου ἁλικακάβου, χυλὸς πινόμενος μετὰ οἴνου. ὑακίνθου καρπὸς σὺν ἀβροτόνῳ πινόμενος, χαμαιπίτυος ἀφέψημα σὺν ὕδατι, χαμαικίσσου < ά. μετὰ οἴνου ἐπὶ ἡμέρας ς΄. ἢ ζ΄. αἷμα σκύλακος κυνὸς σὺν ὀξυκράτῳ πινόμενον· τοῦτο δὲ καὶ ὑδρωπικοὺς ὠφελεῖ, βρύον δὲ ἐπὶ τῶν κέδρων ἢ λευκῶν καρύου βασιλικοῦ μέγεθος μετ᾽ οἰνομέλιτος, πινόμενον πλῆθος κυάθ. ς΄. ἐπὶ ἡμέρας γ΄. Ἄλλο, καὶ τοῦτο καλῶς ποιοῦν· ἀφρονίτρου < β΄. βρέξας οἴνῳ Ἀμιναίῳ κυ. β΄. καὶ πρὸ ἡμέρας ἐξαιθριάσας δίδου νήστει, ἐπὶ ἡμέρας β΄. ἢ γ΄. Θεραπεύει δὲ καὶ ἄρκτου χολῆς κυάμου Ἑλληνικοῦ τὸ μέγεθος καταπινόμενον. μελίας καρποῦ < ά. σὺν οἴνῳ. συλλέγεται δὲ φθινοπώρου καὶ ἀποτίθεται. δαφνίδων ἢ σμύρνης < ά. σὺν οἴνῳ. κρόκου < ά. μετὰ μέλιτος ἐκλειχομένη. ἑλξίνης ἀπόζεμα ἢ χυλὸς σὺν οἴνῳ. χελιδονίου χυλὸς ἢ ἀφέψημα σὺν οἴνῳ. λιβανωτίδος, τῆς ῥωσμαρίνου ῥωμαϊστὶ καλουμένης, ἀφέψημα μεθ᾽ ὕδατος.

Addo, μετ᾽ ᾠοῦ, è libro 5. de mat.

Cum vino passo aut mulsa dilutiore. Diosc. lib. 3. de mat. med. cap. 194.

Diosc. 2. de mat. med. trium obolorum pondere.

Diosc. 4. de mat. med. cap. 126. ὅσον τριώβολον, triobuli pŏdere.

LVII. Εἰς δὲ τοὺς ῥώθωνας ἐγχεόμενα,

A ac eorundem etiam decoctum potum, erysimon cum aqua mulsa, sulphuris viui cochlearium aquæ inspersum aut ex ouo sorptum, hippomarathri semen aut radix in potu, calaminthæ decoctum, betonicæ drach. j. cum vino, conyzæ folia drach. j. pondere cum vino: cyclamini drach. vj. ex aqua (ægrum autem
B oportet loco calido decumbere, pluribúsque stragulis cōtegi: sic enim sudor colore felleus elicietur:) libanotidis decoctum cum cicere post deambulationem, eiusdem radix cum vino. Iuuat & lichen petris innascens, ori ac linguę illitus: rusci radicis decoctum cum vino, myricæ decoctum cum vino,
C aselli qui sub vasis aquariis repe-riuntur cum vino, oxalidis radices in vino decoctę, silphij semen cum salsamento & vino mulso comestum, betæ radices elixæ vel assæ in cibis sumptæ: quinquefolij è foliis succus bibitus confestim sanat: polium cum vino albo, scillæ coctæ drachma vna cum aceto mulso de-
D lincta, aut pota cum aqua mulsa, struthij radix cum melle delincta vel pota cum aqua mulsa, solani humilis, quod halicacabum dicitur, succus cum vino potus: hyacinthi semen cum abrotono potum, chamæpityos decoctum in aqua, chamæcissi drach. j. cum vino ad dies sex septémve, sanguis catelli
E cum oxycrato potus, (is etiam hydropicos adiuuat:) muscus qui cedris albisve populis innascitur, magnitudine iuglandis è vini mulsi cyathis sex triduo potus. Aliud quod eximiè proficit: Spumæ nitri drach. ij. in vini Aminæi cyathis duobus sub dio maceratas ieiuno
F ante lucem propinato ad biduum triduúmve. Facit & præclarè vrsinum fel, fabæ Græcæ magnitudine deglutitum. Itidem fraxini seminis drach. j. cum vino: (colligitur id autumno atque reponitur,) baccarum lauri aut myrrhæ drach. j. cum vino, croci drach. j. cum melle delincta, helxines decoctum vel suc-
G cus cum vino, chelidonij succus vel decoctum cum vino: libanotidis, quam rosmarinum Latini vocant, decoctum ex aqua.

Naribus infusa ictericos purgant

hæc: cyclamini ſuccus retentus in ſole donec bilem educat, elaterium cum lacte infuſum, inſidente ægro balneo ſolióve: marrubij ſuccus cum melicrato naribus infuſus, nigella tuſa & aceto irrigata expreſſus ſuccus, infuſus naribus. Cæterùm ictericorum balneis aut acidam muriam, aut origani radicíſve oſiridis decoctum admiſceri oportet: ipſi verò amygdalino inungendi: oleribus auté interim abſtineát.

Ad diuturnũ hepatis morbum.

Diuturna hepatis imbecillitate laborantibus auxiliantur pota hęc: agarici oboli bini ſingulis diebus, adianti decoctũ, acori decoctum, itidémque chamæpityos: ſpondylij radix in vino pota, epipactidis, quæ elleborine dicitur, decoctum: amomum, caſia, amygdalæ amaræ cum ſaluia ex melicrato, anagallidis ſuccus, chamęmeli radix & flores in potu, aſarum cum aqua, gentianæ radix drach. j. pondere ex aqua, ariſtolochię radix eodem modo: ſucci glicyrrhizę drachma cum aqua, aut radicis decoctum: lauri radicum cortex drachm. j. pondere cum melicrato, elate trita & vnà cum palmulis decocta, ſerpylli decoctum, eryngij drachma cum paſtinacæ ſemine, iſopyri ſemen cum melicrato, betonicæ folia cum aqua mulſa, fœniculi ſemen, ſpicæ nardi decoctum, aut vnguentum nardinum cochlearij mẽſura ſumptum, opopanax cum melicrato, leucanthemi aut pinus foliorum drach. j. ex aqua, rha ſimiliter, apij decoctum & ſemen, ſcandicis decoctum, quinquefolij è radice ſuccus, teucrium eiúſque ſuccus cum melicrato, chryſocomes decoctum in aqua mulſa, ſenecionis decoctum & ſemen, ſimilitérque polij: picis aridæ tritæ drach. j. inſperſa potui, meliloti ſeminis contriti drach. j. ex melicrato, coſtus ſimili modo, triphyllidis quæ oxalis dicitur decoctum eodem modo potum, viticis ſemen, centaurij minoris ſuccus tum potus tum etiam foris impoſitus, plantaginis ſiccæ radices & folia, aſparagi myacanthini radices & folia, ſtrobili, cicer,

A ἐπὶ ἴκτερικῶν καθαίρει. κυκλαμίνου χυλῶν κατεχομένων ἐν ἡλίῳ, ὥστε χολὴν ἄγειν. ἐλατήριον μετὰ γάλακτος ἐν βαλανείῳ ὄντος, ἢ ἐν τῇ ἐμβατῇ τοῦ πάσχοντος, ἐγχεόμενον. πρασίου χυλὸς ἐν μελικράτῳ ἐγχεόμενος ταῖς ῥισί· μελάνθιον κεκομμένον καὶ ὄξει βεβρεγμένον, ἐκπιεσθέντος τοῦ χυλοῦ, καὶ

χυλὸς κατεχόμενος.

B εἰς τὰς ῥῖνας ἐγχεομένου. Λουέσθωσαν δὲ, ὀξάλμης, ἢ ὀριγάνου, ἢ ὀσύριδος ῥίζης ἀποζέματος τῷ λουτρῷ μισγέντος. ἀλειφέσθωσαν δὲ ἀμυγδαλίνῳ, καὶ λαχάνων ἀπεχέσθωσαν.

LVIII. Ηπατικοὺς δὲ χρονίους ὠφελεῖ πινόμενα μεθ' ὑδρομέλιτος. ἀγαρικοῦ ὀβο-
C λοὶ δύο καθ' ἡμέραν, ἀδιάντου ἀφέψημα, ἀκόρου ἀπόζεμα, χαμαιπίτυος ὁμοίως, σπονδυλίου ῥίζα σὺν οἴνῳ πινομένη. ἐπιπακτίδος τῆς ἐλλεβορίνης καλουμένης ἀπόζεμα, ἄμωμον, κασία, ἀμύγδαλα πικρὰ σὺν ἐλελισφάκῳ καὶ μελικράτῳ. ἀναγαλλίδος χυλὸς, καὶ ἀνθέμιδος ῥίζα καὶ ἄνθη πινόμενα, ἄσαρον σὺν ὕδατι, γεντιανῆς ῥίζης < ά. σὺν
D ὕδατι, ἀριστολοχίας ῥίζης ὁμοίως. γλυκυῤῥίζης χυλοῦ < ά. σὺν ὕδατι, ἢ τῆς ῥίζης ἀφέψημα. δάφνης ῥίζης τοῦ φλοιοῦ < ά. μετὰ μελικράτου, ἐλάτη λεία σὺν φοίνιξιν ἀποζεσθεῖσα, ἑρπύλλου ἀπόζεμα. ἠρυγγίου < ά. μετὰ σταφυλίνου σπέρματος, ἰσοπύ-
E ρου σπέρμα σὺν μελικράτῳ, κέστρου φύλλα μετὰ ὑδρομέλιτος, μαράθρου σπέρμα. νάρδου στάχυος ἀπόζεμα, ἢ μύρου ναρδίνου κοχλιαρίου πλῆθος λαμβανόμενον. ὀποπάναξ σὺν μελικράτῳ, λευκανθέμου φύλλων, ἢ πίτυος φύλλων < ά. μεθ' ὕδατος. ῥᾶ ὁμοίως. σελίνου ἀπόζεμα καὶ ὁ καρπὸς, σκάν-
F δικος ἀφέψημα, πενταφύλλου ῥίζης χυλὸς. τεύκριον, καὶ ὁ χυλὸς αὐτοῦ ἐν μελικράτῳ. χρυσοκόμης ἀπόζεμα ἐν ὑδρομέλιτι. ἠριγέροντος ἀπόζεμα καὶ ὁ καρπὸς, πολίου ὁμοίως, πίσσης ξηρᾶς λείας < ά. καταπασθεῖσα ἐν ποτῷ. μελιλώτου καρποῦ λείου < ά. διὰ μελικράτου. κόστος ὁμοίως. τρι-
G φυλλίδος ἀφέψημα ὁμοίως πινόμενον, τῆς ὀξαλίδος καλουμένης. ἄγνου σπέρμα. κενταυρίου χυλὸς τοῦ μικροῦ πινόμενος καὶ ἔξωθεν ἐπιτιθείς. ἀρνογλώσσου ξηραὶ ῥίζαι, καὶ τὰ φύλλα. ἀσπαράγου μυακάνθου αἱ ῥίζαι, καὶ τὰ φύλλα. στρόβιλοι, ἐρέβινθοι, ἐρυ-

A θεοδαίνου, ἢ εὐπατωρίου ῥίζα. θέρμων πικρῶν ἀφέψημα μετὰ πηγάνου καὶ πεπέρεως πινόμενον, καὶ ἔξωθεν ἐπιτιθέμενον. ἶρις, πιστακίου καρπός.

LIX. Καταπλασσόμενα δὲ ὠφελεῖ ἡπατικοὺς· χαμαίπιτυς μετὰ κωδύων ἑφθῶν ξηρῶν κεκομμένων. κρίθινον ἄλευρον μετὰ σύκων. ἀλθαίας ῥίζα ἐν οἴνῳ ἑψηθεῖσα. B φοινικοβάλανος ἑφθὴ λεία σὺν κηρωτῇ. ἀψίνθιον σὺν κυπρίνῃ κηρωτῇ καὶ Κελτικῇ νάρδῳ. ἀμμωνιακὸν ἀναληφθὲν ὄξει καὶ κηρωτῇ στυφούσῃ. Ἐπὶ δὲ τῶν προσφάτων, τῆλις σὺν λινοσπέρμῳ καὶ γύρει, καὶ μελικράτῳ. μηλοκυδώνια μετὰ ἀλεύρου κριθίνου καὶ τήλεως ἑψηθέντα. C

Marginal notes: κωδίων, vt placet Moibano. — ἑψηθέντα.

LX. Σπληνικοὺς δὲ ὠφελεῖ πινόμενον ἀγαρικοῦ ὀβ. β΄. μετ' ὀξυμέλιτος. ἄγνου σπέρμα < ά. ἀγχούσης ῥίζης < ά. ἐν οἴνῳ. ἀδιάντου ἀφέψημα ἐν ὀξυμέλιτι. ἀκόρου ῥίζα μετ' οἴνου ἑφθὴ καὶ ὠμὴ πινομένη.

Marginal note: Forte, πινόμενα

LXI. Τήκουσι δὲ συντόμως σπλῆνα, D ἀσπλήνιος ἣν καὶ ἡμιόνιον καλοῦσιν, ἡ πόα μετ' ὄξους [ἀποζεσθὲν, ἐπὶ ἡμέρας μ΄. τήκει.] λογχῖτις ὁμοίως, μετ' οἴνου. περικλυμένου καρποῦ < ά. μετ' οἴνου ἐπὶ ἡμέρας δ΄. ποτιζομένη τήκει. χαμαικισσὸς μετ' οἴνου. πευκέδανον μετ' ὀξυμέλιτος τήκει. Ναξίας τῆς πρὸς αὐτὴν ἀκονηθέντος σιδήρου τὸ ἀπότριμμα μετ' ὄξους. E ἀλκυονίου Μιλησίου ὀβ. ς΄. μετὰ ὕδατος. βρυωνίας ῥίζα < ά. μετ' ὄξους ἐπὶ ἡμέρας λ΄. τήκει σπλῆνας. ἀμμωνιακοῦ θυμιατοῦ < ά. μετ' ὀξυκράτου· αἷμα δὲ ἄγει δι' οὔρων. ἀριστολοχίας < ά. μετ' ὀξυκράτου. βαλάνου μυρεψικοῦ < ά. μετ' ὀξυκράτου· ἔστι δὲ κακοστόμαχος, καὶ ἐμετική. F ξυλοβαλσάμου ἀπόζεμα μετ' οἴνου. βουνίου τὰ φύλλα, καὶ ἡ ῥίζα χυλισθεῖσα σὺν ὀξυμέλιτι. ἐρυθροδάνου καρπὸς καὶ ἡ ῥίζα σὺν οἴνῳ· ἴρεως < ά. σὺν ὀξυκράτῳ. σὰρξ ἐχίνου χερσαίου ἐσκελετευμένη, μετ' οἴνου, σμυρνίου σπέρμα μετ' οἴνου, θέρμων ἀπόζεμα καθ' ἑαυτό. καππάρεως ὁ ἐκ τῶν ἀπίων καρπὸς ἐπὶ ἡμέρας λ΄. μετ' οἴνου, ἢ τῆς ῥίζης ὁμοίως. ἄγει δὲ ὁμοίως αἷμα διὰ κοιλίας καὶ οὔρων. κέστρου < ά. μετ' ὄξους. G

Marginal notes: [οἱ δὲ σκολοπένδριον.] — Moib. legit obolum vnum cum dimidio. — Diosc. lib. 4. de mat. med. περὶ [illegible] tribus obolis. — θυμιάματος. — Diosc. 2. de mat. med. cap. 204. μ΄. κ. καὶ ἡ ῥίζα.. Idem 4. de mat. med. c. 1. μετ' ὀξυμέλιτος, cum aceto mulso.

A rubiæ aut eupatorij radix: lupinorum amarorum decoctum cum ruta & pipere potum, itémque foris impositum: iris, pistacia.

Hepaticos imposita iuuant: chamæpitys cum papauerum capitibus coctis quæ sicca contusa fuerint, hordeacea farina cum ficubus, B althææ radix in vino decocta, phœnicobalanus cocta trita cum cerato, absinthium cum cerato cyprino & nardo Celtica, ammoniacum exceptum aceto & cerato astringente. In recentiore autem affectu, fœnumgræcum cum lini semine, farinæ polline ac melicrato, mala cotonea cum farina hordei C & fœnigræci cocta.

Spleneticos adiuuant hæc pota: agarici oboli duo cum aceto mulso, viticis semen drach. j. pondere, anchusæ radicis drach. j. cum vino, adianti decoctum in oxymelite, acori radix cum vino cocta crudáque bibita.

D Lienem breui absumunt, asplenon herba, quam & hemionium seu scolopendrium vocant, in aceto decocta & per dies xl. pota, similiter & lonchitis in vino, seminis periclymeni drachm. j. ad dies quatuor cum vino pota, chamæcissos cum vino, peucedanum cum oxymelite: id quod è cote Naxia ferro acuendo deteritur, cum aceto: E alcyonij Milesij obolus dimidius ex aqua, bryoniæ radix drach. j. pondere diebus xxx. pota: ammoniaci thymiamatis drach. j. cum posca: (sanguinem verò per vrinas educit.) aristolochiæ drach. j. cum posca, glandis vnguentarię drach. j. cum posca: (est autem infesta stomacho & vomitus ciet:) F xylobalsami decoctum è vino; bunij folia & expressus è radice succus cum oxymelite, rubiæ semen & radix cum vino, iridis drach. j. cum posca, erinacei terrestris caro assiccata cum vino, smyrnij semen cum vino, lupinorum decoctum per se: capparis semen ad dies xxx. ex vino potum: similiter & radix, quæ G & ipsa æquè ac semen sanguinem per aluum & vrinas educit: betonicæ drach. j. cum aceto mulso,

galla immatura cum posca, origani decoctum, corallij drach. j. cum aqua, brassica cruda cum aceto esitata, crocodilij radix epota: (hæc verò sanguinē per nares pellit.) cyclamini alterius, quę cissanthemos cognominatur, fructus maturus tritus & in pastillos digestus drach. j. pōdere lienem leuiter ad dies xl. liquat, ac per vrinas & aluum absumit. Squamæ ferri drach. j. cum aceto, lonchitidis in aceto ferue-factæ decoctum, rubricæ Lemniæ drach. j. cum posca: myricæ decoctum aut semen cum vino potum: quin & vas potorium è myricæ ligno vtile fuerit, sicuti & panarium quod è myricæ virgis contextum sit. Proficit & nardus Celtica cum absinthio, nymphææ semen aut radix cū aceto, intubi seminis drach. j. cum aceto, polium cum aceto, sagapeni drach. j. cum posca, struthij drach. j. cum oxymelite, polemonij radix è vino, purpuræ operculum cum apij semine potum, aqua fabrorum in quam ferrum candens immergitur, scillæ tostæ drach. j. cum oxymelite: eandem subacta farina obuolutam assato, purgatam terito, fingitóque ex ea catapotia diebus nouem exhibenda cum melicrato. Valet & teucrij in oxycrato decoctum: rhoïs drach. iiij. chamædryos decoctum cum melicrato: fiūt & è foliis eius catapotia, quæ in splenis affectibus exhibentur, tragorigani decoctum cum sale & aceto: similiter & serpylli.

Splenicorum externa remedia. Splenicis admouenda vtiliter hæc vsurpantur: hyssopus cum ficubus, cinis sarmentorum aut etiam vinaceorum cum aceto, rosaceo vnguento & ruta, chamæcissi & vrticæ folia cum cerato, bryonię radix cum ficubus & aceto, ammoniacum cum aceto & cerato aromatibus inspissato, asplenon herba cum eruo imposita, agallochum cum vino vel aqua, absinthium in aceto coctum cum farina loliacea & ficubus, pulegium cum salis pari portione, origanum eodem modo, lupinorum farina cum pice & aceto cocta, viscum calens calce viua vel lapide Asio exceptum, isatidis

A κηκὶς ὀμφακίτη σὺν ὀξυκράτῳ. ὀριγάνου ἀπόζεμα. κοραλλίου < ά. σὺν ὕδατι. κράμβη ὠμὴ μετ' ὄξους ἐσθιομένη, κροκοδειλίου ῥίζα πινομένη. αἷμα δὲ ἄγει διὰ ῥινῶν. κυκλαμίνου τῆς κισσανθέμου καρποῦ λεανθέντος πεπείρου, καὶ εἰς τροχίσκους ἀναληφθέντος ξηροῦ < ά. μετ' οἴνου ἐπὶ ἡμέρας μ'. τήκει κούφως, ἐξαιρουμένου καὶ κατὰ κοιλίαν ἐκ-
B διδομένου. λεπίδος σιδήρου < ά. μετ' ὄξους. λογχίτιδος σὺν ὄξει ἀποζεσθείσης τὸ ἀπόζεμα. μίλτου Λημνίας < ά. σὺν ὀξυκράτῳ. μυρίκης ἀπόζεμα ἢ τὸ σπέρμα σὺν οἴνῳ ποθέν. καὶ ποτήριον ἀπὸ τοῦ μυρικίνου ξύλου ὠφελίμως χρήσαιτο ἄν τις ἐν αὐτῷ πί-
C νων καὶ κανῷ τῷ ἐκ ῥάβδων μυρικίνων πεπλεγμένῳ εἰς τὴν τῶν ἄρτων ἐπίθεσιν. ποιεῖ δὲ νάρδος Κελτικὴ σὺν ἀψινθίῳ. νυμφαίας σπέρμα ἢ ῥίζα σὺν ὄξει, τύφης σέρεως καρποῦ < ά. σὺν ὄξει. πόλιον σὺν ὄξει. σαγαπηνοῦ < ά. σὺν ὀξυκράτῳ, στρουθίου < ά. σὺν ὀξυμέλιτι. πολεμωνίου ῥίζα σὺν οἴνῳ. πορφύρας πῶμα. ἢ ῥίζα σὺν σελίνου σπέρματι πινόμε-
D νον, καὶ ἡ πόα ἑψηθεῖσα οἴνῳ σὺν ὀξυκράτῳ. ὕδωρ τὸ ἀπὸ τῶν χαλκείων, ὅπου τὸν πεπυρωμένον σίδηρον ἀποβάπτουσι. σκίλλης ὀπτῆς < ά. σὺν ὀξυμέλιτι. σκίλλαν περιπλάσας ἄλφιτον, ὄπτησον, καθάρας δ' ἔπειτα τρῖψον καὶ ἄρας ἐξ αὐτῆς καταπότια δίδου ἐννέα ἡμέρα σὺν μελικράτῳ.
E τευκρίου ἐν ὀξυκράτῳ τὸ ἀπόζεμα. ῥοῦ < δ'. χαμαίδρυος ἀφέψημα σὺν μελικράτῳ. γίνεται δὲ ἐκ τῶν φύλλων αὐτῆς καταπότια καὶ δίδοται. τραγοριγάνου ἀπόζεμα μετὰ ἅλατος καὶ ὄξους. ἑρπύλλου ὁμοίως.

LXII. Καταπλασσόμενα δὲ παραλαμβάνεται ὠφελίμως ἐπὶ τῶν σπληνικῶν. ὕσσωπον μετὰ σύκων. τέφρα κληματίνη, ἢ
F καὶ τρυγὸς τέφρα, σὺν ὄξει ῥοδίνῳ καὶ πηγάνῳ. χαμαικίσσου φύλλα καὶ κνίδης φύλλα μετὰ κηρωτῆς. βρυωνίας ῥίζα μετὰ σύκου καὶ ὄξους. ἀμμωνιακὸν σὺν ὄξει καὶ κηρωτῇ συνεψηθέν. ἀσπλήνου πόα μετὰ ὀρόβου καταπλασσομένη. ἀγάλλοχον σὺν οἴνῳ, ἢ ὕ-
G δατι. ἀψίνθιον ἑψηθὲν ἐν ὄξει σὺν ἀλεύρῳ αἰρίνῳ καὶ σύκοις. γλήχων σὺν ἁλσὶν ἴσοις. ὀρίγανον ὁμοίως. θέρμινον ἄλευρον, σὺν πίσσῃ καὶ ὄξει ἑψηθέν. ἰξὸς θερμὸς ἀσβέστῳ ἀναληφθεὶς, ἢ λίθῳ Ἀσίῳ. ἰσάτεως

Gesn. δι' ἀγγείων legendum suspicatur.

E lib. 2. de mat. legerim τήκει ὠφελίμως σπλῆνα δι' οὔρων καὶ κατὰ κοιλίαν δαπανώμενον, quanquā & τήκει κούφως, id est, consumit leuiter, legi potest. Gesn.

Diosc. 4. de mat. med. cap. 8 μετ' ὄξους, cum aceto. Videtur hic aliquid deesse.

Lib. 2. de mat. addit, σὺν ὄξει.

Fortè, ἐν ὀλίγαις ἡμέραις. Gesn.

συκαμίνων lib. 5. de mat.

οἴνου.

ἐρύου forte: sed lib. 3. de mat. cap. 151. legitur σὺν οἴνῳ, cum vino.

Lib. 3. de mat. med. nitrum additur, acetum omittitur.

ἀγρίου φύλλα, καππάρεως ῥίζα. πράσιον σὺν κηρωτῇ, ἢ ὠμῇ λύσει. κάρδαμον σὺν *σύκοις. κισσοῦ φύλλα ἁπαλὰ καὶ οἱ κόρυμβοι λεῖοι. λαπάθου ἀγρίου ῥίζα σὺν ὄξει. λινόσπερμον, ἢ τῆλις, φυραθέντα ἐν ὄξει, μιγείσης καππάρεως ῥίζης, ἢ μυροβαλάνου, ἢ νίτρου. κυδώνια μῆλα σὺν κηρωτῇ. μυρίκης φύλλα λεῖα σὺν ῥοδίνῳ, ἢ κηρωτῇ. πόλιον σὺν ὄξει. στυπτηρία σὺν μέλιτι. κυκλάμινος μετ' ὄξους ἑφθὴ καταχριομένη. κροκόμαγμα μετ' ὄξους ἑφθὸν καταχριόμενον. σποδὸς ἡ ἀπὸ χαλκείου ἀναβληθεῖσα, σὺν ὄξει ἢ ῥοδίνῳ, ἄχρις ἂν γλοιωθῇ. τῆλις τε νάπυ καὶ εὔζωμον καὶ κάρδαμον, καὶ σμύρνα, καὶ ἄσβεστος, ἴσα μετ' ἰξοῦ. δεῖ δὲ θερμαίνειν τὸν ἰξὸν, καὶ οὕτως λοιπὰ μιγνύναι. καὶ ἄνισον, νίτρου ἀφρὸς καὶ ἄσβεστος, ἴσα μέλιτι ἀναληφθέντα. ἢ τῆλις, καὶ νάπυ, καὶ εὔζωμον, καὶ *καρδάμωμον, καὶ ἄσβεστος, ἴσα σὺν μέλιτι ἀναληφθέντα, ἢ ὄξει, ἢ κονίᾳ. ἄσβεστος καὶ σμύρνα ἴσα μετ' ἐλαίου. θέρμαινε δὲ τὸ ἔλαιον, καὶ οὕτως τὰ λοιπὰ μίσγε.

LXIII. Πρὸς ὑδρωπικοὺς δὲ ὠφελεῖ ποτά· ἀγαρικοῦ τριώβολον μετ' οἴνου. ἄγνου σπέρματος *ἑξὰς α. ἄγνου ἀφέψημα. ἀκτῆς ῥίζης ἀφέψημα, ἢ τοῦ καρποῦ λείου < α. σὺν οἴνου κυ. β'. ἀλκυόνιον Μιλήσιον μεθ' ὕδατος. ἀμπέλου ἀγρίας (τῆς καλουμένης Ῥωμαϊστὶ οὐϊτίκλης) τῆς ῥίζης τοῦ ἀφεψήματος *κυ. γ'. μετ' οἴνου τεθαλασσωμένου κυ. γ'. ἀναγαλλίδος χυλοῦ κυ. α'. καθ' ἑαυτήν. ἀνδροσάκης ἀφέψημα τῆς πόας, ἢ αὐτὴν κόπτοντα διδόναι μετ' οἴνου, ἢ ὄξους, ἢ ὕδατος. οὖρα δὲ ἄγει πολλά. καὶ ὁ καρπὸς δὲ ποιεῖ ὁμοίως. ἀρνόγλωσσον μετὰ τὸ ξηροφαγῆσαι, ὀλίγον ἐπεσθιόμενον καθ' ἡμέραν. μετὰ δὲ τοῦτο ἡ λοιπὴ τροφὴ προσαγέσθω. χαμαιάκτης ῥίζης τοῦ φλοιοῦ < α'. πέπλιον μετ' οἴνου πινόμενον ποιεῖ, καὶ μᾶλλον μετ' οἴνου*. σχοίνου < α'. μετ' ἴσου πεπέρεως. σῦκα ξηρὰ ἐσθιόμενα. σμυρνίου σπέρμα σὺν οἴνῳ. καὶ ὑπερικοῦ καρποῦ < α'. κέστρου φύλλων < α'. μετ' οἴνου. ἐρέβινθοι ἑφθοὶ

Lib. 2. de mat. med. c. 185. σὺν μέλιτι, cū melle.

κάρδαμον fortè, vt paulò antè.

ἑξάγιον.

κυ. γ'. hoc loco abundare videtur.

Videtur aliqua dictio deesse, vini scil. alicuius aquam detrahentis nomen.

A syluestris folia, capparis radix, marrubium cum cerato vel hordeacea farina hydrelæo subacta, nasturtium cum ficubus, hederæ folia tenella & ipsi quoque corymbi triti: lapathi agrestis radix cum aceto, lini semen aut fœnumgræcum cum aceto subactum addita radice capparis, aut myrobalano aut nitro, cotonea mala cum cerato, myricæ folia trita cum rosacco vnguento vel cerato, polium cum aceto, alumen cum melle, cyclaminus in aceto cocta & illita, crocomagnia cum aceto coctum & inunctum, cinis qui è fabrorum officinis reiicitur cum aceto aut rosacco ad viscidi lentoris compagem redactus. Fœnumgræcum, sinapi, eruca, nasturtium, myrrha & calx viua, æquis partibus immixta visco priùs calfacto: sic & anisum, nitri spuma & calx viua, æquis partibus excepta melle, Aliud: Fœnumgræcum, sinapi, eruca, nasturtium & calx viua, æquali singula pondere excipiantur melle vel aceto vel lixiuio. Aliud: Calx viua & myrrha æquali pondere cum oleo priùs calfacto misceantur.

(B at "tro, cotonea mala"; C at "redactus"; D at "xiuio")

Hydropicis hæc in potu auxiliantur: agarici tres oboli cum vino; viticis seminis sextula, eiusdem decoctum, sambuci radicis decoctum, aut seminis eiusdem triti drach. j. cum vini cyathis duobus, alcyonium Milesium cum aqua: decocti radicis vitis syluestris, quæ Latinè viticula dicitur, cyathi tres cum vini aqua marina diluti cyathis tribus: succi anagallidis cyathus vnus per se. Androsaces herbæ decoctum, aut eadem contusa exhibeatur è vino vel aceto vel aqua: ducit autem copiosas vrinas: sed & semen eadem præstat. Plantaginis nonnihil præsumptis siccioribus eduliis quotidie comedatur, insuperque deinde cibi reliqui assumantur. Iuuat & cortex radicis ebuli drach. j. pondere, necnon peplium cum vino potum, cóque magis cum vino iunci odorati drach. j. cum pari piperis quantitate, caricæ esitatæ, smyrnij semen cum vino, seminis hyperici drach. j. betonicę foliorum drach. j. cum vino, cicer coctum in cibis

(E at "bus, alcyonium"; F at "nas: sed"; G at "rati drach. j.")

[illegible]

sumptum, idem conditum spica piperis, cymino & oleo: cepæ cum suis foliis coctæ, aut etiam crudæ exhibitæ: ricini grana xx. aut xxx. catapotiorum instar deglutita, acetum scilliticum absorptum, origanum cum ficu esitatum, rutæ decoctum cum aceto potum: cucumeris syluestris radix cum vini resinati cyathis duobus: de hoc cyathos duos trésve sumi oportet interiectis tribus quatuórve diebus, vsquedum tumor plurimùm subsederit: leniter aquosa detrahit, nec stomachum offendit, ac vires etiam conseruat. Valent & cancri fluuiatiles siccati tritíque citra forcipes denticulatos ac pedes cum exiguo opij & aqua poti, corallium cum pari alumine & succo calaminthæ, sij decoctum cum vino, scillæ assatæ drach. j. cum oxymelite, intritum ex alliis in cibo sumptum, & allium quoque coctum acrioris vice condimenti, erinacei terrestris caro inueterata & cum vino potui data, laserpitij semen in vino potum, vrina capræ cum spica nardi duûm cyathorum mensura quotidie à ieiunis pota: sic copiosa fiet per vrinas euacuatio. Iuuat & apri vrina simili modo, itémque expressus è scilla succus admixta erui farina drach. j. pondere cum vino potui datus, polium cum vino feruefactum, sampsuchi decoctum, ruta cum ficu esitata. Per interualla autem exhibetur decoctum radicum apij vel asparagi, vel iunci odorati, vel spicæ nardi. Aut: cassiæ, amomi, cymini, glycyrrhizę, hyperici, smyrnij, calami aromatici, piperis, seselis, spondylij, omnium inquàm pari pondere mixtorum decoctum è vino propinato. Singula etiam illa per se similiter decocta proderunt.

Hydropis quæ anasarca vocant interna remedia. Iis verò qui hydrope hyposarca dicto laborant ista medentur: pastinacæ erraticæ semen cum vino, chamædryos decoctum: sabina sicca trita cũ vino hydropicos per vrinas exinanit: trifolij radicis drach. ij. in aqua aut vino: radicis chamæleonis albi drach. ij. cum passo, radicis etiam decoctum potum extenuat: chrysocomę fasciculus, ouum tritum cum vino, psyllij seminis

A ἐσθιόμενοι καὶ ἀρτυόμενοι δὲ *στάχυ πεπέρεως, *κύμινον, ἔλαιον. κρόμμυα θέρμα σὺν τοῖς φύλλοις. καὶ ὠμὰ δὲ διδόμενα. ἢ μέειον κε. κο. ὡς καταπότια. ὄξος σκίλλινον καταῤῥοφούμενον. ὀρίγανος μετὰ σύκου βιβρωσκόμενον. *πηγάνου ἀφέψημα σὺν ὄξει πινόμενον. σικύου ἀγρίου ῥίζα ἐν οἴνου

B ἐῤῥητινωμένου κυ. β΄. δεῖ δὲ λαμβάνειν ἐκ τούτου κυ. γ΄. ἢ δύο παρ᾽ ἡμέρας γ΄. ἢ δ΄. ἕως ἂν ἰσχνωθῇ ὁ ὄγκος *σταλῇ. μαλακῶς *ὑδαρὲς ὑποχωρεῖ, καὶ οὔτε στόμαχον λυμαίνεται, καὶ τὰς δυνάμεις τηρεῖ. καρκίνοι ποτάμιοι ξηροὶ λεῖοι χωρὶς τῶν χηλῶν καὶ ποδῶν, μετ᾽ ὀλίγου ὀπίου

C καὶ ὕδατος πινόμενοι. κοράλλιον μετὰ στυπτηρίας ἴσης καὶ χυλοῦ καλαμίνθης, *ἴου ἀφέψημα σὺν οἴνῳ. σκίλλης ὀπτῆς < α΄. σὺν ὀξυμέλιτι. μυττωτὸν ἐσθιόμενον καὶ σκόροδον ἑφθὸν ἀντὶ δριμυφαγίας. ἐχίνου χερσαίου σὰρξ σκελετευθεῖσα, καὶ διδομένη μετ᾽ οἴνου. ὀπόφυλλον πινόμενον μετ᾽ οἴνου. οὖ-

D ρον αἰγὸς μετὰ νάρδου στάχυος πινόμενον κυ. β΄. πλῆθος καθ᾽ ἡμέραν νήστεσιν· αἰωρείσθωσαν δέ, καὶ κενωθήσεται πλῆθος ἱκανόν. οὖρον συάγρου ὁμοίως. σκίλλα χυλισθεῖσα, μιγέντος ὀροβίνου ἀλεύρου. δίδου δὲ < α΄. σὺν οἴνῳ πίνειν. πόλιον σὺν οἴνῳ ζεσθέν. σαμψύχου ἀπόζεμα. πήγανον σὺν

E σύκῳ ἐσθιόμενον. ἐκ διαλείμματος δέ, ἀφέψημα ῥιζῶν σελίνων, ἢ *ἀσπαράγου, ἢ σχοίνου, ἢ νάρδου στάχυος, ἢ ἀσάρου, κασσίας *ὁμοῦ. καὶ κυμίνου, γλυκυῤῥίζης, ὑπερικοῦ, σμυρνίου, καλάμου ἀρωματικοῦ, πεπέρεως, σεσέλιδος, σπονδυλίου πάντα ἴσα μίξας, τὸ ἀφέψημα *ποτοῦ μετ᾽ οἴνου, καὶ καθ᾽ ἑαυτὰ

F δὲ ὁμοίως.

LXIII. Ἐπὶ δὲ τῶν *κατὰ σάρκα, σταφυλίνου ἀγρίου σπέρμα σὺν οἴνῳ. χαμαίδρυος ἀφέψημα. βράθυ ξηρὸν λεῖον σὺν οἴνῳ διουρεῖν ποιεῖ. τριφυλλίδος ῥίζης < β΄. ἐν ὕδατι, ἢ ἐν οἴνῳ. χαμαιλέοντος λευκοῦ ῥίζης < β΄. μετὰ γλυ-

G κέως, καὶ τὸ ἀφέψημα δὲ τῆς ῥίζης *λουόμενον ἰσχναίνει. *χρυσοκόμης δεσμίδιον, ὠὸν λεῖον σὺν οἴνῳ. ψυλλίου σπέρματος

Fortè, κυμίνῳ, καὶ ἐλαίῳ. κρόμμυα σὺν τοῖς φύλλοις. θέρμα ἑφθά, καὶ ὠμὰ δὲ διδόμενα, aut, κρόμμυα ἑφθὰ σὺν τοῖς φύλλοις, &c.

ὁ κίκεως κόκκος κ΄ (ἢ λ΄.) ὡς καταπότια. Gesn.

Diosc. 3. de mat. med. cap. 52. ruta decocta in vino ad dimidias.

Al. συσταλῇ καὶ ὑδαρῆ

σίου.

ὁμοῦ: videtur autem deesse verbum διδόναι, vel δοτέον, aut simile. Aetius Tetr. 3. ser. 2. cap. 26. compositum idẽ medicamentum describens, pro radicibus selini, petroselinũ habet: & insuper daucũ amomum, & carpobalsamum addit: vt fortè pro ὁμοῦ legendum sit, ἀμώμου, &c. Gesn.

πινέτω.

λαμβανόμενον, aut πινόμενον. Gesn.

χρυσοκόμης. Gesn.

< α΄. μεθ' ὕδατος κυ. γ΄. τριβόλου ῥίζης < α΄. μεθ' ἀκράτου κυ. γ΄. πινομένη. κνεώρου < α΄. μετὰ ἁλῶν < α΄. καὶ μελικράτου. ἠρύγγης ῥίζα ξηρὰ μετ' οἴνου, καὶ τὸ ἀφέψημα αὐτῆς πινόμενον, οὖρα λύει. χαλκοῦ κεκαυμένου < α΄. μετ' οἴνου ἀλύπως ἄγει ὕδωρ. κρότωνος ὄρεως πείψας μ΄. δίδου μεθ' ὕδατος. εἰσὶ δὲ λίαν κακοστόμαχοι. ὠφελεῖ καὶ αἷμα σκύλακος κυνὸς, σὺν ὀξυκράτῳ πινόμενον. πίνεται δὲ ὠφελίμως ὑακίνθου σπέρματος < α΄. ἐν τελείῳ ἡμικοτυλίοις οἴνου λευκοῦ. ἄγει δὲ δι' οὔρων πολλάκις ξέ. ε. ς΄. δεῖ δὲ τὸν οἶνον χλιαίνειν, καὶ τὸ ἄνθος κόπτειν καὶ ὡς ἄλφιτα ἐπιπάσσειν, καὶ οὕτω ποτίζειν. εἰώθασι δέ τινες τῷ ἄνθει δέρματα βάπτειν.

κόκκους. 4. de mat. med. λ΄. id est, xxx.

σπέρμα forte

L X V. Καταπλάσματα δὲ ὑδρωπικοὺς ὠφελεῖ. βολβοὶ μετὰ μέλιτος, οὗτοι δ'. ἱκανῶς στέλλουσιν· ἀψίνθιον, ἢ ὕσσωπον μετὰ σύκου ἢ ὄξους, καὶ αἰρίνου ἀλεύρου. βόλβιτα ξηρὰ θερμανθέντα σὺν ὀξυκράτῳ καὶ μέλιτι. προσεμπάσσεται δὲ θείου ἀπύρου τέταρτον μέρος. σπύραθοι αἴγειοι ἑψηθεῖσαι ἐν οὔρῳ παιδὸς ἀφθόρου. θέρμινον ἄλευρον, καὶ κισσοῦ φύλλα ἑψηθέντα ἐν οἴνῳ, λεῖα. ἢ σύκων διπλάσιον πρὸς κυπαρίσσου καὶ νίτρου. ἰξὸς θερμανθεὶς ἐν τῇ Ἀσίᾳ λίθῳ, ἢ ἀσβέστῳ. ἐλλέβορος μέλας μετ' οἴνου καὶ κριθίνου ἀλεύρου. φακὸς ὁ ἐπὶ τῶν τελμάτων ἐπὶ κεραμίδος θερμῆς ἀναξηρανθεὶς, καὶ οἴνῳ φυραθεὶς, θεῖος. καὶ κοχλίαι ιε΄. σὺν ταῖς σαρξὶν ὠμοὶ λεῖοι· οὐ πρότερον γὰρ ἀφίστανται, ἐὰν μήπως ἐξικμασθῇ τὸ ὑγρόν. νίτρον μετὰ σύκου ἢ ἀψινθίου, ἢ ὑσσώπου. στυπτηρία πᾶσα σὺν στέατι. μυρσίνης φύλλα σὺν κηρωτῇ μυρσινίνῃ. σῦκα ξηρὰ ἑφθὰ ἐν οἴνῳ μετὰ ἀλεύρου κριθίνου καὶ ἀψινθίου. σῦκον, νίτρον, καστόριον, πράσιον, ἄλον. καὶ κώδιον καταχρισθὲν ἀμόργῃ καὶ ἐπιτεθέν. διουρεῖ δὲ ποιεῖ καλαμίνθη μετὰ ὄξους καὶ πεπέρεως, κηρωτῇ ἀναληφθεῖσα, καὶ ἐπὶ τὸν ὀμφαλὸν ἐπιτεθεῖσα. ποιεῖ δὲ ἐπὶ τὸ αὐτὸ καὶ πρὸς ἰκτερικοὺς καὶ νεφριτικούς. ὠφελεῖ δὲ καὶ ἡ δι' ἁλῶν καὶ ἐλαίου τρῖψις πολλή, μιγνυμένης ποτὲ ὀριγάνου κεκομμένης καὶ σεσησμένης. ἐνίοτε δὲ καὶ καταπλάσσονται τούτοις, τῷ τε ἁλὶ καὶ τῇ ὀριγάνῳ ἴσοις, γλοιοποιηθεῖσι σὺν ἐλαίῳ παλαιῷ.

Forte, δὲ.

Pro ἢ ὄξους, legitur, καὶ νίτρου, lib. 3. de mat.

Locus apparet mutilus, aut deprauatus.

Vox θεῖος abundare videtur. Gesn.

λεῖα.

ἐν.

A drach. j. cum aquæ cyathis tribus, tribuli radicis drach. j. cum meri cyathis tribus pota, cneori drach. j. cum pari quantitate salis & melicrato: eryngij radix sicca cum vino, vel eiusdem decoctum potum vrinas concitat. Aeris vsti drach. j. cum vino, citra molestiam aquas educit. Ricini grana xl. contrita dato B ex aqua: sunt autem valdè infesta stomacho. Iuuat & sanguis catelli cum posca bibitus. Vtiliter etiam bibitur hyacinthi seminis drach. j. in vini albi sesquihemina: sæpenumerò quinque sexve sextarios per vrinas educit: oportet autem vino priùs tepefacto florem contusum polentę instar inspergere, atque ita C propinare. Sunt qui hoc flore coria tingere soleant.

Hæc verò imposita hydropicis auxiliantur: bulbi cum melle illiti: (egregiè nanque tumorem reprimunt:) absinthium vel hyssopus cum ficu, * aut aceto & farina loliacea: bubulum stercus siccum cum posca & melle calfactum, cui sulD phuris viui quartam partem inspersers: baccæ caprinæ in pueri impubis vrina coctæ, lupinorum farina & hederæ folia trita in vino cocta, cupressus & nitrum cum dupla parte ficuum, elleborus niger cum vino & hordeacea farina: lens palustris super testa seu tegula calente exiccata & cum vino subaE cta, diuinum est remedium: cochleę quindecim crudę cũ suis carnibus contritæ: agglutinatæ siquidem non priùs amouentur, quàm totus exhauriatur humor: nitrum cum ficu & absinthio aut hyssopo, aluminis genus quodlibet cum adipe, myrti folia cum cerato myrF teo, caricæ in vino coctæ cum farina hordeacea & absinthio: ficus, nitrum, castorium, marrubium, simul contrita: pellis ouilla inuncta amurca & imposita. Cæterùm vrinas mouet calamintha, additis acenas & pipere, cerato excepta & vmbilico imposita: atque idem pręstat auxilium tum ictericis tum etiam G nephriticis. Iuuat & frictio multa ex sale & oleo, addito interdum origano tuso cribratóque. Interdum & è salis & origani æquis partibus cum oleo vetere ad strigmétitiam

Hydropicis [illegible]

Ruellius [illegible]

compa-

compagem redactis fit cataplasma, quod calens imponendum est. Est & vtile vesicis inflatis & inunctis partes tumentes quotidie verberare. Aliud: Stercoris bubuli cremati, nitri, gypsi, caricarum an. vnc. iij. subigito, & ex iis fingito emplastrum linteo inducendum & superligandum.

Ad Lumbricos remedia.

Ad latos lumbricos. *Al. nasturtium.*

Lumbricos latos hæc bibita pellunt: cardamomũ cum aqua, mori radicum cortex in aqua coctus, onochilis, quod & Alcibiadion dicitur, radix & folia: filicis radicis drach. j. semis cũ scámoniæ obolis duobus & sale: verùm qui hoc remedium sumpturus est, allia priùs edat oportet. piperis & cornu ceruini vsti pares portiones cum posca: ipsum quoque cornu ceruinum cum melle delinctum, mali Punicæ radicis decoctum, allium frequenter in cibis sumptum, hyssopus cum nasturtio & scammoniæ obolis duobus bibita, heliotropiũ minus potum, nuces iuglandes multæ esitatæ, coriandri seminis exiguum cum oleo & defruto potum: sed ab ipsius copiosiore frequentioréque vsu cauendum: chamæleonis albi acetabulum cum vino & origani decocto, chalcanthi drach. j. cum melle lincta. Aliud: piperis, nasturtij, nitri, scammoniæ an. drach. j. de his simul mixtis portio exhibeatur: debent verò præsumi allia per triduum, & superbibi muriæ cyathi duo.

Ad teretes lumbricos.

Teretes verò lumbricos expellunt: oleum potum, galla bibita ex aqua, lupini amari in cibo sumpti, aut farina ex iis cruda cum melle delincta: eadem cum aceto pota breui eos excutit, vti etiam polentæ instar inspersa: bibitur & eorundem decoctum cum ruta & pipere, sinapi cum thymbra vel menta, calamintha cum alsine & melle cocta vel cruda esitata: expellit eadem ascaridas cum brassicæ crudæ succo vel aqua pluuiali absorpta: ruta oleo incocta & pota, mentæ succus epotus, semperuiui succus, abrotoni decoctum, cuminum polentæ vice inspersum oxycrato, portulaca esitata, itémque succus eius

A καὶ θερμὸν καταπλασθέν. ὠφελεῖ δὲ καὶ ἡ διὰ τῶν πεφυσημένων καὶ ἀληλειμμένων κυστέων πλῆξις καθ' ἡμέραν ἐπιτηδευομένη. Ἄλλο. Βοείας κόπρου κεκαυμένης, νίτρου, γύψου, ἰσχάδων, ἀνὰ γο. γ'. ὄξους δὲ ἀρκοῦν φυράσας, ποίησον ἔμπλαστρον μετὰ ῥάκους, καὶ ἐπίδησον.

θερμὰ δὲ καταπλάσσειν δεῖ.

B

Τὰ πρὸς τὰς ἕλμινθας βοηθήματα.

LXVI. Τὰς δὲ πλατείας ἕλμινθας ἐκτινάσσει πινόμενα· καρδάμωμον σὺν ὕδατι, μορέας ῥιζῶν ὁ φλοιὸς ἑψηθεὶς ἐν ὕδατι. ὀνοχείλου τοῦ Ἀλκιβιαδίου ἡ ῥίζα καὶ τὰ φύλλα πινόμενα. C πτέρεως < ϛ'. σὺν σκαμμωνίας ὀβολοῖς δυσί, καὶ ἁλσί. προσκοροδοφαγείτω δὲ ὁ μέλλων πίνειν. πεπέρεως καὶ ἐλαφείου κέρατος κεκαυμένου ἴσα σὺν ὀξυκράτῳ. καὶ αὐτὸ δὲ κέρας σὺν μέλιτι ἐκλειχόμενον. ῥοιᾶς τῶν ῥιζῶν ἀφέψημα. σκόροδα ἐσθιόμενα συνεχῶς. ὕσσωπον μετὰ καρδάμου καὶ σὺν σκαμμωνίας ὀβολοῖς δύο ποθέν. D ἡλιοτρόπιον τὸ μικρὸν πινόμενον. κάρυα βασιλικὰ πολλὰ βρωθέντα. κορίου σπέρμα ὀλίγον ποθὲν μετὰ ἐλαίου καὶ σιραίου. προσέχειν δὲ δεῖ πλήθει. χαμαιλέοντος λευκοῦ ὀξύβαφον πλῆθος μετὰ οἴνου καὶ ὀριγάνου ἀφεψήματος. χαλκάνθου < α'. σὺν μέλιτι ἐκλειχόμενον. πεπέρεως καὶ καρδάμου, ἀνὰ < α'. E νίτρου, σκαμμωνίας, ἀνὰ < α'. δίδου. προσκοροδοφαγηκότος ἐπὶ ἡμέρας γ'. ἐπιπινέτω δὲ ἅλμης κυ. β'.

ἢ ἀμφικάρδαμον.
Al α'. lib. 4. de mat. drachmas quatuor legimus.

LXVII. Τοὺς δὲ στρογγύλους ἕλμινς ἄγει, ἔλαιον ποθέν. ἡ κικὶ μετὰ ὕδατος πινομένη. θέρμοι πικροὶ ἐσθιόμενοι· ἢ τὸ ἐξ αὐτῶν ἄλευρον ὠμὸν μετὰ μέλιτος ἐκλειχόμενον· καὶ F μετὰ ὄξους δὲ ποθέν, συντόμως ἐκτινάσσει ἢ ὡς ἄλφιτον ἐπιπλασθέν. πίνεται δὲ καὶ τὸ ἀφέψημα αὐτῶν μετὰ πηγάνου καὶ πεπέρεως. νάπυ μετὰ θύμβρας, ἢ ἡδυόσμου. καλαμίνθη σὺν ἀλσίνῃ καὶ μέλιτι ἑφθή, καὶ ὠμὴ ἐσθιομένη. καὶ ἀσκαρίδας δὲ ἐκτινάσσει σὺν κράμβης ὠμῆς χυλῷ καταρροφούμενος, σὺν ὕδατι ὀμβρίῳ. πήγανον ἐλαίῳ ζεσθὲν καὶ ποθέν. ἢ ἡδυόσμου χυ- G λὸς ῥοφούμενος, ἀειζώου χυλός. ἀβροτόνου ἀπόζεμα. κύμινον ἀντὶ ἀλφίτου ἐπιπασσόμενον ὀξυκράτῳ· ἀνδράχνη ἐσθιομένη, καὶ ὁ χυλὸς

Fortè, κικὶ πινόμενον, aut κίκι πινόμενον. Gesn.
Ἀποβρεχθέντες ἐμπάσσ. lib. 2. de mat.
Ἀλσίνῃ.
Lib. 3. de mat. med. σὺν ἁλσί, cum sale.
Fortè, καταρροφούμενος, ὁ σὺν ὕδατι ὀμβρίῳ.

πινόμενος. σερίφου ἀπόζεμα, ὃ ἔνιοι ἀψίνθιον θαλάσσιον καλοῦσι, σὺν ἁλσὶ καὶ ἐλαίῳ καὶ πυρίοις ἢ σύκοις, ἢ μύξοις συγκαθεψημένον, ἢ ἀλεύροις· ἢ ῥοφήματι, ἢ ξηρὸν ἐπιπασσόμενον ὡς ἄλφιτον καὶ πινόμενον. ἢ Σαντονικὸν κοπέν, ἢ σταφίσιν, ἢ φοίνιξιν, ἢ μετὰ σύκων βρωτόν· μελίας φλοιὸς ὡς ἄλφιτον ποτόν. Πρὸς ἕλμινθας παίδων. ἡδυόσμου ἀπόζεμα πότιζε νήστεις. Καταπλασσόμενα δὲ ὠφελεῖ κατὰ τοῦ ἐπιγαστρίου ἐπιτιθέμενα, θέρμινον ἄλευρον σὺν μελικράτῳ, ἢ μελάνθιον, ἢ αἴρινον ἄλευρον, ὁμοίως ἰσάτις. πρὸς ἕλμινθας, καὶ πᾶν θηρίον τὸ ἐν τῇ κοιλίᾳ, καταγάγῃς οὕτως· ἐνέγκας θέρμια πικρά, καὶ δάφνιδας μετὰ χολῆς ταυρείας λειώσας, καὶ ποιήσας ἔμπλαστρον, ἐπίθες τῷ ὀμφαλῷ τοῦ πάσχοντος, καὶ φασκίωσον ἐπὶ ἡμέρας γ΄.

Marg.: Lego, ἢ ξηρὸν, &c. — σὺν σταφ.

LXVIII. Ἀσκαρίδας κτείνει ἀξούγγιον παλαιὸν εἰς τὸν δακτύλιον καθιέμενον ἀντὶ βαλάνου.

Τῶν κατὰ τὴν μήτραν καὶ τἄλλα γυναικεῖα μόρια παθῶν βοηθήματα.

Dolenti vesicæ hæc vtiliter adhibentur: nymphææ radix & semen, polygonum, petroselinum, chamæpitys cũ vino & adipe suillo cocta, hordeaceus pollen, fœnumgræcum, lini semen, palmulæ, mala cotonea cocta: capita denique papaueris cocta, hyoscyami farinæ ammixta.

Ad vesicæ vlcera.

Vesicæ exulcerationibus medentur tum quę nephriticis bibenda præscripsimus, tum prætereà hæc: radicis graminis tum Parnassij, tum etiam alius cuiuspiam ex aqua decoctum in potu: portulacæ succus cum passo, lac dulce, elates vnguentariæ decoctum: cupressi folia cum myrrha pota, quæ vesicæ etiam fluxione tentatæ auxiliantur: malua in cibo sumpta, myrti denique baccæ esitatæ.

Ad vesicę mordicationem.

Vesicæ mordicationes rosionésve leniunt, sacchatum bibitum, scandicis decoctum epotum: phalaridis herbæ, quæ inter frumenta nascitur, contusæ succus expressus cum vino: symphyti decoctum, cneci pollen, amygdalę amaræ, nuclei pinei tosti, pruni arboris gummi, tragacanthum in passo cum cornu ceruino vsto, addito etiam aluminis scissilis momento.

A ἐσθιόμενα, χαμαιπίτυος ἀπόζεμα ἐν μελικράτῳ.

CIII. Εἰ δὲ ἕλκος δάκνει τις ἔχει ἐν τῷ καυλῷ, καὶ ἐπιδάκνηται, ἐνεργῶς βοηθεῖ, τραγακάνθης < β'. ἐβρεγμένης ἐν οἴνῳ νήστεσι ἐκλεικτῶς. *βεβρεγμένης.*

CIIII. Ἐὰν δὲ αἷμα οὐρῇ, σχιστῆς < α'. τραγακάνθης < β'. κόψας ἀναλάμβανε

B τροχίσκοις ἀνὰ ὀβ. β'. ἕνα διδοὺς ἐν γλυκεῖ. Τὰς δὲ ἐκ νεφρῶν αἱμορραγίας ἵστησι, στρατιώτης ὁ ἐπὶ τῶν ὑδάτων πινόμενος.

CV. Ἀλγήματα δὲ κύστεως ἰᾶται λινόσπερμον ὠμὸν, σήσαμον, ὅρμινον, ἑκάστου κυ. α. κατ' ἰδίαν σὺν γλυκεῖ πινόμενος. ὀξυσχοίνου σπέρμα. ἢ βολβῶν * πυρρῶν σπέρμα

C ὁμοίως. λωτοῦ σπέρμα ὁμοίως ἐν οἴνῳ. μήκωνος μελαίνης ἢ λευκῆς σπέρματος < α'. σὺν ὕδατι θερμῷ πινομένη, ἢ μελικράτῳ. κυδωνίων ἄνθη. ἢ ἑλίκων ἀμπέλου, ἢ ἀνδράχνης ἀφέψημα, πινόμενον. ἢ γεντιανῆς χυλὸς σὺν ὕδατι.

CVI. Καταπλάσσεται δὲ ὠφελίμως

D ἐπὶ ἀλγούσης κύστεως· νυμφαίας ῥίζα καὶ σπέρμα. πολύγονον. πετροσέλινον. χαμαιπίτυς σὺν οἴνῳ, καὶ στέατι ὑείῳ ἑψημένη. κρίθινον. * γύρεις. τῆλις. λινόσπερμον. φοίνικες. μῆλα κυδώνια ἑφθά. κωδίαι μήκωνος ἑφθαὶ καὶ ὑοσκυάμου ἀλεύρῳ μιγνύμεναι. *ἄλευρον videtur addendum: aut legendum κρίθινος γύρις.* *μιγνύμεναι*

CVII. Πρὸς δὲ τὰς ἑλκώσεις τῆς κύστεως,

E ποιεῖ μὲν καὶ τὰ ἐπὶ νεφριτικῶν ἀναγεγραμμένα πόματα. ἁρμόζει δὲ καὶ ταῦτα. ἀγρώστεως τῆς ἐν Παρνασσῷ φυομένης ῥίζα, καὶ τῆς ἄλλης τε ἀφεψηθεῖσα ἐν ὕδατι πινομένη. ἀνδράχνης χυλὸς ἐν γλυκεῖ. γάλα γλυκύ. ἐλάτης μυρεψικῆς ἀπόζεμα. κυπαρίσσου φύλλα μετὰ σμύρνης ποθέντα. ἰᾶται δὲ κύστιν

F ῥευματιζομένην, μαλάχη ἐσθιομένη, ἢ μύρτα ἐσθιόμενα.

Morbanus hæc refert ad præcedentia: quoniam lib 1 de mat. cupressi folia ad vesicæ rheumatismum laudantur: & legit, ἰᾶται δὲ καὶ κύστιν. Sed nihil prohibet noui etiã capitis initium esse (cui duo solùm remedia subijciuntur, malua & myrti,) quod magis probarim. Gesn.

CVIII. Ἐπιδακνομένην δὲ κύστιν ὠφελεῖ, σάκχαρον πινόμενον· σκάνδικος ἀφέψημα πινόμενον. καὶ τῆς λεγομένης φαλήρεως βοτάνης κοπείσης [καὶ θλιβεὶς ὁ χυλὸς σὺν οἴνῳ. γίνεται δὲ ἐν τοῖς σίτοις. συμφύτου ἀφέ-

G ψημα· κνήκου ἄλευρον ἠλιασθεῖσα, ἀμύγδαλα πικρά. στροβίλια πεφρυγμένα. κόκκοι κοκκυμήλων. τραγάκανθα ἐν γλυκεῖ. ἢ κέρατος ἐλαφείου κεκαυμένου, μιγείσης αὐτῷ σχιστῆς ὀλίγης.

ἀλιασθεῖσα, Morbanus. *Malim κόμμι κοκκυμηλέας.* *κέρατι κεκαυμένῳ.*

CIX. Δυσουρίᾳ δὲ βοηθεῖ πινόμενα, ἀσπαράγου ἀγρίου ῥίζης ἀπόζεμα, καὶ τὸ σπέρμα σὺν οἴνῳ· πάναξ σὺν μελικράτῳ. ποιεῖ δὲ καὶ πρὸς ψωριῶσαν κύστιν. πολυγόνου χυλός. σαμψύχου ἀπόζεμα· σέσελι. σικύου ἡμέρου σπέρμα καθαρὸν, σὺν γάλακτι, ἢ γλυκεῖ, καὶ πικροῖς ἀμυγδάλοις· ἢ αὐτὰ ταῦτα ἀμύγδαλα ἐν γλυκεῖ. σκορδίου χύλισμα ἐν οἴνῳ. σταφυλίνου ἀγρίου σπέρμα, φιλεταιρίου ῥίζης < α΄. ἐν κράματι. φοῦ ἀπόζεμα. χαμαιπίτυος ὁμοίως. χαμαιλέοντος λευκοῦ < α΄. ἢ β΄. μετ᾽ ὀριγάνου ἀποζέματος ἢ οἴνου. ψευδοβουνίου κλωνία δ΄ μεθ᾽ ὕδατος. ὠκίμου σπέρμα. ἀβρότονον ὁμοίως ἀποζεσθὲν ἐν ὕδατι, ἄχρις οὗ τρίτον λειφθῇ. ἀγαρικοῦ < α΄ μετ᾽ οἴνου. γλυκυρρίζης ἀπόζεμα πινόμενον. ὀξυμυρσίνης ἀγρίας ῥίζα ἀπεζεσμένη. δαμασωνίου ῥίζης < α΄. σὺν οἴνῳ. στρόβιλοι καθαροὶ μετὰ σικύου σπέρματος καὶ γλυκέος. ἀνθυλλίου < γ΄. σὺν οἴνῳ· ἀνθεμίδος ῥίζαι καὶ τὰ ἄνθη ὁμοίως. ἀσπαλάθου ἀπόζεμα ὁμοίως. ἀψίνθιον ἀποζεσθὲν σὺν σελίνου ῥίζῃ ἴσῃ. σχῖνος, ἢ νάρδος, ἢ μάραθρον ἐν ὕδατι. βακχάριδος ῥίζα ἑψηθεῖσα ἐν ὕδατι. βουνίου τὰ φύλλα καὶ ἡ ῥίζα, χυλισθέντα μετὰ μελικράτου. ἑλιχρύσου ἄνθος σὺν τοῖς φύλλοις ἐν οἴνῳ. ἑρπύλλου ἀπόζεμα ὁμοίως. σμυρνίου ῥίζα πινομένη ἐν οἴνῳ. ἠρύγγης ῥίζα μετὰ σταφυλίνου σπέρματος καὶ οἴνου. ἱπποσελίνου ῥίζα καὶ σπέρμα ὁμοίως. καρδάμωμον μετ᾽ οἴνου, ἢ ὕδατος. κάλαμος ἀρωματίτης μετ᾽ ἀγρώστεως ῥίζης, καὶ σελίνου σπέρματος, ἑψηθεῖσα ἐν ὕδατι. κεδρίδες πινόμεναι μετὰ πεπέρεως καὶ οἴνου· κιννάμωμον σὺν οἴνῳ. κοραλλίου < α΄. κλινοποδίου ἀπόζεμα ἐν ὕδατι. κυπαρίσσου τῶν φύλλων ὁ χυλὸς πινόμενος σὺν οἴνῳ. λεύκης τοῦ δένδρου φλοιὸς σὺν οἴνῳ. ἐξωνύχου, τοῦ καὶ λιθοσπέρμου, καρπὸς πινόμενος, ὁμοίως. αἱματίτης λίθος ἐν οἴνῳ. μαράθρου ἀφέψημα σὺν ὕδατι. μυριόφυλλον ὁμοίως. πτελέας ῥίζα σὺν γλυκεῖ. ὀνόβρυχις ἐν οἴνῳ· οἰνάνθη πόα καὶ ῥίζα. ὄνοι οἱ ὑπὸ ταῖς ὑδρίαις λεῖοι πινόμενοι. ὄρνιθος ἀπόπατος σὺν οἴνῳ. εἰς δὲ τὸν οὐρητικὸν πόρον ὑποτίθενται πρὸς ἐξουρησμὸν κόρεις ἀπὸ κλίνης λεῖοι. καταπλάσσεται

μυρσίνης.

◁ f. lib. 3. de mat. med. c. 153.

Moibanus legit ἢ χῖνος, ἢ νάρδος, ἢ μάραθρον &c. Malim ego, σχῖνος, quanquã & lentiscus vrinam pellit.

A Vrinæ difficultati bibita auxiliãtur: radicis asparagi decoctum, & semen eiusdem cum vino, panax cum melicrato, qui quidem scabie laboranti vesicæ etiam succurrit: polygoni succus, sampsuchi decoctum, seseli, cucumeris satiui semen mundatum cum lacte aut passo & amygdalis amaris, aut ipsa amygdala amara è passo: B scordij expressus succus, è vino: pastinacæ erraticæ semen, philetærij radicis drachma è vino diluto, phu decoctum, similiter & chamæpityos, chamæleonis albi drachma vna aut altera cum origani decocto aut vino, pseudobunij ramuli quatuor ex aqua, ocimi semen, similiter & abrotonum ad tertias in aqua decoctum, C agarici drachma cum vino, dulcis radicis decoctum potum, rusci syluestris decocta radix, damasonij radicis drachma cum vino, nuclei pinei repurgati cum semine cucumeris & passo, anthyllidis drach iij. è vino, anthemidis radices ac flores similiter, aspalathi D decoctum eodẽ modo, absinthium decoctum cum æquali portione radicis apij, iuncus odoratus, aut nardus, aut fœniculum ex aqua, baccharidis radix decocta in aqua, bunij è folijs & radice succus cum melicrato, elichrysi flos cum folijs è vino, serpylli decoctum similiter, smyrnij radix pota è vino, eryngij E radix cum semine pastinacæ & vino, hipposelini radix & semen similiter, cardamomum cum vino vel aqua, calamus aromaticus cum radice graminis & apij semine coctus in aqua, cedri baccæ cum pipere ex vino potæ, cinnamomum cum vino, corallij drachma, clinopodij decoctum in aqua, F cupressi foliorum succus ex vino potus, populi albæ cortex cum vino, exonychi, quod & lithospermon dicitur, semen similiter potum, hæmatites lapis è vino, fœniculi decoctum in aqua, millefolium similiter, vlmi radix cum passo, onobrychis cum vino, œnanthe herba & radix, G millepedæ quæ sub vasis aquarijs degunt tritæ ac potæ, fimus gallinaceus cum vino. Cimices lectularij contriti vrinariæ fistulę ad eliciendam vrinam induntur. Imponitur

verò contra difficultatem vrinę farina erui cum aceto, & superilligatur: similiter & vrinas ciet meum tritum, pectini impositum. Suffumigata quoque vrinas mouent; bdellium, artemisia, locustæ & pili ceruini: vndique verò vestibus cinctum coopertúmque esse oportet cui remedium adhibetur, vt ne suffitus vapor quaquaversùm exhalet atque dissipetur. Sedes etiam amaracino vnguẽto circumlinatur.

Insessus ad vesicæ affectiones.

Ad insessus autem decoquuntur in vesicæ affectionibus, anthemis, laurus, calamus aromaticus & cupressi folia.

Ad calculum.

Calculos vesicę conterunt atque comminuunt, adiantum, philetærij seu polemonij radicis drach. ij. smyrnij semen, rusci radix in passo macerata, & semen eius cum vino, hippomarathri semen & radix, althææ radix & semen, alcyonij Milesij oboli duo ex aqua, amygdalæ amaræ cum passo, & ex iisdem oleum, anthemidis quę flore est purpureo & flos & radix, leucanthemi decoctum, ononidis radix cum vino mulso, bdellij drachma cum vino, tribuli è virenti fructu succus, auis, quam ossifragum Latini vocant, ventriculus arefactus paulatim epotus, pæonię acini fului tum esitati, tum etiam poti: (qui quidem puerulis calculo & scabie vesicæ laborantibus cõueniunt:) lauri è radice cortex, cyperi decoctum, nardi Indicæ & spica & folia, opopanax, tragacantha, gentiana, cuminum latum, semen erucę & xanthij, nuclei pinei, muria, helenium, castorij drachma cum vino odorato, vmbilici Veneris radix & herba in cibo sumpta, cardamomi drachma vna cum æquali pondere corticũ radicis lauri è vino: gũmi amygdali amaræ, aut vitis, aut pruni cum passo: radix in vino cocta, exonychi .i. lithospermi semẽ cõtritum, lapides è spõgiis triti cũ vino, vrina taurina pota, parthenij, quod leucanthemõ dicitur, herba, paliuri semẽ, amomũ in cibo sumptum: (quod aquas etiã q̃ calculos gignũt emẽdat, si cũ iis coquatur:) sisymbrij decoctũ. Struthij radix cũ panace & capparis radice, etiã calculos cũ vrina pellit: polij decoctũ, lapis Iudaicus

A δὲ πρὸς δυσουρίας, οὖρον βόειον σὺν ὄξει, καὶ ἐπιδεῖται. ὁμοίως δὲ οὖρα ἄγει μῆον λεῖον καταπλασθὲν κατὰ τοῦ ἐφηβαίου. ὑποθυμιώμενα δὲ οὖρα ἄγει βδέλλιον, ἀρτεμισία, ἀκρίδες. τρίχες ἐλάφου, περιεσταλισμένος δὲ ἔστω κύκλωθεν, ἵνα ἀδιάπνευστος ᾖ· περιχριέσθω ὁ δακτύλιος ἀμαρακίνῳ μύρῳ.

Moibanus legit ὀρόβιον, subaudi ἄλευρον.

B CX. Εἰς ἐγκαθίσματα δὲ ἀποζέννυται ἐπὶ τῶν περὶ τὴν κύστιν διαθέσεων, ἀνθεμίς, δάφνη, κάλαμος ἀρωματίτης, κυπαρίσσου φύλλα.

CXI. Λίθους δὲ τοὺς ἐν κύστει θρύπτει πινόμενα σὺν οἴνῳ· ἀδίαντον, φιλεταιρίου ῥίζης < β'. σμυρνίου σπέρμα. ὀξυμυρσίνης ῥίζα ἐν γλυκεῖ ἀποβρεχομένη, καὶ ὁ καρπὸς σὺν οἴνῳ. ἱππομαράθρου σπέρμα καὶ ἡ ῥίζα, C ἀλθαίας ῥίζα καὶ τὸ σπέρμα. ἀλκυονίου Μιλησίου ὀβ. β'. σὺν ὕδατι. ἀμύγδαλα πικρὰ σὺν γλυκεῖ, καὶ τὸ ἔλαιον αὐτῶν· ἀνθέμιδος τῆς * πυρράνθου ὅ τε ἄνθος καὶ ἡ ῥίζα. λευκανθέμου ἀπόζεμα. ὀνώνιδος ῥίζα σὺν οἴνῳ καὶ μέλιτι. D βδελλίου < α'. σὺν οἴνῳ. τριβόλου χλωροῦ καρποῦ χυλός. φήνης τοῦ ὀρνέου, ὃ ῥωμαῖοι ὀσσίφραγον καλοῦσιν, ἡ κοιλία ξηρὰ κατ' ὀλίγον πινομένη. γλυκυσίδης ῥῶγες πυρροὶ ἐσθιόμενοι καὶ πινόμενοι * ἄλλοι. ἐπὶ δὲ τῶν παίδων λιθιώντων καὶ πρὸς τὰς ψωριώσας κύστεις ἁρμόζει, δάφνης ῥίζης * τοῦ φλοιοῦ E κυπέρου ἀφέψημα. * στάχυς, φύλλα Ἰνδικά. ὀποπάναξ. τραγάκανθα. γεντιανή. πλατυκύμινον. σπέρμα εὐζώμου * καὶ στρουθίου. κοκκονάρια. ἅλμη. ἑλένιον. ὄρχις κάστορος < α'. μετ' οἴνου εὐώδους. κοτυληδόνος ῥίζα καὶ ἡ πόα ἐσθιομένη. καρδαμώμου < α'. μετὰ δάφνης ῥίζης τοῦ φλοιοῦ F * < α'. σὺν οἴνῳ. κόμμεως τοῦ ἐξ ἀμυγδάλης πικρᾶς, ἢ ἀμπέλου, ἢ κοκκυμηλέας, μετὰ γλυκέως. * ῥίζα ἑφθὴ ἐν οἴνῳ. ἐξωνύχου καρπὸς λεῖος· λίθοι οἱ ἀπὸ τῶν σπόγγων λεῖοι μετ' οἴνου. οὖρον ταύρου πινόμενον. παρθενίου τῆς λευκανθέμου καλουμένης ἡ πόα. παλιούρου σπέρμα. ἄμωμον ἐσθιόμενον. τοῦτο δὲ καὶ G τὰ λιθογενῆ ὕδατα καθαίρει συνεψόμενον. σισυμβρίου ἀπόζεμα. στρουθίου ῥίζα σὺν πάνακι καὶ καππάρεως ῥίζῃ * καὶ ἐξουρεῖν ποιεῖ. πολίου ἀπόζεμα. λίθος Ἰουδαϊκὸς

ἢ φλοιοῦ

Gesnerus legendum suspicatur στάχυς ἢ φύλλα Ἰνδικά.

Gesn. Post εὐζώμου, malim punctum notare, & subdere [illegible], aut potiùs legere ξανθίου.

Lib. 1. de mat. nullum hic pondus nominatur. κοκκυμηλέας.

Apparet stirpis alicuius nomen hic deesse. Suspicatur verò Gesnerus rumicis aut ononidis nomen hic desiderari.

τὸν λίθον ἐξουρεῖν.

τριβόμενος σὺν ὕδατι, καὶ πινόμενος. σκολοπένδριος βοτάνη, ἔστι δὲ καὶ διουρητική. σχοίνου ἄνθος πινόμενον καθ' ἡμέραν. μυσκέλεδρα μετ' ἐλαχίστου κρόκου καὶ σμύρνης ποτιζόμενα σὺν ὕδατι· ἢ μετ' λιβανωτοῦ ὀλίγου καὶ οἰνομέλιτος πολὺ ἐπιπασσόμενον, ἢ τὸ ἀφέψημα * αὐτοῦ. ἢ λίθος τῶν ἐξουρηθέντων ὑπ' αὐτῶν τριβεὶς καὶ ποθεὶς ἐν οἴνῳ.

* λιβανωτοῦ, leg.

CXII. Οὐρητικὰ δέ ἐστι καὶ τὰ παραδιδόμενα μὲν πρὸς δυσουρίας καὶ λιθιῶντας· καὶ ταῦτα δὲ πινόμενα σὺν οἴνῳ ὠφελεῖ δυσουροῦντας, καὶ ἐφ' ὧν οὖρα κινῆσαι βουλόμεθα, ὡς ἐπὶ ὑδρωπικῶν καὶ ἰκτερικῶν· ἀκάνθης λευκῆς ῥίζης < α'. ἀκάνθης τῆς παιδέρωτος καλουμένης ῥίζης ὁμοίως. ἀκόρου ῥίζα. τριφυλλίδος καρπὸς, καὶ ὁ χυλὸς αὐτῆς, καὶ τὸ ἀπόζεμα. ἀρκτίου ῥίζα, καὶ τὸ ἀφέψημα αὐτῆς. ἄρκτιον καὶ προσώπιον ἢ φιλάνθρωπος, ἢ σκορδόνιον, ὃ Ῥωμαῖοι περσωνᾶ. ἀκακίας τὸ σπέρμα ἄριστα ποιεῖ λιθιῶσι μετὰ πεπέρεως καὶ οἰνομέλιτος· Ἀρεταῖος * ὄνοσμα ἐν τοῖς νεφριτικοῖς ἔγραψεν. ἢ νάρδου Συριακῆς ῥίζα. τραγορίγανον καὶ χυλὸς ὀριγάνου καὶ πετροσελίνου, ἴρεως. καρπὸς σελίνου. κρίθμον. πηγάνου ἀγρίου σπέρμα. κνίδης * σπέρμα. ἀλθαίας τῆς ῥίζης ἀφέψημα, βρυωνίας ῥίζης λευκῆς * καὶ μελαίνης < α'. καὶ ὁ ἀσπάραγος ἐσθιόμενος. ἀμπελόπρασα ἐσθιόμενα. ἄνισον πινόμενον. ἄνηθον. ἄρου ῥίζα ξηρὰ ἐν οἰνομέλιτι (καὶ) ἑφθὴ, ἐσθιομένη. καὶ δρακόντιον ὁμοίως. ἀρκευθίδων ἀφέψημα, καὶ αὐταὶ λεῖαι πινόμεναι σὺν οἴνῳ. ἀσφοδέλου ῥίζης < α'. σὺν οἴνῳ. ἄσαρον ὁμοίως. ἀστραγάλου ῥίζα. βαλσάμου καρπὸς < α'. καὶ ὀπὸς βαλσάμου μετὰ γλυκέος. τριχομανές. ὑακίνθου ῥίζα. * ὑπερικόν. * χαμαιδάφνης Ἀλεξανδρινῆς. * γιγγίδιον. δίκταμνον. βάλανοι δρύινοι ἐσθιόμεναι, καὶ τὸ ἀφέψημα αὐτῶν. ἑλενίου ἀφέψημα. ἐλελισφάκου ἀφέψημα. ἐρέβινθοι ἐσθιόμενοι, καὶ τὸ ἀφέψημα αὐτῶν. ἐρυθρόδανον. ἐχῖνος θαλάσσιος. θέρμου ῥίζης ἀπόζεμα. θρίδαξ ἑφθὴ, ὡς λάχανον ἐσθιομένη. ἢ θύμον, ἢ θύμβρα. ἱππουρίδος ῥίζα, καὶ τὰ φύλλα. ἰτέας ὀπός. καπνός. ὁ ἐπὶ τῶν κριθῶν βρωθεὶς χυλὸς, δι' οὔρων ἄγει. καλαμίνθης ἀπόζεμα. * κάχρει. κισσὸς αἷμα ἄγει.

προσωπίδα καλοῦσι, lib.4. de mat.

Diosc. lib 4. de mat. med. cap. 90. hanc vim foliis tribuit.

δάφνην Ἀλεξ. simpliciter vocat lib.4 de mat. ῥίζα addidi etiam.

κάγχρυ forte, vel κάχρυ.

A tritus cum aqua & potus, scolopendrium herba, quæ & vrinas ciet: iunci odorati flos quotidie potus, muscerda cum paucissimo croco & myrrha propinata ex aqua, aut cum pauco thure copia largiore inspersa vino mulso, thuris etiam decoctum, ac denique lapis, quem calculo laborans excreuerit, tritus B è vino potus.

Vrinas cient tum quæ ad vrinæ difficultaté & calculos cómemorauimus, tum & hæc sequétia in vino pota, quæ quidē adiuuát nó solum vrinæ difficultate laborátes, sed & cæteros quibus vrinas pellere consultum fuerit, velut hydropicos & arquatos: spinæ albæ radicis drachC ma, acanthi pæderotis dicti radicis tantundē, acori radix: trifolij semē, succus & decoctum: arctij radix & & eiusdē decoctum, arcium quod & prosopium aut philanthropos aut scordonium, Latinis personata, dicitur: acaciæ semen præclarè calculosis proficit cum pipere & vino mulso. Aretæus inter nephriticoD rum remedia onosma reposuit. Nardi Syriacæ radix, tragoriganū, succus origani, petroselini, iridis: semen apij, crithmum, rutæ syluestris semē: vrticæ semē, althææ radicis decoctum, bryoniæ albæ aut nigræ drachma, asparagus in cibo sumptus, ampeloprasum esitatum, anisum bibitum, anethum, ari raE dix sicca in mulso cocta & esitata, similiter & dracunculi radix, baccarum iuniperi decoctum, & ipsæ quoq; tritę ex vino potę: asphodeli radicis drachma cum vino, asarum simili modo, astragali radix, carpobalsami drachma, opobalsamum cum passo, trichomanes, hyacinthi F radix, hypericum, lauri Alexádrinę radix, gingidium, dictánus, gládes quernęin cibis sumptę, ac earundē decoctum, helenij decoctum, saluiæ decoctum, cicer in cibo sumptum, eiusdem decoctum, rubia, echinus marinus, lupini radicis decoctum, lactuca elixa oleris instar in cibo sumpta, thymus, thymbra, G equiseti radix & folia, salicis liquor, fumaria: cremor hordei assumptus vrinas trahit: calaminthæ decoctum, cachrys: hedera etiam sanguinem cum lotio educit:

Ad pellendas vrinas.

costus, crocum, huius radix cum passo, cepæ elixæ, ligustici radix & semen, lapides spongiarum, malabathri folia, nigella, gladioli radix superior, coreos semen cum vino, holoschœni semen, onobrychis, origanum, lyncis vrina trita ex aqua, capræ vrina similiter cum spica nardi, periclymeni folia, piper, ruta, pini cortex, polium, marrubium, porrum elixum, raphanus eiusdémque semen: resina quæuis, præcipuè verò lentiscina: apium seu crudum seu etiam coctum, ac semen eiusdem, sideritis, quæ & Heraclea dicitur, sison, asarum, scillæ tostæ drachma cum oxymelite, sonchi radix & semen, struthij radix: pinei denique nuclei esitati vehementer vrinas promouent.

A κόστος, καὶ κρόκος, καὶ ἡ ῥίζα αὐτοῦ μυρρίνου γλυκέως. *μετ᾽ οἴνου, libro 2. de mat.*
κρόμμυα ἑφθά. λιγυστικοῦ ῥίζα καὶ ὁ καρ-
πός. λίθοι οἱ ἐκ σπόγγων. μαλαβάθρου φύλ-
λα. μελάνθιον. ξιφιδίου ῥίζα ἡ ἄνω. κόρεως
καρπὸς σὺν οἴνῳ, ὁλοσχοίνου καρπός. ὀνοβρυ-
χις: ὀρίγανον. οὖρον λυγγὸς λεῖον ἐν ὕδατι. *λυγγούριον.*
αἰγὸς οὖρον ὁμοίως μετὰ νάρδου στάχυος. περι-
B κλυμένου φύλλα. πέπερι. πήγανον. πίτυος
φλοιός. πόλιον. πράσιον. πράσον ἑφθόν.
ῥάφανος καὶ τὸ σπέρμα. ῥητίνη πᾶσα, μάλι-
στα δὲ σχίνου. σέλινον ὠμὸν καὶ ἑφθόν, καὶ τὸ
σπέρμα αὐτοῦ. σιδηρίτης, ἡ καὶ Ἡρακλεία. σί-
νον. ἄσαρον, σκίλλης ὀπτῆς < α΄. σὺν ὀξυμέλι-
τι. σόγχου ῥίζα καὶ ὁ καρπός. στρουθίου ῥίζα.
C ἰσχυρῶς οὐρητικοί εἰσι στρόβιλοι ἐσθιόμενοι.

Theriaca, hoc est, contra morsus ictúsque venenatos auxilia.

Ad canis rabiosi morsum. Morsis à cane rabioso conferunt hæc: sanguis rabidi canis potus, & eiusdē iecur assum comestum, cancrorum fluuiatiliū oculi tosti & ex aquæ cyatho poti. Aut: cineris è cācris integris crematis drachma vna aut altera, gētianæ drachma vna, cineris vitis albæ drach. ij. misceātur & cū vino albo triduo bibātur. Iuuat & dens caninus rabiosi canis qui momorderit, folliculo ex aluta inditus & brachio adalligatus: lyciū potui datū. Aristolochiæ, gētianę, baccarum lauri & myrrhę partes æquales mixtæ propinātur, aut etiā vulneri ex morsu imponūtur: apparatæ etiā ranæ in cibo sumūtur, vti & canis coagulum in sapa. Vulneribus etiā adhiberi oportet, quę diutius eadem dilatata seruent, nec tā cito sināt coire ac cicatrice obduci. Quare cōsultum fuerit, vt in quouis alio, ita maximè in canis rabiosi morsu alliū vsurpare, seu per se, seu etiā cum melle. Proficiūt & vrticę folia cū sale aut melle, cepa cū sale aut ruta, silphiū cū sale, eiusdem liquor aut tritus inspersus, aut alioqui cataplasmatis instar applicitus, salsamētū omne, cinis sarmētitius cū oleo, sābuci folia cū sale, amygdalę amarę cū melle, ballotes aut plātaginis folia cū sale, menta similiter, nuces iuglādes cū cepa

ΘΗΡΙΑΚΑ.

CXIII. Λυσσοδήκτοις δὲ ὠφελεῖ, τὸ αἷ-
μα τοῦ λυσσῶντος κυνὸς ποθέν, καὶ τὸ ἧπαρ
αὐτοῦ ὀπτηθὲν καὶ βρωθέν. καρκίνων ποταμίων
ὀφθαλμοὶ φωχθέντες, καὶ μετὰ ὕδατος ἐπι- *ποθέντες forte.*
D ποθέντες κυ. α. ἢ καὶ ὅλων καέντων τῆς τέφρας
< α. ἢ δ΄. γεντιανῆς < α΄. καὶ ἀμπέλου λευ-
κῆς τῆς τέφρας < β΄. σὺν οἴνῳ λευκῷ ἐπὶ
ἡμέρας γ΄. πινόμενοι. καὶ ὁ κυνόδους δὲ τοῦ
δακόντος κυνός, ἐντεθεὶς εἰς κελίδα, καὶ πε- *κυνίδα lib. 2. de mat. mauult Gesn. κυτίδα. sic enim ait Tatianus vocari, corii segmentum.*
ριαφθεὶς βραχίονι, ὠφελεῖ. καὶ λύκιον πο-
θέν. ἢ ἀριστολοχίας καὶ γεντιανῆς καὶ δαφνί-
E δων, καὶ σμύρνης ἴσον ἑκάστου ἀναλαβὼν δί-
δου πιεῖν, ἢ καὶ ἐπὶ τὸ δῆγμα ἐπιτίθει. βά-
τραχοι σκευασθέντες καὶ ἐσθιόμενοι. πιτύα
κυνὸς ἐν ἑψήματι. καταπλάσσειν δὲ δεῖ
ἐπὶ τῶν λυσσοδήκτων τὰ τραύματα τοῖς
δυναμένοις τηρεῖν ἐφ᾽ ἱκανὸν τὰ ἕλκη, καὶ μὴ
ἐᾶν ταχέως ἀπουλοῦσθαι. βέλτιον δέ, εἰ καὶ
F ἐπὶ πολύ, εἰς αὐτὰ τὰ κυνόδηκτα παρα-
λαμβανόμενον σκόροδον καθ᾽ ἑαυτό, ἢ καὶ
σὺν μέλιτι. κνίδης φύλλα σὺν ἁλσίν, ἢ μέ-
λιτι. κρόμμυον μεθ᾽ ἁλός, ἢ πηγάνου. σίλφιον
μεθ᾽ ἁλός. ὀπὸς σιλφίου πασσόμενος λεῖος, ἢ
καταπλαττόμενος. τάριχος πᾶς. τέφρα
κληματίνη σὺν ἐλαίῳ, ἢ σκόροδον. ἀκ- *σὺν ὄξει cum aceto. 5. de mat. cap. 135. Hæc redundant.*
G τῆς φύλλα σὺν ἁλσίν. ἀμύγδαλα πι-
κρὰ σὺν μέλιτι. βαλλωτῆς φύλλα, ἢ
ἀρνογλώσσου σὺν ἁλσίν. ἡδύοσμον ὁ-
μοίως. κάρυα βασιλικὰ σὺν κρομμύῳ

καὶ ἅλασι, καὶ μέλιτι. μελισσόφυλλον μετὰ ἁ- A
λῶν. μυάκων σάρξ. νίτρον σὺν ὑείῳ στέατι.
ὀρόβινον μετὰ μέλιτος. οὖρον ἀνθρώπινον κα-
ταντλούμενον. πήγανον σὺν ὄξει. πυροὶ ὠμοὶ
μασηθέντες καὶ ἐπιτεθέντες. σικύου ἡμέρου
φύλλα σὺν οἴνῳ. ὀπὸς συκῆς ἐπιστάζόμενος,
ἢ συκῆς φύλλα· ἢ κράδαι ἁπαλαὶ σὺν μέ-
λιτι. τέφρα κληματίνη σὺν ἐλαίῳ. τέφρα B
συκίνη σὺν κηρωτῇ. ὑὸς ἄφοδος σὺν ὄξει ἑ-
ψηθεῖσα. καὶ τὸ Περσικὸν μῆλον μασηθὲν
καὶ ἐπιτεθέν.

nitrie lib. II. de mat.

Hæc itidem redundant.

CXIIII. Ποτὰ δὲ κοινὰ πρὸς ἑρπετὰ
δίδοται· πεπέρεως σὺν ὄξει καὶ μηκωνίῳ. πηγά-
νου ἀγρίου σπέρμα. πλατάνου σφαιρία ὁ-
μοίως. πολεμωνίου, τοῦ καὶ φιλεταιρίου, < α΄. C
σὺν οἴνῳ. *πυρίτης. πύρεθρον. πιτύα νεβροῦ
καὶ λαγωοῦ. σαγαπηνοῦ < α΄. σελίνου σπέρ-
μα σὺν σκορόδῳ < β΄. τοῦ δὲ συχυλίσμα-
τος < α΄. σπαργανίου ῥίζα καὶ ὁ καρπός. συ-
καμίνου ὀπός. τεύκριον· τευκρίου ῥίζης χυ-
λός· ταῦτα σὺν οἴνῳ λαμβανόμενα. *πυ-
ρίτης, κἂν ὑποζύγιον δηχθῇ, ἐγχυθεῖσα διὰ D
στόματος σὺν οἴνῳ, ὑγιάζει.

πίνει.

Lego, σκορδίου σπέρμα. σκορδίου < β΄. τοῦ δὲ χυλίσματος < α΄. Gesn. χυλίσματος.

CXV. Πρὸς δὲ τὰ τῶν ἐχιδνῶν δήγματα
τὰ σὺν οἴνῳ λαμβανόμενα, καὶ ἐν τροφῆς
μέρει, αὐτικώτατον βοήθημα ἐστ᾽ αὐτοῖς, ἡ
σκοροδοφαγία· ἢ ἀκρατοποσία· ὥστε εἰ ὑ-
πομένοι τις πλείονα βρῶσιν καὶ πόσιν, μὴ
χρήζειν ἄλλου βοηθήματος. ποιεῖ καὶ χελώ- E
νης θαλασσίας αἷμα ξηρὸν σὺν κυμίνῳ ἀ-
γρίῳ. πιτύα λαγωοῦ. αἰδοῖον ἐλάφου ἄρ-
ρενος < α΄. ξηρά. ἀκάνθης λευκῆς. συκῆς
φύλλα. ἀκόρου ῥίζα καὶ φύλλα. ἔχιον. χαμε-
λώψ. νάρδου Συριακοῦ ῥίζα. ἀριστολοχίας
μακρᾶς ῥίζα. σμύρνιον. ἀπαρίνης χυλός. λι-
βανωτίδος ῥίζα. πηγάνου ἀγρίου ῥίζα· βρυ- F
ωνίας λευκῆς ἢ μελαίνης ῥίζα. ἀμπελό-
πρασον ἐσθιόμενον. ἀγαρικοῦ < α΄. ἀνα-
γαλλίδος χυλός. ἄνισον. περιστερεῶνος ῥίζα.
ἀσπαράγου ἀφέψημα, ἢ σπέρμα. ἀρκευθί-
δες. ἀσφοδέλου ῥίζης < γ΄. ἀσκληπιάδος
ῥίζα. ἀστέρος Ἀττικοῦ τὸ ἄνθος. ἀτρακτυλί-
δος ἄνθη, καὶ τὰ φύλλα, ὅσον < α΄. μετὰ πε- G
πέρεως. πιστάκια λεῖα πινόμενα, βάτραχοι
ζωμευθέντες καὶ ἐσθιόμενοι. βαλσάμου ὀ-
ποῦ ἢ καρποῦ < α΄. ἢ βδελλίου < α΄. ἢ γα-

τῷ σὺν οἴνῳ λαμβανομένων.

σπέρμα, addit Gesnerus.

χαμαίδρυς, vel χαμαίδρωψ.

ἢ καρποῦ.

sale & melle: apiastrum cum sale, mytulorum caro, nitrum cum suillo adipe, farina erui cum melle, vrina humana affusa pro fotu, ruta cum aceto, triticum crudum mansum & impositum, cucumeris satiui folia cum vino: fici liquor instillatus, eiusdem folia aut tenelli surculi cum melle: cinis ficulneus cum cerato, succerda cum aceto cocta. Persicum denique malum commanducatum & impositum.

Ad quosuis serpentium morsus communia hæc remedia potui dantur: piper cum aceto & meconio, rutæ syluestris semen, platani pilulæ similiter: polemonij, quod & philetærium appellatur, drachma cum vino: pyritis seu pyrethrum, coagulum hinnuli ac leporis, sagapeni drachma, apij semen, scordij drachmæ duæ, densati vero eiusdem succi drachma vna, sparganij radix & semen, sycomori liquor, teucrium, radicis teucrij succus: hæc porrò cum vino sumenda. Pyritis verò etiam iumentorum ex morsu vulnera per os infusa sanat.

Ad quorumuis serpentium morsus.

Inter ea quæ contra viperarum morsus in cibo potuque ex vino sumuntur, præsentissimum atque efficacissimum præstant auxilium alliorum esus & meraci potio, ita vt si quis frequentius & largiore copia illis vtatur, haudquaquam alio egeat remedio. Facit & præclarè testudinis marinæ sanguis exiccatus cum syluestri cumino, coagulum leporis, cerui maris pudendum aridum drachmæ vnius pondere, spinæ albæ [semen,] ficulnea folia, acori radix & folia, chamædrops, nardi Syriacæ radix, smyrnium, aparinæ succus, libanotidis radix, rutæ syluestris radix, bryoniæ tam albæ quàm nigræ radix, ampeloprasum in cibo sumptum, agarici drachma, anagallidis succus, anisum, verbenacæ radix, asparagi decoctum, aut semen, iuniperi baccæ, asphodeli radicis drach. iij. asclepiadis radix, asteris Attici flos: atractylidis flores & folia drachmę pondere, cũ pipere: pistacia trita pota, ranæ in iure elixæ ac esitatę, balsami liquoris aut seminis drachma, bdellij drachma, mu-

Ad viperæ morsum.

stelæ inueteratę & exiccatę drach. ij. gentianæ radicis drachm. ij cum duobus piperis obolis & ruta: succi autem drachm. j. asteris Samij drachm. ij. seminis dauci drachm. ij. cerebrum gallinaceum potum, glandes quernæ esitatæ, iridis drachm. ij. helenij decoctum, elaphobosci radix & semen, elichrysi decoctum, itidémque serpylli, rubiæ folia & caules: echij radix, folia, caulis & semen: seminis trifolij drachma & folia similiter: tragoriganum, apri iecur tritum in vino, eryngij radicis drachma cum semine pastinacæ, hippomarathri radix & semen, amomum, cassia, cardamomum: cancri fluuiatiles triti cum lacte dissoluti: itémque marini, sed illis minùs efficaces: betonicæ foliorum drachm. ij. cinnamomum, clinopodij decoctum, costi drachm. ij. cum totidem piperis obolis, origanum Heracleoticum, ac eius decoctum, brassicæ succus, cyclamini radix, cupressi pilulæ, cuminum tum satiuum tum & agreste, leporis atque hinnuli coagulum, leontopetali radix, myricæ decoctum, fœniculi semen, myrrhidis radix, lapis hæmatites cum vino. Aristolochiæ radicis, myrrhæ, baccarum lauri, gentianæ partes æquales excipiuntur melle, atque conflatum ex iis medicamentum & potui datur & vulneri imponitur. Fraxini folia ex vino, ac eorundem succus etiam moribundo prosunt. Vrina propria pota & imposita, magnificè iuuat: necnon & anchusa, platani fructus, nasturtium, cupressus, pini cortex cum vino, heliotropium.

Ad ceraste morsum. Priuatim verò cerastæ morsui aduersantur, ammeos drachm. ij. cum myrrha & vino.

Vulneribus ex serpentium morsibus admouenda. Adhibentur verò ita vt adhæréscant: trifolij folia, fraxini folia, ruta, calaminthæ folia, lini semé cum sale vel origano ac melle: gallinæ viuæ dissectę & adhuc calentes impositæ: sed in ipsarum locum alias subinde sufficere oportet: fimus caprinus coctus in aceto, aristolochię longæ radix cũ aqua: asphodeli radix, flores & folia cum vino: cedria aut pix liquida cum sale, quæ & cõtra cerastæ morsũ valet: lauri folia cum oleo cocta, ericę folia cũ vino,

A λιῶ σκελετευθείσας καὶ ξηρανθείσας, δίδου < β'. γεντιανῆς ῥίζης < β'. μετὰ δυοῖν ὀβολοῖν πεπέρεως καὶ πηγάνου. τοῦ δὲ χυλοῦ < α'. γῆς Σαμίας τοῦ ἀστέρος < β'. δαύκου σπέρματος < β'. ἐγκέφαλος ἀλεκτορίδων πινόμενος. βάλανοι δρύϊνοι ἐσθιόμενοι. ἴρεως < β'. ἑλενίου ἀπόζεμα. ἐλαφοβόσκου ῥίζα καὶ B σπέρμα. ἑλιχρύσου ἀπόζεμα. ἑρπύλλου ἀπόζεμα. ἐρυθροδάνου φύλλα καὶ καυλοί. ἐχίου ῥίζα καὶ καυλὸς, καὶ φύλλα, καὶ σπέρμα. τριφυλλίδος σπέρματος < α'. καὶ τὰ φύλλα ὁμοίως. τραγορίγανος. ἧπαρ κάπρου λεῖον ἐν οἴνῳ. ἠρυγγίου ῥίζης < α'. μετὰ σταφυλίνου σπέρματος. ἱππομαράθρου ῥίζα C καὶ σπέρμα. ἄμωμον, καὶ κασία. καρδάμωμον, καὶ καρκίνοι ποτάμιοι λεῖοι, σὺν γάλακτι διεθέντες: ἧττον δὲ οἱ θαλάσσιοι. κέστρου φύλλων < β'. κιννάμωμον. κλινοποδίου ἀπόζεμα. κόστου < β'. μετὰ πεπέρεως ὀβολῶν β'. ὀρίγανος Ηρακλεωτική, καὶ τὸ ἀπόζεμα αὐτῆς. κράμβης χυλός. κυκλαμίνου ῥίζα. D κυπαρίσσου σφαιρία. κύμινον ἥμερον καὶ τὸ ἄγριον. λαγωοῦ πυτία καὶ νεβροῦ. λεοντοπετάλου ῥίζα, μυρίκης ἀπόζεμα. μαράθρου σπέρμα. μυρρίδος ῥίζα. αἱματίτης λίθος σὺν οἴνῳ. ἀριστολοχίας ῥίζης, σμύρνης, δαφνίδων, γεντιανῆς, ἴσον ἑκάστου μέλιτι ἀναληφθὲν πίνεται, καὶ ἐπὶ τὴν πληγὴν ἐπιτίθεται. μεE λίας φύλλα σὺν οἴνῳ, ἢ ὁ χυλὸς αὐτῶν, κἂν ἤδη ἀποθνήσκῃ. οὖρον τὸ ἴδιον ποθὲν καὶ ἐπιτεθὲν, μεγάλως ὠφελεῖ. ἡ ἄγχουσα. πλατάνου καρπός. κάρδαμον. κυπάρισσος. πίτυος φλοιὸς σὺν οἴνῳ. ἡλιοτρόπιον.

4. de mat. med. c. ... drach. iij. in vini sextario.

CXVI. Κεράσταις δὲ ἰδίως ἁρμόζει, ἄμμεως < β'. μετὰ σμύρνης καὶ οἴνου.

F CXVII. Καταπλάσσεται δὲ προσεχῶς τριφυλλίδος φύλλα. μελίας φύλλα. πήγανον. καλαμίνθης φύλλα. λινόσπερμον σὺν ἁλσὶν ἢ ὀριγάνῳ καὶ μέλιτι. πρὸς καρδίας ἀναχισθεῖσαι ζῶσαι καὶ ἐπιτεθεῖσαι θερμαί· ἀλλάσσειν δὲ δεῖ συνεχῶς. ἀπόπατος αἰγὸς ἑψηθεὶς ἐν ὄξει. ἀριστολοχίας μακρᾶς G ἡ ῥίζα μετὰ ὕδατος. ἀσφοδέλου ῥίζα, ἄνθη, φύλλα, σὺν οἴνῳ. κεδρία ἢ πίσσα ὑγρὰ σὺν ἁλσὶ, καὶ πρὸς κεράστας. δάφνης φύλλα σὺν ἐλαίῳ ἑψηθέντα. ἐρείκης φύλλα σὺν οἴνῳ.

Videtur legendum: καὶ ὄρνιθες ἀναχισθεῖσαι ζῶσαι.

In aceto aut vino. 2. de mat. med. cap. 98.

ἐχίου φύλλα ὁμοίως. τρὺξ οἴνου μετ' ἀλφίτου A καὶ ὄξους. κρόμμυα ὁμοίως. ὀρόβινον σὺν οἴνῳ. πηγάνου φύλλα μεθ' ἁλὸς καὶ μέλιτος. πίτυρα ἐν ὄξει ἑψηθέντα. πράσου καρπόν. ῥαφανῖδος φλοιὸς σὺν μέλιτι. σάμψυχον σὺν ἁλσὶ καὶ ὄξει. σκίλλα ἑψηθεῖσα ἐν ὄξει. σκόροδα ἐν ὄξει. τέφρα πᾶσα ἐν ὄξει, καὶ μάλιστα ἀπὸ κράμβης, ἢ μελίας. καταντλεῖται δὲ ἐπὶ τῶν B ἰοβόλων τριφυλλίδος ἀπόζεμα. ἐπὶ δὲ τῆς πληγῆς ἰδίως βούτυρον ἐπιτιθέμενον. ἀβρότονον λεῖον μετ' οἴνου, ἄγνου φύλλα, ἀδίαντον. ἑλκοῖ δὲ τὴν ἐπιφάνειαν, ἐὰν ἐπὶ πολὺ ἐάσῃς. ῥητίνης φύλλα· πινέτωσαν δὲ ἐν ὀξυμέλιτι.

CXVIII. Πρὸς δὲ αἱμορροΐδος (καὶ πρηστῆρος) δήγματα ὠφελεῖ, ἀνδράχνη καταπλασσομένη, ἀρνόγλωσσον, περιστερεῶνος φύλλα. αὐτοῦ τοῦ θηρίου καυθεῖσα ἡ κεφαλὴ καὶ C ἐπιτιθεῖσα. ὕσσωπον. ἄσβεστος. σκόροδον λευκόν. πράσον. πήγανον. κνίδη. κάρδαμον, καὶ σπέρμα. σκόροδον λεῖον σὺν οἴνῳ ποθέν. ἀσταφίδες ἐσθιόμεναι. νεοσσοὶ ὠμοὶ D ἐσθιόμενοι σὺν οἴνῳ.

CXIX. Ἐπὶ δὲ πρηστῆρος, ὠμοτάριχος θύννος πολὺς ἐσθιόμενος. δεῖ δὲ οἶνον πολὺν ἐπιπίνοντα ἐμεῖν.

CXX. Ἐπὶ δὲ ἀσπίδος, ἢ πτυάδος. κόρεις ζ'. ἢ η'. καταποθέντες ὠφελοῦσιν. ὄξος πινόμενον. συνεχὴς διέγερσις, πληγαί, κίνησις ὅλου τοῦ σώματος. καταβρέχεται δὲ ὠφελίμως θάλασσα θερμή. E

CXXI. Σκορπίων καὶ φαλαγγίων, καὶ σφηκῶν, καὶ μελισσῶν, ποτὰ σὺν οἴνῳ λαμβανόμενα. ἀβρότονον. ἀγαρικοῦ < α'. ἀγηράτου σπέρμα. ἀδίαντον. ἀείζωον. σκορπιοειδής, ἰδίως πρὸς σκορπίου πληγάς. ἕρπυλλος. ἀλθαίας ῥίζης < α'. λυχνίδος σπέρμα, F ἰδίως δὲ πρὸς φαλάγγια. συκαμίνου ῥίζης ὀπὸν δοθεὶς πιεῖν, ἢ σταφίδας. ὀξαλίδος ὁ καρπὸς καὶ ἡ ῥίζα. ὀνογύρου < δ'. ἄμμεως < β'. ἐξόχως ποιεῖ. ἀσφοδέλου καρπὸς, καὶ τὸ ἄνθος ποθέν. ὑακίνθου ῥίζα. χαμαίδρυος ἀπόζεμα, καὶ ὁ χυλός. γλήχων. ἴρεως < β'. G θρίδακος ἀγρίας σπέρμα. ὑπερικόν. κονία συκίνη. κισσοῦ ῥίζης χυλὸς σὺν ὄξει. κυπαρίσσου σφαιρία σὺν οἴνῳ. μολόχης ζωμὸς πινόμενος, καὶ αὐτὴ ἑφθὴ ἐσθιομένη.

A echij folia similiter, fæx vini cum polenta & aceto, cepę similiter, erui farina cum vino, rutæ folia cum sale & melle, furfures in aceto decocti, porrum sectiuum, raphani cortex cum melle, sampsuchum cum sale & aceto, scilla in aceto cocta, allia cum aceto: cinis omnis cum aceto: maximè verò è brassi- B ca vel fraxino. Fouentur & à virulentis animantibus inflicta vulnera trifolij decocto: peculiariter autem ipsis vulneribus butyrum imponitur: abrotonum tritum cum vino, folia viticis, adiantum. Summam verò cutem vlcerant, si diutiùs reliqueris, folia: bibantur & ex aceto mulso.

C Contra hæmorrhoidis [ac presteris] morsus hæc conueniunt: portulaca imposita, plantago, verbenacæ folia, ipsius serpentis caput crematum & impositum, hyssopus, calx viua, allium candidum, porrum, ruta, vrtica, nasturtium & eius semen, allium tritum ex vino potum, vuæ passæ esitatæ, pulli cru- D di cum vino in cibo sumpti.

In presteris morsu, conditanei thunni caro abundè comesta auxiliatur: sed vino copioso deinde superbibito vomitus concitãdus est.

Ad aspidis aut ptyadis morsum, cimices septem octóve deuorati iuuant; acetum bibitum, assiduæ excitationes; percussiones & to- E tius corporis agitationes. Vtiliter etiam aqua marina calens perfunditur.

Ad scorpionum, phalangiorum, vesparum & apum ictus hæc è vino bibuntur: agarici drachma; agerati semen, adiantum, sempervivum, scorpioides, (quod scorpionis ictui priuatim aduersatur) ser- F pyllum, altheę radicis drachma, lychnidis semen, (quod peculiariter phalãgiis resistit,) sycamini radicis liquor potui datus, oxalidis semen & radix, onogyri drac. iiij. ammeos drach. ij. eximiè iuuant: asphodeli semen & flos in potu: hyacinthi radix, chamędryos decoctũ & succus, G pulegium, iridis drach. ij. lactucæ agrestis semen, hypericũ, lixiuium è ficu, radicis hederæ succus cũ aceto, cupressi pilulę cũ vino: maluę ius epotũ, & ipsa elixa in cibo sumpta:

Marginal notes (left):

μετὰ πηγάνου ἀφεψηθέντος, cũ rutæ decocto. 2. de mat. med. cap. 107.

Videtur aliquid deesse.

Vocabulum hoc corruptum apparet.

κνίδη.

In versione hic additur: lixiuium è ficu, κονία συκίνη.

Moibanus legẽdum suspicatur πανακίτης, herbam.

Addo τρυγὸς πλαγαί

Huius meminit Nicander in Ther. Suspicatur Gesnerus esse chamæpityn, quam & ἀείζωον seu ἀείζωον nominari reperitur apud Dioscor.

Marginal notes (right):

Hæmorrhoidis morsus.

Presteris morsus.

Ad aspidis ptyadisque morsum.

Ad scorpionum, phalangiorum, vesparum et apum ictus.

melanthij drachma, melissophyllon & eius succus, sonchus in cibo sumptus, virides myrti baccæ, myricæ seminis drachma, rutę semen, polygonon & eius succus, terebinthi fructus, lauri baccæ contritæ, scorpiurus, cardamomum, anagallidis succus, allia esitata (quoniam refrigerationem inferunt scorpionum ictus:) hyoscyami decoctum aut dilutum cum vino, ipse scorpius assus in cibo sumptus: fuligo denique è camino cum vino pota.

Ad terandem illos admenda. Ad scorpionum, apum vesparúmque & phalangiorum ictus hęc applicita conueniunt: fimum bubulum, serpyllum, sal tritus cum aceto, amomum cum ocimo, althæę folia elixa, oléo pauco admixta, salsamentum quoduis adhibitum: heliotropium, quod & scorpiuron nominant: conyza, origanum, lilij folia, cyclaminus, panacis Asclepij flores & folia Chironij: polium cum aceto, lauri folia sicca, fici arboris lac instillatum, maluæ folia cocta ác etiamnum cruda, sycamini folia, sisymbrium aut cardamine cum aceto, melissophyllon, verbascum cum aceto, chamædrys similiter, cupressus à ieiuno quopiam commanducata & imposita, mures domestici dissecti & impositi, caseus salsus applicitus, cochlea contrita cum sua testa, stellio confestim dissectus & impositus, sulphur viuum resina exceptum terebinthina & impositum, gentianæ radix similiter: gramen tritum & impositum protinus auxiliatur: iuuat & ipse scorpius tritus & illitus, lacertus campestris dissectus & impositus, sonchi radix cum brassicæ succo, sycomori liquor. Fouetur & affecta pars aqua marina feruefacta: quin & eadem calenti oleo immittitur.

Ad scolopendræ & muris aranei morsus. Ad scolopendræ & muris aranei morsus hæc pro cataplasmate adhibentur: sal cum pice, cedria & melle: allium cum ficus foliis & cumino, calaminthæ folia, hordeum vstum cum aceto: allium cum tenellis ficus surculis & foliis, farina erui

A μελανθίου < ά. μελισσόφυλλον, καὶ ὁ χυλὸς αὐτοῦ. σόγχος ἐσθιόμενος. μύρτα χλωρά. μυρίκης καρποῦ < ά. πηγάνου σπέρμα. πολύγονον, καὶ ὁ χυλὸς, τερεβίνθου καρπὸς, δαφνίδες λεῖαι. σκορπίουρον. καρδάμωμον. ἀναγαλλίδος χυλός. σκόροδα ἐσθιόμενα ἐπεὶ τὰ ψυχρὸν ἐπιφέροντα σκορπίων πάσ- B χου, ἢ ὑοσκυάμου ἀπόχυμα, ἢ ἀπόβρεγμα σὺν οἴνῳ, ἁρμόζει πίνειν, καὶ αὐτὸς ὁ σκορπίος ὀπτὸς βρωθείς. ἄσβολη ἀπὸ τῆς καπνοδόχης μετ' οἴνου πινομένη.

Aliàs ψῦξιν ἐγὼ sic legerim: ἐπειδὴ ψῦξιν ἐπιφέρουσι σκορπίων πληγαὶ ὁ ὑοσκυάμου ἀπόζεμα, &c sed hyoscyami vox mihi suspecta est. Gesn.

CXXII. Καταπλασσόμενα δ' ἁρμόζει σκορπιοπλήκτοις, καὶ μελισσῶν καὶ σφηκῶν, καὶ φαλαγγίων πληγαῖς ταῦτα. βόλβιτον C καταπλασθέν. ἕρπυλλον. ἅλες λεῖοι σὺν ὄξει. ἄμωμον μετὰ ὠκίμου. ἀλθαίας φύλλα ἑφθὰ μετ' ἐλαίου ὀλίγου μιγέντα. τάριχος πᾶς καταπλασσόμενος. ἡλιοτρόπιον, ὃ καὶ σκορπίουρον καλούμενον. κόνυζα. ὀρίγανον, κρίνου φύλλα. κυκλάμινον. πάνακος ἀσκληπιαδίου ἄνθη, καὶ τὰ φύλλα χειρωνίου. πόD λιον σὺν ὄξει. δάφνης φύλλα ξηρά. ὀπὸς συκῆς ἐνσταζόμενος. μαλάχης φύλλα ἑφθὰ καὶ ὠμά. συκαμίνου φύλλα. σισύμβριον, ἢ καρδαμίνη σὺν ὄξει. μελισσόφυλλον, φλόμος σὺν ὄξει. χαμαίδρυς ὁμοίως. κυπάρισσος μασσηθεῖσα ὑπὸ νήστεως τινός, καὶ ἐπιτεθεῖσα. μύες οἱ κατοικίδιοι ἀνασχισθέντες καὶ E ἐπιτιθέμενοι. τυρὸς ἁλμυρὸς καταπλασσόμενος. κοχλίας λεῖος σὺν ὀστράκῳ. ἀσκαλαβώτης παραχρῆμα ἀνασχισθεὶς καὶ ἐπιτεθείς. θεῖον ἄπυρον ἀναληφθὲν ῥητίνῃ τερμινθίνῃ καὶ ἐπιτεθέν. γεντιανῆς ῥίζα ὁμοίως. ἄγρωστις λεία ἐπιτεθεῖσα παραχρῆμα παύει. ὠφελεῖ καὶ αὐτὸς ὁ σκορπίος λεῖος ἐπιF πλασθείς. σαῦρος ἀγρυραῖος ἀνασχισθεὶς καὶ ἐπιτεθείς. σόγχου ῥίζα σὺν κράμβης χυλῷ. συκαμίνου ὀπός. Καταντλεῖται δ' ὠφελίμως θαλάσσῃ ζεστῇ· καὶ εἰς θερμὸν δ' ἔλαιον ὁ πεπληγμένος τόπος καθιέσθω.

Lib. 5. cap. 126. cum lini semine. Plin. lib. 31. cum semine lini, oleo & aceto.

νήστεως forte, pro νήστιος.

CXXIII. Πρὸς σκολοπένδρας καὶ μυγαλῆς δήγματα καταπλάσσοντες ἅλες σὺν πίσσῃ καὶ κεδρίᾳ καὶ μέλιτι. σκόροδον μετὰ συκῆς φύλλων καὶ κυμίνου. καλαμίνθης G φύλλα. κριθὴ κεκαυμένη σὺν ὄξει. σκόροδον καὶ ἀκρέμονες συκῆς καὶ φύλλα, μετ' ὀρό-

Aegin. cum oxymelite.

βίνου ἀλεύρου καὶ οἴνου. πρὸς δὲ τὴν μυγαλῆς, αὐτὴ ἡ μυγαλῆ ταχέως τριβεῖσα σὺν οἴνῳ καὶ ποθεῖσα. πίνεται δὲ κοινῶς πρὸς ἀμφότερα, ἀψίνθιον σὺν οἴνῳ. ἡδυόσμου ἀπόζεμα σὺν οἴνῳ· δρακοντίου ῥίζαν λειοτριβήσας μετὰ οἴνου καὶ ἐλαίου, πότιζε. ἢ ὑγρὰν πίσσαν μετὰ θερμοσπυρίας ζυμώσας ἐπίπλασσε, καὶ ἰᾶται.

CXXIIII. Πρὸς δὲ τρυγόνος θαλασσίας πληγὴν καταπλάσσεται ὠφελίμως, φακὸς μετὰ μέλιτος λεῖος.

CXXV. Πρὸς δὲ δράκοντος θαλασσίου πληγὴν, αὐτὸς ὁ δράκων ἀναπτυχθεὶς καὶ ἐπιτεθείς· καὶ ὁ ἐγκέφαλος αὐτοῦ πινόμενος, καὶ τῇ πληγῇ οὖρον ἀνθρώπινον καταντληθέν. ἕρπυλλον καταπλασθέν.

CXXVI. Σκορπίου θαλασσίου πληγὴν ἰᾶται, θεῖον ἄπυρον σὺν ὄξει ἀνατριβόμενον. ἢ τρίγλα διασχισθεῖσα, καὶ ἐπιτεθεῖσα. δαφνίδες τρεῖς πινόμεναι.

CXXVII. Ἀσκαλαβώτου δῆγμα ἰᾶται, σήσαμον.

CXXVIII. Διώκει δὲ τὰ θηρία ὑποστρωννύμενα, ἀβρότονον, ἄγνος, ἔχιον, καλαμίνθη, κόνυζα, ὀρίγανον, ἕρπυλλον, πόλιον, ἀσφόδελος. θυμιώμενα δὲ ἄγνου φύλλα, ἄσφαλτον, βδέλλιον, ἐλάφου κέρας, καλαμίνθη, καρδάμωμον, χαλβάνη, καστόριον, κόνυζα. κυπαρίσσου, ἢ κέδρου πρίσματα. γαγάτης λίθος. λυσιμάχιος. μελάνθιον. πευκέδανον. σαγαπηνόν. πόλιον.

CXXIX. Κτείνει δὲ θηρία προστεθέντα, χαλβάνη σὺν σπονδυλίῳ καὶ ἐλαίῳ. καρκίνοι ποθέντες σὺν ὠκίμῳ, καὶ προστεθέντες, σκορπίους κτείνουσι. λυχνὶς ἀγρία παρατεθεῖσα, σκορπίους σκοτίζει. σταφυλίνου ἀγρίου σπέρμα προστεθέν.

CXXX. Συγχριόμενα δὲ, κωλύει θηρία προσπελάζειν, καὶ διώκει· ἀλθαίας καρπὸς μετὰ ἐλαίου καὶ ὄξους. δαφνίδες σὺν ἐλαίῳ καὶ ὄξει. χαλβάνη, καὶ κεδρίδες σὺν ἐλαφείῳ μυελῷ, ἢ στέατι. πάνακος ἀσκληπιάδου καρπὸς καὶ ἄνθη σὺν ἐλαίῳ καὶ ὀπῷ. μολόχης φύλλα λεῖα σὺν ἐλαίῳ ἀλειψάμενος, ἄπληκτος ὑπὸ σφηκῶν καὶ μελιττῶν διαμένει. παύουσι καὶ κάμπαι αἱ ἐπὶ τῶν λαχάνων σὺν ἐλαίῳ συγχριόμεναι.

A ac vino. Priuatim verò ad muris aranei morsus facit, mus ipse araneus statim cōtritus in vino & potus. Communiter verò ad vtriusq; morsus hæc bibuntur: absinthium cum vino, mentæ decoctum cum vino: dracunculi radix trita cum vino & oleo etiā propinatur. Pix verò liquida cum feruenti cinere subacta & illita sanat.

B Ad pastinacæ marinæ ictum vtiliter imponitur, lens cum melle contrita.

Ad marini draconis ictum, draco ipse diuulsus & impositus iuuat, necnon & cerebrum eius epotum: vulnus quoq; ipsum vrina humana fouetur: imponitur & serpyllum.

C Vulneri ex marini scorpionis ictu medetur, sulphur viuum cum aceto cōtritum, aut mullus in longitudinem fissus & impositus. Tres quoque lauri baccæ bibuntur.

Stellionis morsui sesamum medetur.

D Serpentes cæterásque venenatas bestias substrata fugant hæc: abrotonum, vitex, echium, calamintha, conyza, origanum, serpyllum, polium, asphodelus. Suffitu verò hęc: viticis folia, bitumē, bdellium, cornu ceruinum, calamintha, cardamomum, galbanum, castorium, conyza, cupressi vel cedri ramenta, gagates lapis, lysimachia, melanthium, peucedanum, sagapenum, polium.

E Admota verò hęc venenatas bestias interimunt: galbanum cum spondylio & oleo, cancri cum ocimo poti, itémque appositi scorpiones necant. Lychnis syluestris apposita scorpios tantum non exanimat. Facit & syluestris pastinacæ semen appositum.

F Illita verò hæc venenatas bestias arcent ac etiamnum abigunt, althææ semen cum oleo & aceto, lauri baccæ cum oleo & aceto, galbanum & cedri baccæ cum ceruí medulla aut adipe, panacis Asclepij semen & flores cum oleo & [laserpitij] liquore. G Maluæ foliis tritis ex oleo siquis perungatur, à vespis & apibus minimè ferietur: ab iisdem etiam tuentur erucæ quæ in oleribus nascuntur, ex oleo inunctæ.

Ἀψινθίου, lib. 3. de mat.

Forte, θερμοσποδιᾶς.

ἀσκληπιάδου.

ἀεὶ χλωρῶν, lib. 2. de mat.

Ad pastinacæ marinæ ictum.

Ad marini draconis ictum.

Ad marini scorpionis ictum.

Ad stellionis morsum.

Serpentes cæterásque venenatas bestias substrata fugant.

Bestias interimunt.

Bestias arcent.

A serpentium morsibus praeseruantia.

A serpentium morsibus tutos hæc præstant atque præmuniunt: genitalis sicci è ceruo masculo drachma è vino pota, echij radix præbibita, pastinacæ erraticæ semen deuoratum. Dracunculi radicis succo si quis manus inunxerit, tutò ac citra offensionem viperas apprehendet, vti & qui peucedani liquore corpus vniuersum perunxerit.

Amuleta quaedam aut pathea scorpiis & venenatis bestiis aduersantia.

Sunt & amuleta quæ scorpionibus venenatisque bestiis aduersantur: ac heliotropij quidem maioris, quod scorpiurum vocant, radix alligata, ictis à scorpione salutaris perhibetur. Scorpius admoto aconito quasi moriturus torpescit, idémque apposito helleboro albo velut ad vitam reuocatur. Valet & spinæ albæ semen è collo suspensum. Fugat & venenatas bestias ophites lapis adalligatus. Incolumes & inoffensos præstat, medulla ceruina circumlita: oxalidis radix admota, itidémque philetærij radix adalligata, ne quis à scorpio lædatur noxámve sentiat, omnino prohibent.

Culices arcentia & abigentia.

Culices advolatu arcet, absinthium cum oleo inunctum. Idem præstant suffitu, conyza, cupressi pilulæ, coma, ipsáque ramenta: denique & bubulum stercus.

Ad deuoratas hirudines.

Hirudines tonsillis, gulæ & ori ventriculi adherescétes excutiunt, absorpta muria, acetum: itémque laserpitij liquor ex aceto gargarizatus aut sorbitione haustus. Aliud: in aceto & butyro mixtis ferrum ignitum vbi extinxeris, ea propinato, & prodibit hirudo. Aliud: laserpitij semen aut atramentum sutorium cum aceto gargarizato. Aliud: alumen scissile probè tritum inspirato in os habentis hirudines, & exibunt. Prodest & anagallidis succus epotus, vel haustum acetum acre in quo thymum intritum sit, itémque nitrum cum sale ex aqua gargarizatum. Eum verò, cuius faucibus hirudines inhæserint, in aquæ calidæ solium demittito, eique frigidissimam aquam ore continendam exhibeto: sic enim calore offensæ, protinùs ad frigidam prorepent. Post os itidem aliquo ex antedictis collutum, rictus hiatu aquæ limus apprehendatur: eius enim odore allectæ illæ prosilient.

A CXXXI. Ἀδήκτους δὲ ἀπὸ τῶν ἑρπετῶν τηρεῖ, ἐλάφου ἄρρενος αἰδοῖον ξηρὸν < α΄. ποθὲν μετ' οἴνου. ἐχίου ῥίζα προποθεῖσα, σταφυλίνου ἀγρίου σπέρμα βρωθέν. δρακοντίου ῥίζης χυλῷ ἐάν τις συγχρίσῃ τὰς χεῖρας, ἄρει αὖ ὁ τοιοῦτος ἀλύπως ἐχίδνας. ἢ πευκεδάνου ὀπὸς ὅλως συγχρίσεται.

συντεθεῖσα.

Fortè σὺν ἐλαίῳ. Gesn.

